EVRIPIDIS

FABVLAE

III

Digitized by the Internet Archive
in 2026

https://archive.org/details/evripidisfabvale0000gilb

SCRIPTORUM CLASSICORUM
BIBLIOTHECA OXONIENSIS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO
LONDINI ET NOVI EBORACI
APUD HENRICUM FROWDE

EVRIPIDIS

FABVLAE

RECOGNOVIT
BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

GILBERTVS MURRAY
LINGVAE GRAECAE IN VNIVERSITATE OXONIENSI REGIVS PROFESSOR

TOMVS III

INSVNT

HELENA, PHOENISSAE, ORESTES, BACCHAE
IPHIGENIA AVLIDENSIS, RHESVS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO
M CM XIII

OXONII
Excudebat Horatius Hart
Typographus academicus

PRAEFATIO

Cvm hunc tomum, sex ultimas fabulas Euripideas continentem, eadem qua priores ratione administraverim, non multum de toto genere operis mei praefandum duco. Codices, praeter eos qui in tomis prioribus memorati sunt, novos nullos adii; veteres denuo inspexi solos Parisienses A et B, quorum lectiones aliquot locis adhuc incertae erant. Italos si licuisset repetere, manus correctrices codicis L melius distinguere conatus essem. Restat certe hoc opus adhuc non absolutum.

In re orthographica duabus de rebus consilium meum explicare fortasse debeo. Verba quae a syllaba εὐ initium habent augmentum temporale in ηὐ formare iam pridem Elmsleius docuit, confirmavitque lapidum et papyrorum antiquissimarum auctoritas, repugnantibus sane plerumque codicibus. Constat haec regula; sed exceptionem unam faciendam esse monuit Lautensachius qui, in libello *Grammatische Studien zu den Griechischen Tragikern und Komikern* dicto et anno 1899 edito, sic scribit: 'Die von Zusammensetzungen mit εὖ abgeleiteten Verben zeigen, im Unterschied von den Verben mit dem Stammanlaut ευ-, niemals eine besondere Augmentation.' Adducit ille formas in lapidibus eiusdem aetatis (320–300 a. Chr.) inventas: *ευεργετηκα[σι]* CIA II. 283. 10, *ευε[ργ]ε-[τ]ηκεν* 271. 4, iv. 2, 574 E 9, sed *ηυρεθη* II. 720 A, II. 24. Addere possis *ηὔθυνεν* in papyro Aristotelis

Rep. Ath. viii. Grammaticorum dicta apud Lautensachium invenientur.

Verba quae Euripidis editori in quaestionem veniunt haec sunt: εὐτυχεῖν (12), εὐλαβεῖσθαι (2), εὐτρεπίζειν (2), εὐφημεῖν (1), εὐσθενεῖν (1 ?), εὐφραίνειν (2). In his codices aut omnes aut meliores semper εὐ-praebent, nisi Hec. 301 ηὐτύχουν omnes, Iph. A. 1111 ηὐτρεπισμένοι L P, Or. 217 ηὔφρανας omnes, ib. 287 ηὔφρανε M V L P: εὔφρανε M^2 A B. Formae εὐτύχουν et εὐτρεπισμένοι certe restituendae sunt: cf. de hoc Cycl. 594 et Ar. Plut. 626 codd. R V: de εὔφρανας, εὔφρανε mihi non liquet. In ceteris tragicis nullum exstat exemplum: in Ar. Ach. 5 formam in εὐ- praebent codd. fere omnes. Potuit, puto, hoc verbum Graecis saeculi quinti, hominibus grammaticae imperitis, cum εὐθύνω magis analogiam habere videri quam cum εὐτυχῶ; itaque lectiones codicum Or. 217, 287 non mutavi. Sed mirum est qua arte formas augmentatas horum verborum tragici vitaverint.

Verba cum δυσ- composita quomodo augmentum fecerint, expedire haud facile est: nullum enim puto exstare apud tragicos exemplum nisi Soph. O. T. 262, ubi μὴ 'δυστύχησεν et μὴ δυστύχησεν praebent codd. Nam Ion 1457 πρόσθ' ἐδυστύχει mera coniectura nititur.

Et altera res est in qua usum librorum sequi malui quam recentium editorum consuetudinem. Vocabula enim quae elisionem vel crasin patiuntur non nunquam Latino more plene exscripta exhibui, quod ad crasin attinet Herwerdenum secutus, qui in praefatione Helenae suae se 'grammaticorum inventum aphaeresin plena coalescentium vocalium scriptura commutasse' professus est, quod ad elisionem, plerumque librorum

auctoritate usus, ubi ea defuit, iudicio meo. Quod si vv. quales sunt Or. 1605 et sqq. Phoen. 606, 623 spectes, ubi versu inter duas personas diviso primae ultima ante primam secundae personae syllabam elisa est, paene ridicula evadit scriptura si syllabam illam elisam omittis. Quo pacto enim Polynices iratus, cum δώματα vellet dicere, δώμαθ' diceret, quasi sciret fratrem interpellaturum esse et a spiritu aspero incepturum? Leviusculas quidem res tango, non quod eas graves esse credam, sed ne mero nova captandi studio motus a consuetudine inveterata temere declinasse videar.

Denique rogavit me nuper vir μετρικώτατος Paulus Maas in canticis discribendis εἴσθεσιν qua ratione adhibuerim: pauca igitur de hac re dicenda sunt. Et primum quidem confitendum est me inter legum metricarum veritatem et lectorum commodum ita medium direxisse cursum, ut ab omni parte sibi constantes εἰσθέσεις praebere non tentaverim. Sed in summa nec periodos nec synapheae terminos, sed tantum singulorum versuum metra totosque qui nunc vocantur 'Stollen' commode definire volui. Scilicet eadem εἴσθεσις idem metrum, maior εἴσθεσις brevius metrum vel clausulam significat. In anapaestis et glyconeis omnia perspicua: sed ex. gr. vide Hel. 167 et sqq. Ibi vv. plerique hoc metro scripti leguntur – ∪ – ∪ – ∪ –, videlicet, troch. dim. catal. sive iam. dim. procatal. Igitur eadem est εἴσθεσις vv. 167, 168, 171. At vv. 169, 172 una syllaba in initio longiores sunt; igitur paullulum exstant. V. 171 syncopen habet, prima alterius iambici metri syllaba omissa; maiorem habet εἴσθεσιν. At potui his vv. eandem omnibus εἴσθεσιν tribuere, nam omnes re vera eiusdem

metri formae sunt variae. Potui certe, idque saepe feci; sed hic in tanta aequalitate metrorum magis lectorum commodo qui stropham cum antistropha conferre vellent consulere mihi videbar, si has minutias indicarem. Contra in sequentibus vv. continui sunt trochaei, in dimetros divisi sed syncopen in primo pede saepe passi. Potui *εἰσθέσει* varietates exhibere; satius duxi indicare, quod facile lectorem effugere posset, omnibus subesse idem metrum. Vide quae ibi adnotavi in apparatu critico et confer vv. 348–59, ubi indicare volui omnes (praeter 356) ditrochaeos esse sed 353, 355 catalecticos *φόνιον αἰ⏑ώ⏑ρημα* | *διὰ δέρης ὀρέξομαι*

ἢ ξιφοκτόνον δίωγμα | *λαι⏑μορρύτου σφαγᾶς.*

Alia est Phoen. 301 et sqq. ratio. Ibi saepius iterantur quattuor versus, dochm. monom., dochm. dim., iamb. trim., iamb. dim. Ergo quattuor adhibui diversas *εἰσθέσεις*. Sed his expeditis, supersunt et aliarum formarum versus: sunt iam. dim. catal., sunt cretici dimetri, sunt uno loco cretici quinque + iamb. monom., quos velut duos cret. dim. + troch. dim. catal. divisi.

Paene semper in canticis Euripideis inveniuntur una vel duae metri formae per totum carmen mutationibus levibus iteratae: sed his interiecta insunt etiam, nisi fallor, alia quasi fragmenta versuum, quorum de generibus longum est nec huic loco aptum disserere. Sunt, credo, in quibus syllabae omissae saltu supplendae erant. Exempli gratia vide glyconeos versus, Hip. 125 et sqq. ubi v. 125 una longa omissa est, 126 dactylus, 127 dactylus, 128 choriambus; tum quasi animo poetae post tanta peccata ad rectam festinante viam, iusti usque ad finem glyconei. Sunt alia quae iuncturas faciunt inter versus diversos, vel qui diverse

distingui possunt (Bac. 72, 74); alia quae quasi *ἀνάκρουσιν* vel *ἀφορμὴν* quandam efficiunt, qua vehementius currat versus insequentis metrum: creticos, baccheos (◡ – –), diiambos saepenumero sic invenies trochaeis dim. catal. vel ithyphallicis praepositos, ut Hel. 230 Phoen. 1723–26, ubi eodem versu scripti sunt, Andr. 282, 294, 299, 1198, 1201, 1204, cum antistr., ubi separatim scripsi: in Phoen. 1287, 1288, cum antistr., sic praeponuntur singuli trochaei. De postpositis huiusmodi clausulis, praesertim – – vel ◡ – – post troch. dim. catal. vel post glyconeum sequentibus, non opus est ut moneam. In his et similibus indicandis nullam constantem regulam adhibere potui. Spero tantum lectoribus qui et animos et aures metris lyricis intentas adhibuerint non inutiles fore *εἰσθέσεις* nostras.

Quod in secundo volumine de doctis amicis diximus id etiam in hoc de iisdem iterandum est, gratiaeque ex animo iustissimae ita reddendae ut memoriam saltem constantis opis ac benevolentiae semper conservem omnium, et maxime omnium Wilamowitzii.

G. M.

Scribebam Oxonii Kal. Oct. MCMIX.

CVM hunc libellum iterum anno MCMXIII edendum curarem, monitu benevolo A. C. Pearson, Th. O. Achelis, aliorum, apparatum criticum nonnullis vitiis liberavi, textum octies leviter mutavi. Cf. Hel. 1004, 1564, 1567 (cf. Ox. Pap. viii. 1087); Phoen. 370; Or. 416, 698; Bac. 209; Rhe. 143.

G. M.

SIGLA

M = cod. Marcianus 471 saec. xii
A = cod. Parisinus 2712 saec. xiii
B = cod. Parisinus 2713 saec. xii vel xiii
V = cod. Vaticanus 909 saec. xiii

L = cod. Laurentianus xxxii, 2 saec. xiv ineuntis
P = cod. Palatinus 287 et Laurentianus 172 saec. xiv

Π = fragmenta papyracea diversa ; vide supra, tom. I, p. xiv
K = fragmentum Berolinense a Kirchhoffio editum
H = codex Hierosolymitanus xxxvi, rescriptus
Ambr. = fragmenta Ambrosiana ab Angelo Maio edita

Σ = Scholia a Schwartzio ex codicibus M B V Nap. maximam partem edita : Σ V, Σ B et similia scholia in uno tantum codice inventa. Vide supra, tom. I, p. vii

Raro citantur :
O = Laurentianus xxxi, 10, saec. xiv (?)
D = Laurentianus xxxi, 15, saec. xiv
F = Marcianus 468, saec. xiv
N = Marcianus 470, saec. xv
Nap. = Neapolitanus II F 41, saec. xv
Haun. = Hauniensis 417, saec. xv
Apogr. Paris. = apographa codicis L Parisina ; quae sunt (1) cod. Parisinus 2887, 2888, saec. xvi ; et (2) cod. Par. 2817, eiusdem fere aetatis

L^1 V^1 similibus designantur cuiusque codicis prima manus se ipsa corrigens vel scholia scribens ; L^2 V^2 similibus secunda manus ; litteris minusculis (*l*, *v*, *b*) manus recentiores correctrices
Notis codd. et rell. (= reliqui), *nullos praeter* M A B V L P *respeximus*
γρ. = γράφεται, i.e. varia lectio in libris aut scholiis memorata

ΕΛΕΝΗ

ΥΠΟΘΕΣΙΣ ΕΛΕΝΗΣ

Ἡρόδοτος ἱστορεῖ περὶ Ἑλένης καί φησιν ἐλθεῖν μὲν αὐτὴν εἰς Αἴγυπτον, καὶ τοῦτο φάσκειν καὶ τὸν Ὅμηρον ποιοῦντα τὴν Ἑλένην παρέχειν τῷ Τηλεμάχῳ ἐν Ὀδυσσείᾳ τὸ λαθικηδὲς φάρμακον τό οἱ πόρε Πολυδάμνα Θόωνος παράκοιτις, οὐ μὴν δὲ οὕτως ὡς Εὐριπίδης φησίν. οἳ μὲν γὰρ πλανωμένην φασὶν αὐτὴν μετὰ τοῦ Μενελάου μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καὶ εἰς Αἴγυπτον παραγενέσθαι κἀκεῖθεν πεπορίσθαι τὰ φάρμακα· ὃ δὲ τὴν μὲν ἀληθῶς Ἑλένην φησὶ μηδ' ὁπωσοῦν ἐλθεῖν εἰς Τροίαν, τὸ εἴδωλον δὲ αὐτῆς. κλέψας γὰρ αὐτὴν ὁ Ἑρμῆς Ἥρας βουλῇ Πρωτεῖ τῷ βασιλεῖ τῆς Αἰγύπτου φυλάττειν παρέδωκε· τούτου δὲ θανόντος ὁ υἱὸς αὐτοῦ Θεοκλύμενος ἐπειρᾶτο γαμεῖν αὐτήν, ἣ δὲ ἱκέτις παρεκάθητο τῷ τοῦ Πρωτέως μνήματι. ὅθεν αὐτῇ ἐπιφαίνεται Μενέλεως, τὰς μὲν ναῦς ἐν τῇ θαλάσσῃ ἀπολέσας, ὀλίγους δέ τινας τῶν ἑταίρων ἐν ἄντρῳ καθειργμένους σώζων. εἰς λόγους δὲ ἐλθόντες καὶ μηχανορραφήσαντες ἀπατῶσι μὲν τὸν Θεοκλύμενον, αὐτοὶ δὲ νηὶ ἐμβάντες ὡς δὴ τῷ Μενέλεῳ θανόντι κατὰ θάλατταν θύσοντες, εἰς τὴν ἰδίαν διασώζονται.

Argumentum om. L, habet P ab alia manu postmodo additum
1 Cf. Hdt. ii. 113–119 3 Cf. δ 221 230 : cf. X 83 (λαθικηδέα)
4 οὐ μήν γε Kirchhoff

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

Ελενη
Τευκρος
Χορος
Μενελεως
Γραυς
Αγγελος
Θεονοη
Θεοκλυμενος
Ετερος αγγελος
Διοσκοροι

Personarum indicem ex P descripsi: om. L

Acta anno A. C. 412: cf. Schol. Ar. Thesm. 1012, 1040, Ran. 53.
Codices L P: Scholia nulla

ΕΛΕΝΗ

ΕΛΕΝΗ

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.
Πρωτεὺς δ' ὅτ' ἔζη τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασι,
Θεοκλύμενον ἄρσεν' [ὅτι δὴ θεοὺς σέβων
βίον διήνεγκ'] εὐγενῆ τε παρθένον
Εἰδώ, τὸ μητρὸς ἀγλάισμ', ὅτ' ἦν βρέφος·
ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ
τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
  ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ' ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ

1–3 cf. scriptor. de incr. Nili I. p. 165, Schol. Apoll. Rhod. iv. 269 fortasse *αἵδε* (leg. *οἵδε*, cf. 89) *καλλιπάρθενοι γύαι*, et *ὑγραίνει ῥοαῖς* 2 *ψακάδος* Ar. Thesm. 856, Aristides ii. p. 334 : *ψεκάδος* L P 3 *ὑγραίνει*] *ἀρδεύει* Aristides *γύιας* L vel L² (suprascripto ut videtur *κοινή*) : *γύην* Schol. Apoll. 6 *παρθένον* P 7 *Αἰακοῦ* Musgrave, cl. Hes. Theog. 1003 sq., Apollod. iii. 12. 6 : *αἰόλου* L P 8 *δισσὰ τοῖσδε δώμασιν τέκνα* Nauck 9 verba uncis inclusa eiecit Nauck : (*οὔτι δὴ...διήνεγκ'*) Heel 11 *Εἰδώ* Matthiae : *εἶδος* L P 12 *ὡραίων* L P : corr. Reiske 15 *λαβοῦσ** sequenti spatio vacuo primitus L 16 *ἡμῖν*] *ἐμοὶ* Ar. Thesm. 859 17 *ἔστι* L : corr. L² P

δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος·
Ἑλένη δ᾽ ἐκλήθην. ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ᾽ ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν᾽ Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ᾽ ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ. λιπὼν δὲ βούσταθμ᾽ Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ᾽ ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ᾽ οὕνεκ᾽ οὐ νικᾷ θεάς,
ἐξηνέμωσε τἄμ᾽ Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ᾽ οὐκ ἔμ᾽, ἀλλ᾽ ὁμοιώσασ᾽ ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ᾽ ἄπο,
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ᾽ ἔχειν—
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ᾽ αὖ Διὸς
βουλεύματ᾽ ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ᾽ ἐς ἀλκὴν προυτέθην ἐγὼ μὲν οὔ,
τὸ δ᾽ ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ᾽ Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος
νεφέλῃ καλύψας—οὐ γὰρ ἠμέλησέ μου
Ζεύς—τόνδ᾽ ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,
ἀκέραιον ὡς σῴσαιμι Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ᾽ εἴμ᾽, ὁ δ᾽ ἄθλιος πόσις
στράτευμ᾽ ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς

26 θέλουσι primitus L 28 προτείνασ᾽ τ ex σ facto P 34 οὐρανοῦ] cf. 584, Bac. 293, unde αἰθέρος Wecklein ἄπο Reiske : ὕπο L P 35 τυράννῳ Hermann, cl. Alc. 1150 42 προυθέμην ut videtur L P : corr. Musgrave 48 μενέλεω L P

θηρᾷ πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
κατάρατός εἰμι καὶ δοκῶ προδοῦσ' ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί δῆτ' ἔτι ζῶ; θεοῦ τόδ' εἰσήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντος ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπεν
Πρωτεύς, ἄσυλος ἦ γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ' ἐγὼ πόσιν
τιμῶσα Πρωτέως μνῆμα προσπίτνω τόδε
ἱκέτις, ἵν' ἀνδρὶ τἀμὰ διασῴσῃ λέχη,
ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.

ΤΕΥΚΡΟΣ

τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτου γὰρ οἶκος ἄξιος προσεικάσαι,
βασίλειά τ' ἀμφιβλήματ' εὔθριγκοί θ' ἕδραι.
ἔα·
ὦ θεοί, τίν' εἶδον ὄψιν; ἐχθίστην ὁρῶ
γυναικὸς εἰκὼ φόνιον, ἥ μ' ἀπώλεσεν
πάντας τ' Ἀχαιούς. θεοί σ', ὅσον μίμημ' ἔχεις
Ἑλένης, ἀποπτύσειαν. εἰ δὲ μὴ 'ν ξένῃ
γαίᾳ πόδ' εἶχον, τῷδ' ἂν εὐστόχῳ πτερῷ

51 *ἡλίου* P: corr. ipse 52 *Σκαμανδρίαις* Ar. Thesm. 864 56 *τί οὖν ἔτι* Ar. Thesm. 868 fortasse recte 57 *κλεινόν μ'* Hermann 58 *γνόντι μ'* *p* (et Badham) 59 *λέκτρ'*] *λέχος* Eustath. Il. p. 30 60 *ἔβλεπε* L P: corr. *l* 61 *ἦν* L P 62 *παῖς* L: *πῶς* P 63 *ἐγὼ* Dobree: *ἐμὸν* L P 64 *προσπιτνῶ* ut solent L P 67 *μή τοι* Kirchhoff 69 *Πλούτῳ* Nauck 72 *ἐχθίστης* Dingelstadt 74 sq. *θεοῖς ὅσον μίσημ' ἔχεις ἑλένη σ'* L P: corr. *l* *ἀποπτύσαιεν* L P: corr. Ludv. Dindorf 75 sq. *μὴ ξένην γαίαν* (sic) P[1] vel *p* 76 *πόδ'* Tan. Faber: *ποτ'* L P *πτερῷ* Elmsley: *πέτρω* L P

ἀπόλαυσιν εἰκοῦς ἔθανες ἂν Διὸς κόρης.
Ελ. τί δ', ὦ ταλαίπωρ'—ὅστις ὤν μ' ἀπεστράφης
καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;
Τε. ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον ἤ με χρῆν·
μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
σύγγνωθι δ' ἡμῖν τοῖς λελεγμένοις, γύναι.
Ελ. τίς δ' εἶ; πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον;
Τε. εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων.
Ελ. οὐ τἄρα σ' Ἑλένην εἰ στυγεῖς θαυμαστέον.
ἀτὰρ τίς εἶ πόθεν; τίνος δ' αὐδᾶν σε χρή;
Τε. ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμών, Σαλαμὶς δὲ πατρὶς ἡ θρέψασά με.
Ελ. τί δῆτα Νείλου τούσδ' ἐπιστρέφῃ γύας;
Τε. φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.
Ελ. τλήμων ἂν εἴης· τίς δέ σ' ἐκβάλλει πάτρας;
Τε. Τελαμὼν ὁ φύσας. τίν' ἂν ἔχοις μᾶλλον φίλον;
Ελ. ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
Τε. Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών.
Ελ. πῶς; οὔ τί που σῷ φασγάνῳ βίον στερείς;
Τε. οἰκεῖον αὐτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.
Ελ. μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;
Τε. τὸν Πηλέως τιν' οἶσθ' Ἀχιλλέα γόνον;
Ελ. ναί·
μνηστήρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.
Τε. θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.
Ελ. καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν;
Τε. ἄλλου λαβόντος ὅπλ' ἀπηλλάχθη βίου.
Ελ. σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;

77 ἀπόλαυσιν Reiske : ἀπώλλυσ'. ἴν' L P : ἀπώλεσ' ἴν' *p* post 78 versum excidisse putabat Usener 79 ἐμὲ L² P : ἐμαῖς L 80 μ' ἐχρῆν L P 85 οὔτ' ἄρα L P : οὐκ ἆρα *l* 86 δ' αὐδᾶν Schneidewin : ἐξαυδᾶν L P : ἀτὰρ σὲ χρὴ 'ξαυδᾶν, τίς εἶ πόθεν τίνος; Dobree 89 τούσδ' Elmsley : τάσδ' L P vv. 90–142 in P, 91–142 in L paragraphi pro personarum notis praefixi 98 ναί hic L² P : post γόνον habuisse videtur L Ἀχιλλέα τιν' οἶσθα, Πηλέως γόνον; Cobet 100 ὅδ' Portus : δ' L P 103 νοσοῖς L P : corr. *p*

Τε. ὁθούνεκ᾽ αὐτῷ γ᾽ οὐ ξυνωλόμην ὁμοῦ.
Ελ. ἦλθες γάρ, ὦ ξέν᾽, Ἰλίου κλεινὴν πόλιν;
Τε. καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
Ελ. ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;
Τε. ὥστ᾽ οὐδ᾽ ἴχνος γε τειχέων εἶναι σαφές.
Ελ. ὦ τλῆμον Ἑλένη, διὰ σ᾽ ἀπόλλυνται Φρύγες.
Τε. καὶ πρός γ᾽ Ἀχαιοί· μεγάλα δ᾽ εἴργασται κακά.
Ελ. πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;
Τε. ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.
Ελ. χρόνον δ᾽ ἐμείνατ᾽ ἄλλον ἐν Τροίᾳ πόσον;
Τε. πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
Ελ. ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;
Τε. Μενέλαος αὐτὴν ἦγ᾽ ἐπισπάσας κόμης.
Ελ. εἶδες σὺ τὴν δύστηνον; ἢ κλύων λέγεις;
Τε. ὥσπερ γε σέ, οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
Ελ. σκοπεῖτε μὴ δόκησιν εἴχετ᾽ ἐκ θεῶν.
Τε. ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.
Ελ. οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;
Τε. αὐτὸς γὰρ ὄσσοις εἰδόμην· καὶ νοῦς ὁρᾷ.
Ελ. ἤδη δ᾽ ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;
Τε. οὔκουν ἐν Ἄργει ⟨γ᾽⟩ οὐδ᾽ ἐπ᾽ Εὐρώτα ῥοαῖς.
Ελ. αἰαῖ· κακὸν τόδ᾽ εἶπας οἷς κακὸν λέγεις.
Τε. ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.
Ελ. οὐ πᾶσι πορθμὸς αὐτὸς Ἀργείοισιν ἦν;
Τε. ἦν, ἀλλὰ χειμὼν ἄλλοσ᾽ ἄλλον ὥρισεν.
Ελ. ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;
Τε. μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.

104 *αὐτῷ γ᾽ l p* : *αὐτῷ* L P, nisi forte *αὐτῷ τ᾽* habuit L 105 *ξέν᾽ l* : *ξεῖν᾽* P et sine dubio L *Ἰλίου* L[2] P : *ἴλιον* L 109 *ἀπώλλυνται* L : *ἀπώλυνται* (sic) corr. in *ἀπώλοντο* P 112 *καμπίμους* Nauck 113 *δ᾽* om. P 114 *ἔτι* P 115 *σπαρτιάτην* L P : corr. P[2] 118 *ὥσπερ σέ γ᾽ l* 121 *᾽δοκεῖτε* Badham 122 '*Nam ipse vidi, et in visu operatur intellectus*': cf. fr. 909, 6: *εἶδον ἣν καὶ νοῦς ὁρᾷ* Reiske 124 *γ᾽* add. Musgrave 127 *αὐτὸς* L P 129 *ἐνό τοισι* P 130 *περῶντας* Reiske

Ελ. κἀκ τοῦδε Μενέλαν οὔτις εἶδ᾽ ἀφιγμένον;
Τε. οὐδείς· θανὼν δὲ κλῄζεται καθ᾽ Ἑλλάδα.
Ελ. ἀπωλόμεσθα· Θεστιὰς δ᾽ ἔστιν κόρη;
Τε. Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
Ελ. οὔ πού νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;
Τε. φασίν, βρόχῳ γ᾽ ἅψασαν εὐγενῆ δέρην.
Ελ. οἱ Τυνδάρειοι δ᾽ εἰσὶν ἢ οὐκ εἰσὶν κόροι;
Τε. τεθνᾶσι καὶ οὐ τεθνᾶσι· δύο δ᾽ ἐστὸν λόγω.
Ελ. πότερος ὁ κρείσσων; ὦ τάλαιν᾽ ἐγὼ κακῶν.
Τε. ἄστροις σφ᾽ ὁμοιωθέντε φάσ᾽ εἶναι θεώ.
Ελ. καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
Τε. σφαγαῖς ἀδελφῆς οὕνεκ᾽ ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω στένειν.
ὧν δ᾽ οὕνεκ᾽ ἦλθον τούσδε βασιλείους δόμους,
τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
σὺ προξένησον, ὡς τύχω μαντευμάτων
ὅπῃ νεὼς στείλαιμ᾽ ἂν οὔριον πτερὸν
ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ᾽ ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.
Ελ. πλοῦς, ὦ ξέν᾽, αὐτὸς σημανεῖ· σὺ δ᾽ ἐκλιπὼν
γῆν τήνδε φεῦγε πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ
κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην᾽ ὅντιν᾽ ἂν λάβῃ ξένον.
ὅτου δ᾽ ἕκατι, μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;
Τε. καλῶς ἔλεξας, ὦ γύναι· θεοὶ δέ σοι
ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.

131 Μενέλαν Paley : μενέλαον L P κἀκ τοῦ Μενέλεων Radermacher οἶδ' Musurus 135 οὔ που Seidler et, ut videtur, primitus L : οὔπω nunc L : ποῦ P : ἦ που suprascr. *l* 138 λόγω Schaefer : λόγοι L P 142 σφαγαῖς L P : φασὶν P² 144 βασιλικοὺς Wunder 146 συμπροξένησον L P : corr. Jacobs τύχω ex ἴδω factum videtur in L 151 sc. *ipsum fluit mare hinc usque Cyprum* : cf. Bac. 406 157 ἐγὼ δὲ P 158 Τε.] paragraphum L

Ἑλένῃ δ' ὅμοιον σῶμ' ἔχουσ' οὐ τὰς φρένας
ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
κακῶς δ' ὄλοιτο μηδ' ἐπ' Εὐρώτα ῥοὰς
ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεί, γύναι.

Ελ. ὤ, μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον
ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω
δάκρυσιν ἢ θρήνοις ἢ πένθεσιν; αἰαῖ.

πτεροφόροι νεάνιδες, [στρ.
παρθένοι Χθονὸς κόραι
Σειρῆνες, εἴθ' ἐμοῖς γόοις
μόλοιτ' ἔχουσαι Λίβυν
λωτὸν ἢ σύριγγας ἢ
φόρμιγγας, αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα·
πάθεσι πάθεα, μέλεσι μέλεα,
μουσεῖα θρηνήμα-
σι ξυνῳδὰ πέμψειε
Φερσέφασσα
φόνια, χάριτας ἵν' ἐπὶ δάκρυσι
παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια
παιᾶνα
νέκυσιν ὀλομένοις λάβῃ.

ΧΟΡΟΣ

κυανοειδὲς ἀμφ' ὕδωρ [ἀντ.
ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίου πέπλους
αὐγαῖσιν ἐν χρυσέαις

162 δ' del. Wilamowitz 164 ἑλ. P *l* : paragraphum L ὦ L P οἶκτον *l* (vel L[2]) : οἶκον L P 165 γόον] γόνον primitus P 166 αἰαῖ hic scripsi: ἒ ἕ hic *l* : ἓ ἕ initio v. 167 L P 170 τὸν λίβυν *l* 171 αἴ αἴνοις κακοῖς L P (in margine γρ. αἰλίνοις κακοῖς L[1]) : ἢ φόρμιγγας del. *l* et αἰλίνοις in textu scripsit 174 μουσεια τε *l* 174 sqq. μουσεῖα, ut θρηνήμα- πέμψειε παιᾶνα, ditrochaeum valet, cf. ad 186 175 περσέφασσα *p* rasura 176–178 φόνια φόνια et παιᾶνας *l* : unde φόνια φόνι', ἀχάριτας . . . . παιᾶνας νέκυσι μελομένους Lobeck 177 ἐμέθεν Seidler : ἐμέθ' L P 181 ἁλίου *l* : ἁλίω L P 182 αὐγαῖσιν ἐν ταῖς χρυσέαις *l* : ταῖς del. Hermann : χρυσέαισιν αὐγαῖς L P

ἀμφὶ δόνακος ἔρνεσιν
θάλπουσα· ⟨ποτνίας δ' ἐμᾶς,⟩
ἔνθεν οἰκτρὸν ἀνεβόασεν,
ὅμαδον ἔκλυον, ἄλυρον ἔλεγον,
ὅτι ποτ' ἔλακεν αἰάγμα-
σι στένουσα, Νύμφα τις
οἷα Ναῒς
ὄρεσι φυγάδα νόμον ἱεῖσα
γοερόν, ὑπὸ δὲ πέτρινα γύαλα
κλαγγαῖσι
Πανὸς ἀναβοᾷ γάμους.

Ελ. ἰὼ ἰώ· [στρ.
θήραμα βαρβάρου πλάτας,
Ἑλλανίδες κόραι,
ναύτας Ἀχαιῶν
τις ἔμολεν ἔμολε δάκρυα δάκρυσί μοι φέρων.
Ἰλίου κατασκαφαὶ
πυρὶ μέλουσι δαΐῳ
δι' ἐμὲ τὰν πολυκτόνον,
δι' ἐμὸν ὄνομα πολύπονον.
Λήδα δ' ἐν ἀγχόναις
θάνατον ἔλαβεν αἰσχύ-
νας ἐμᾶς ὑπ' ἀλγέων.
ὁ δ' ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
πόσις ὀλόμενος οἴχεται,
Κάστορός τε συγγόνου τε

183 θάλπουσ' ἀμφὶ (ἀμφί τ' ἐν *l*) δόνακος ἔρνεσιν L P: traieci et hiatum ex. gr. supplevi 184 ἀνεβόασεν delevit Badham, cf. ad 171 185 ἔλεγον γρ. L: θρῆνον in textu L P (ἔλεγον in textu *l*) 186 ὅτι πόδ' *l* ὅτι ποτ' ἔλακεν ditrochaeum valet, cf. ad 174 188 νόμον Matthiae: γάμον *l*: γάμων L P 189 ante γύαλα habet μύαλα L: μύχαλα L[1] P, dittographia ut videtur, sed cf. fr. Niobae, Grenf. Pap. II. p. 14, Blass in Rh. M. LV 96: μύχατα Canter 190 κλαγγαῖσιν (sic) Hermann: κλαγγὰς L: κλαγκὰς P: del. *l* 196 κατασκαφὰ πυρὶ μέλουσ' ἰδαίω L P: (κατασκαφὰν et μέλλουσαν *l*): correxi 202 αἰσχύνας ἐμᾶς ὑπ' Muretus: αἰσχύνασ' ἡμᾶς ἐπ' L P

διδυμογενὲς ἄγαλμα πατρίδος
ἀφανὲς ἀφανὲς ἱππόκροτα λέ-
λοιπε δάπεδα γυμνάσιά τε
δονακόεντος Εὐρώ-
τα, νεανιᾶν πόνον.

Χο. αἰαῖ αἰαῖ· [ἀντ.
ὦ δαίμονος πολυστόνου
μοίρας τε σᾶς, γύναι.
αἰὼν δυσαίων
τις ἔλαχεν ἔλαχεν, ὅτε σ' ἐτέκετο ματρόθεν
χιονόχρως κύκνου πτερῷ
Ζεὺς πρέπων δι' αἰθέρος·
τί γὰρ ἄπεστί σοι κακῶν;
τίνα δὲ βίοτον οὐκ ἔτλας;
μάτηρ μὲν οἴχεται,
δίδυμά τε Διὸς οὐκ εὐ-
δαιμονεῖ τέκεα φίλα,
χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,
διὰ δὲ πόλεας ἔρχεται
βάξις, ἅ σε βαρβάροισι,
πότνια, παραδίδωσι λέχεσιν,
ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέ-
λοιπε βίοτον, οὐδέ ποτ' ἔτι
πάτρια μέλαθρα καὶ τὰν
Χαλκίοικον ὀλβιεῖς.

Ελ. φεῦ φεῦ, τίς ἢ Φρυγῶν
ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς

207 ἱππόκρατα P 210 νεανίαν L P 211 αἲ αἲ αἲ αἲ ὦ *l*: αἲ αἲ L P 214 τις] τίς σ' P et ut videtur primitus L 215, 216 inverso ordine collocat *l*, et inde editores 218 τί δ' ἀνὰ βίοτον Bruhn βίοτον L[2] P (et *l*): βίον L ἔτλης L P: corr. *l* 221 τέκεα *l*: τέκνα L P 223 πόλεας L[2] P: πόλιας L 225 λέχεσι πότνια παραδίδωσι L P: trai. Nauck, cl. 206 226 ἐν] ἐ primitus P 228 ὀλβιοῖς L P: corr. P[1] 229 personae notam om. L ἢ Dindorf: ἦν L P

ἔτεμε τὰν δακρυόεσσαν
Ἰλίῳ πεύκαν;
ἔνθεν ὀλόμενον σκάφος
συναρμόσας ὁ Πριαμίδας
ἔπλευσε βαρβάρῳ πλάτᾳ
τὰν ἐμὰν ἐφ᾽ ἑστίαν,
ἐπὶ τὸ δυστυχέστατον
κάλλος, ὡς ἕλοι, γάμων
ἀμῶν· ἅ τε δόλιος
ἁ πολυκτόνος Κύπρις
Δαναΐδαις ἄγουσα θάνατον [Πριαμίδαις],
ὦ τάλαινα συμφορᾶς.
ἁ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν
Ἥρα τὸν ὠκύπουν
ἔπεμψε Μαιάδος γόνον·
ὅς με χλοερὰ δρεπομέναν
ἔσω πέπλων ῥόδεα πέταλα,
Χαλκίοικον ὡς [Ἀθάναν] μόλοιμ᾽,
ἀναρπάσας δι᾽ αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον
ἔριν ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
τὸ δ᾽ ἐμὸν ὄνομα
παρὰ Σιμουντίοις ῥοαῖσι
μαψίδιον ἔχει φάτιν.

Χο. ἔχεις μὲν ἀλγείν᾽, οἶδα· σύμφορον δέ τοι

234 πλεῦσε P 236, 237 del. Dindorf, cl. 27: fortasse ὁ Πριαμίδας (v. 234) post 237 (γάμων ἀμῶν) traiciendus 236 δυστυχὲς *l* 238 ἐμῶν L P: correxi ob metrum (γάμον ἐμὸν *l*) ἅ τε Matthiae: ἁ δὲ L P ἁ πολύκτονος L: ἀπολύκτονος P 239 δαναΐδες P πριαμίδαις L P: πριαμίδαις τε *l*: del. Nauck 240 paragraphum praef. L 241 ἁ Dindorf: εἰ L: εἰ P: ἡ *l* 243 μεάδος P 245 πέτλα L P: corr. L[2] P[1] Ἀθάναν seclusi: verba Χαλκίοικον . . . μόλοιμ᾽ del. Dindorf 252 συμφέρον *l* τοι Ludv. Dindorf: σοι L P

ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.
Ελ. φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
ἆρ᾽ ἡ τεκοῦσά μ᾽ ἔτεκεν ἀνθρώποις τέρας;
[γυνὴ γὰρ οὔθ᾽ Ἑλληνὶς οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.]
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ᾽ ἐστί μου,
τὰ μὲν δι᾽ Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
εἴθ᾽ ἐξαλειφθεῖσ᾽ ὡς ἄγαλμ᾽ αὖθις πάλιν
αἴσχιον εἶδος ἔλαβον ἀντὶ τοῦ καλοῦ,
καὶ τὰς τύχας μὲν τὰς κακὰς ἃς νῦν ἔχω
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσῳζον ὥσπερ τὰς κακὰς σῴζουσί μου.
ὅστις μὲν οὖν ἐς μίαν ἀποβλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ᾽ ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
πρῶτον μὲν οὐκ οὖσ᾽ ἄδικος, εἰμὶ δυσκλεής·
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν,
ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
ἔπειτα πατρίδος θεοί μ᾽ ἀφιδρύσαντο γῆς
ἐς βάρβαρ᾽ ἤθη, καὶ φίλων τητωμένη
δούλη καθέστηκ᾽ οὖσ᾽ ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.
ἄγκυρα δ᾽ ἥ μου τὰς τύχας ὤχει μόνη,
πόσιν ποθ᾽ ἥξειν καί μ᾽ ἀπαλλάξειν κακῶν—
οὗτος τέθνηκεν, οὗτος οὐκέτ᾽ ἔστι δή.
μήτηρ δ᾽ ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγώ,
ἀδίκως μέν, ἀλλὰ τἄδικον τοῦτ᾽ ἔστ᾽ ἐμόν·
ὃ δ᾽ ἀγλάισμα δωμάτων ἐμοῦ τ᾽ ἔφυ,

257–259 del. Wieland 260 καὶ τὰ *lp*: κάρτα L P μου] μοι *l* 263 ἀντὶ τοῦ καλοῦ λαβεῖν L P: λάβω *l* et in marg. γρ. λάβω L[2]: ἀντὶ τοῦ καλοῦ ἔλαβον Porson: trai. Wilamowitz 264 et 265 κακὰς apogr. Paris.: καλὰς L P 276 πλὴν L: πρὶν P 277 δ᾽ ἥ Scaliger: δή L P ὤχει Musgrave: ὀχεῖ L P 279 ἐπεὶ τέθνηκεν οὗτος Wilamowitz 281 τοῦτ᾽] τόδ᾽ Elmsley ἔστ᾽ om. P 282 ἐμοῦ] ἐμόν Cobet

θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται·
τὼ τοῦ Διὸς δὲ λεγομένω Διοσκόρω
οὐκ ἐστόν. ἀλλὰ πάντ᾽ ἔχουσα δυστυχῆ
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ᾽ ἔργοισιν οὔ.
τὸ δ᾽ ἔσχατον τοῦτ᾽, εἰ μόλοιμεν ἐς πάτραν,
κλῄθροις ἂν εἰργοίμεσθα—τὴν ὑπ᾽ Ἰλίῳ
δοκοῦντες Ἑλένην Μενέλεω μ᾽ ἐλθεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν
ἐλθόντες, ἃ φανέρ᾽ ἦν μόνοις, ἐς ξύμβολα.
νῦν δ᾽ οὔτε τοῦτ᾽ ἔστ᾽ οὔτε μὴ σωθῇ ποτε.
τί δῆτ᾽ ἔτι ζῶ; τίν᾽ ὑπολείπομαι τύχην;
γάμους ἑλομένη τῶν κακῶν ὑπαλλαγάς,
μετ᾽ ἀνδρὸς οἰκεῖν βαρβάρου πρὸς πλουσίαν
τράπεζαν ἵζουσ᾽; ἀλλ᾽ ὅταν πόσις πικρὸς
ξυνῇ γυναικί, καὶ τὸ σῶμ᾽ ἐστιν πικρόν.
θανεῖν κράτιστον· πῶς θάνοιμ᾽ ἂν οὐ καλῶς;
[ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
κἀν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται·
σφαγαὶ δ᾽ ἔχουσιν εὐγενές τι καὶ καλόν,
σμικρὸν δ᾽ ὁ καιρὸς σάρκ᾽ ἀπαλλάξαι βίου.]
ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ᾽ αὐτὸ τοῦτ᾽ ἀπώλεσεν.

Χο. Ἑλένη, τὸν ἐλθόνθ᾽, ὅστις ἐστὶν ὁ ξένος,
μὴ πάντ᾽ ἀληθῆ δοξάσῃς εἰρηκέναι.

Ελ. καὶ μὴν σαφῶς γ᾽ ἔλεξ᾽ ὀλωλέναι πόσιν.

283 πολιᾶ L P 284 Διὸς] πατρὸς Ribbeck Διοσκόρω] δισσὼ κόρω F. Gu. Schmidt 287 ἐς hic P 288 κλείθροις L P 288, 289 εἴργοιέν με Badham : mavult δοκοῦσιν Wecklein, δοκοῦντος Scaliger μ᾽ ἐλθεῖν] θανεῖν F. Gu. Schmidt : lacunam post 288 statuit Kayser : versus fortasse sani 291 ἐς ξύμβολ᾽ ἐλθόντες ἃ φανερὰ μόνοις ἂν ἦν L P (ἐλθόνθ᾽ ἃ φανερ᾽ ἂν Porson : ἀμφανῆ Camper : tum μόνοιν Herwerden): correxi 294 ἀπαλλαγάς *p* 297 τὸ σῶμ᾽ sanum videtur : τὸ δῶμ᾽ Scaliger : τὸ σῶν Seidler 299–302 delevit Hartung 298 πῶς θάνοιμ᾽ ἂν οὖν Stephanus : προθάνοιμ᾽ ἂν οὐ L P οὐ restituit Wilamowitz, cl. vv. 303–305 302 σμικρὸς Stephanus σάρκ᾽ Hermann : ἄρτ᾽ L P 306 ἐλθόντ᾽ L P 308 ἔλεξεν L P

Χο. πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.
Ελ. καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείᾳ σαφῆ.
Χο. ἐς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρῃ.
Ελ. φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει.
Χο. πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;
Ελ. πάντες φίλοι μοι πλὴν ὁ θηρεύων γάμους.
Χο. οἶσθ' οὖν ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν—
Ελ. ἐς ποῖον ἕρπεις μῦθον ἢ παραίνεσιν;
Χο. ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντ' ἐπίσταται,
τῆς ποντίας Νηρῇδος ἐκγόνου κόρης,
πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ' ἔστ' ἔτι
εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένῃ γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ·
τάφον λιποῦσα τόνδε σύμμειξον κόρῃ·
ὅθενπερ εἴσῃ πάντα τἀληθῆ φράσαι
ἔχουσ' ἐν οἴκοις τοῖσδε, τί βλέπεις προσω;
θέλω δὲ κἀγὼ σοὶ συνεισελθεῖν δόμους
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.
Ελ. φίλαι, λόγους ἐδεξάμαν·
βᾶτε βᾶτε δ' ἐς δόμους,
ἀγῶνας ἐντὸς οἴκων
ὡς πύθησθε τοὺς ἐμούς.
Χο. θέλουσαν οὐ μόλις καλεῖς.
Ελ. ἰὼ μέλεος ἁμέρα.
τίν' ἄρα τάλαινα τίνα δακρυό-

309 ἔπη] σαφῆ Hermann 310 ἀληθείᾳ Kirchhoff : ἀληθείας L P ἀληθείας ἔπη Hermann : ἀλήθει' ἀσφαλής Wilamowitz 310–317 paragraphi praefixi in P, 313–317 in L 312 φόβος L : φόνος P περιλαβών *p* 313 τοισίδ' L P : τοῖσιν *p* (et Cobet) : τοῖσί γ' *l* 324–326 delevit Goguel 325 φράσαι] μαθεῖν Badham 330 ἐδεξάμαν L^2 P : ἐδεξάμ** L 332 οἴκων L P : δόμων suprascr. *l* aut L^2 : del. Badham 335, 340, 346, 348 paragraphos praef. L : personas hic illic addidit *l*

εντα λόγον ἀκούσομαι;
Χο. *μὴ πρόμαντις ἀλγέων*
προλάμβαν', ὦ φίλα, γόους.
Ελ. *τί μοι πόσις μέλεος ἔτλα;*
πότερα δέρκεται φάος
τέθριππά θ' ἁλίου κέλευθά τ' ἀστέρων,
ἢ 'ν νέκυσι κατὰ χθονὸς
τὰν χρόνιον ἔχει τύχαν;
Χο. *ἐς τὸ φέρτερον τίθει*
τὸ μέλλον, ὅ τι γενήσεται.
Ελ. *σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατόμοσα,*
τὸν ὑδρόεντι δόνακι χλωρὸν
Εὐρώταν, θανόντος
εἰ βάξις ἔτυμος ἀνδρὸς
ἅδε μοι—τί τάδ' ἀσύνετα;—
φόνιον αἰώρημα
διὰ δέρης ὀρέξομαι,
ἢ ξιφοκτόνον δίωγμα
λαιμορρύτου σφαγᾶς
αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
θῦμα τριζύγοις θεαῖσι
τῷ τε σήραγγας 'Ἰδαί-
ας ἐνίζοντι Πριαμί-
δᾳ ποτ' ἀμφὶ βουστάθμους.
Χο. *ἄλλοσ' ἀποτροπὰ κακῶν*
γένοιτο, τὸ δὲ σὸν εὐτυχές.

342 *τ' ἀελίου* L P : corr. Badham 343 fortasse *ἄστρων* ob metrum, cf. 632 sqq. *κέλευθά* L P: *ἐς κέλευθά l* 344 *ἢ 'ν* Jacobs : *ἢ* L P *νέκυσι l* : *νέκυσιν* L P 345 *χρόνιον* Orelli : *χθόνιον* L P : cf. I. T. 481 348 *σέ γ' ἀνεκάλεσα* Badham *κατώμοσα* L P: corr. Elmsley 349 *ὑδρόεντι* Reiske : *ὑδρόεντα* L P *χλωρὸν* Stephanus : *χῶρον* L P 352 verba *τί τάδ' ἀσύνετα* Choro vulgo tributa post correctorem apogr. Paris. 353 *ἐρέξομαι* P 355 *δαϊγμὸν αἱμορύτου* post Hartung Wecklein *λαιμορυτοῦ* L P *σφαγὰς* P 356 *ἅμιλλα* L P : corr. Musgrave 358 sq. *σήραγγας 'Ἰδαίας ἐνίζοντι* Badham : *σύραγγ' ἀοιδαὶ σεβίζον* L P : *συρίγγων ἀοιδαῖς σεβίζοντι* Wilamowitz *πριαμίδα* L P : *πριαμίδας l*

Ελ. ἰὼ Τροία τάλαινα,
δι' ἔργ' ἄνεργ' ὄλλυσαι
μέλεά τ' ἔτλας· τὰ δ' ἐμὰ δῶρα
Κύπριδος ἔτεκε πολὺ μὲν αἷμα,
πολὺ δὲ δάκρυον· ἄχεά τ' ἄχεσι,
δάκρυα δάκρυσιν ἔλαβε, πάθεα. . . .
ματέρες τε παῖδας ὄλεσαν,
ἀπὸ δὲ παρθένοι κόμας
ἔθεντο σύγγονοι νεκρῶν Σκαμάνδριον
ἀμφὶ Φρύγιον οἶδμα.
βοὰν βοὰν δ' Ἑλλὰς
κελάδησε κἀνοτότυξεν,
ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
ὄνυχι δ' ἁπαλόχροα γένυν
δεῦσε φονίαισι πλαγαῖς.

ὦ μάκαρ Ἀρκαδίᾳ ποτὲ παρθένε Καλλιστοῖ, Διὸς
ἃ λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον,
ἁ μορφᾷ θηρῶν λαχνογυίων—
ὄμματι δ' ἁβρῷ σχῆμα λεαίνεις—
ἐξαλλάξασ' ἄχθεα λύπης·
ἅν τέ ποτ' Ἄρτεμις ἐξεχορεύσατο
χρυσοκέρατ' ἔλαφον Μέροπος Τιτανίδα κούραν
καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας
ὤλεσεν ὤλεσε πέργαμα Δαρδανίας
ὀλομένους τ' Ἀχαιούς.

364 Κύπριδος Ludv. Dindorf: Κύπρις L P 366 varie tentati: fortasse sani lacuna post πάθεα posita 367 ὤλεσαν L P 370, 371 ἑλλὰς αἶ ἐκελάδησ' ἀνωτότυξεν Paley (κἀνωτότυξεν *p*) 374 ἔδευσε L P 375 Καλλιστοῖ del. Nauck, Δίων pro Διὸς scribens 376 γύοις L P: corr. *l* 377 μῖρος L P 378 λάχνα γυίων L P: corr. Reiske 379 sic nos: '*sed vultu delicato formam mitigas*': ὄμματι λάβρῳ σχῆμα λεαίνης L P: versum del. Dingelstadt 380 ἄχθεα Hermann: ἄχεα L P 381 ἐξεκορεύσατο Verrall 382 χρυσόκερω (voluit χρυσόκερωι) *l* 384 ὤλεσεν ὤλεσεν L P

ΜΕΝΕΛΕΩΣ

ὦ τὰς τεθρίππους Οἰνομάῳ Πῖσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεοὺς
πεισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον,
πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
πλεῖστον γὰρ οἶμαι—καὶ τόδ' οὐ κόμπῳ λέγω—
στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι,
τύραννος οὐδὲν πρὸς βίαν στρατηλατῶν,
ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.
καὶ τοὺς μὲν οὐκέτ' ὄντας ἀριθμῆσαι πάρα,
τοὺς δ' ἐκ θαλάσσης ἀσμένους πεφευγότας,
νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς
τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου
πύργους ἔπερσα, κἀς πάτραν χρῄζων μολεῖν
οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης τ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς
πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον
ἐσῆλθε λαῖφος ὥστε μ' ἐς πάτραν μολεῖν.
  καὶ νῦν τάλας ναυαγὸς ἀπολέσας φίλους
ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.

388–9 suspecti   392 μενέλεω L P: corr. *l*   402 καὶ εἰς L P   404 Λιβύης δ' Hermann   406 καὶ οὔποτ' L: κοὔποτ' L² P   408 ἀπώλεσας P   411 ἐλήφθη L P: corr. Stephanus   412 ἧς apogr. Flor. (Laur. xxxi, 1): οἷς L P, sed in rasura scr. L vel L²

ὄνομα δὲ χώρας ἥτις ἥδε καὶ λεὼς
οὐκ οἶδα· ὄχλον γὰρ ἐσπεσεῖν ᾐσχυνόμην
ὥσθ' ἱστορῆσαι, τὰς ἐμὰς δυσχλαινίας
κρύπτων ὑπ' αἰδοῦς τῆς τύχης. ὅταν δ' ἀνὴρ
πράξῃ κακῶς ὑψηλός, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτος πάρα
οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
πάρεστι ναὸς ἐκβόλοις ἃ ἀμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ' ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπασ'· ἐν δ' ἄντρου μυχοῖς
κρύψας γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν ἥκω τούς τε περιλελειμμένους
φίλων φυλάσσειν τἄμ' ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόσφορ' ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινός,
προσῆλθον· ἐλπὶς δ' ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις· ἐκ δὲ μὴ ἐχόντων βίον—
οὐδ' εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅστις διαγγείλειε τἄμ' ἔσω κακά;

ΓΡΑΥΣ

τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξῃ δόμων
καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις
ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανῇ
Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί.

414 λεὼ Nauck 415 οἶδα L P 416 del. Dindorf 417 τῆς τύχης Arnim : τὰς τύχας L P : maluit Nauck τῆς ἐμῆς v. 416 scribere 420 χρεία *l*: χεῖρα P et sine dubio L σῖτος Musgrave : σῖτα L P : σῖτον *l* 421 αὐτὸ Badham 422 ἃ ἀμπίσχομαι Herwerden : ἀμπίσχομαι L P 426 τε Hermann : γε L P 430 ἰδὼ P : ἴδω *p* 432 γε Reiske : τε L P 433 οἱ δὲ μὴ ἔχοντες Wecklein 434 virgulam post ὠφελεῖν habent L P : ὠφελεῖν, ἔχοιμεν Paley 436 εἴσω L P 438 θύραις Blaydes

Με. ὦ γραῖα, ταῦτα, ταῦτ᾽· ἐπεὶ καλῶς λέγεις.
ἔξεστι, πείσομαι γάρ· ἀλλ᾽ ἄνες λόγον.
Γρ. ἄπελθ᾽· ἐμοὶ γὰρ τοῦτο πρόσκειται, ξένε,
μηδένα πελάζειν τοισίδ᾽ Ἑλλήνων δόμοις.
Με. ἆ· μὴ προσείλει χεῖρα μηδ᾽ ὤθει βίᾳ.
Γρ. πείθῃ γὰρ οὐδὲν ὧν λέγω, σὺ δ᾽ αἴτιος.
Με. ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς. . . .
Γρ. πικρῶς ἄρ᾽ οἶμαί γ᾽ ἀγγελεῖν τοὺς σοὺς λόγους.
Με. ναυαγὸς ἥκω ξένος, ἀσύλητον γένος.
Γρ. οἶκον πρὸς ἄλλον νύν τιν᾽ ἀντὶ τοῦδ᾽ ἴθι.
Με. οὔκ, ἀλλ᾽ ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.
Γρ. ὀχληρὸς ἴσθ᾽ ὤν· καὶ τάχ᾽ ὠσθήσῃ βίᾳ.
Με. αἰαῖ· τὰ κλεινὰ ποῦ ᾽στί μοι στρατεύματα;
Γρ. οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ᾽, οὐκ ἐνθάδε.
Με. ὦ δαῖμον, ὡς ἀνάξι᾽ ἠτιμώμεθα.
Γρ. τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν᾽ οἰκτρὸς εἶ;
Με. πρὸς τὰς πάροιθεν συμφορὰς εὐδαίμονας.
Γρ. οὔκουν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις;
Με. τίς δ᾽ ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;
Γρ. Πρωτεὺς τάδ᾽ οἰκεῖ δώματ᾽, Αἴγυπτος δὲ γῆ.
Με. Αἴγυπτος; ὢ δύστηνος, οἶ πέπλευκ᾽ ἄρα.
Γρ. τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γάνος;
Με. οὐ τοῦτ᾽ ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
Γρ. πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
Με. ἔστ᾽ οὖν ἐν οἴκοις ὅντιν᾽ ὀνομάζεις ἄναξ;

441 ἐπεὶ scripsi : ἔπη L P κἄλλως λέγειν ἔξεστι Herwerden 444 τοῖσι* P : τοῖσιν *p* 445 sq. post 452 trai. Schenkl 445 προσείλει L (et rescripsit *l*) P : γρ. πρόσαγε in marg. *p* : πρόσειε Matthiae, cl. Her. 1218 446 σὺ δ᾽ αἴτιος· πείθῃ γὰρ οὐδὲν ὧν λέγω Dobree 447–483 paragraphi praef. in L : 447–476 in P 448 ἄρ᾽ Hermann : ἂν L P : versus varie tentatus : ἂν φῄμην Wecklein : σοὺς ἀπαγγεῖλαι λόγους Nauck 450 νῦν L P 452 ἴσθ᾽] οἶσθ᾽ in ras. *p* 458 σώσεις Bruhn 460 Πρωτέως τάδ᾽ ἐστὶ μέλαθρα Ar. Thesm. 874 : Πρωτέως τάδ᾽ ἐστὶ δώματ᾽ Kirchhoff 461 οἶ πεπλώκαμεν Ar. Thesm. 878, unde πέπλωκ᾽ hic Paley ; cf. 532 462 μεμπτόν P : μεπτόν L γάνος] γένος Musurus ex apogr. Paris.

Γρ. τόδ᾽ ἐστὶν αὐτοῦ μνῆμα, παῖς δ᾽ ἄρχει χθονός.
Με. ποῦ δῆτ᾽ ἂν εἴη; πότερον ἐκτὸς ἢ ᾽ν δόμοις;
Γρ. οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
Με. τίν᾽ αἰτίαν σχὼν ἧς ἐπηυρόμην ἐγώ;
Γρ. Ἑλένη κατ᾽ οἴκους ἐστὶ τούσδ᾽ ἡ τοῦ Διός.
Με. πῶς φῄς; τίν᾽ εἶπας μῦθον; αὖθίς μοι φράσον.
Γρ. ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ᾽ ἦν.
Με. πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ᾽ ἔχει λόγον;
Γρ. Λακεδαίμονος γῆς δεῦρο νοστήσασ᾽ ἄπο.
Με. πότε; οὔ τί που λελῄσμεθ᾽ ἐξ ἄντρων λέχος;
Γρ. πρὶν τοὺς Ἀχαιούς, ὦ ξέν᾽, ἐς Τροίαν μολεῖν.
ἀλλ᾽ ἕρπ᾽ ἀπ᾽ οἴκων· ἔστι γάρ τις ἐν δόμοις
τύχη, τύραννος ᾗ ταράσσεται δόμος.
καιρὸν γὰρ οὐδέν᾽ ἦλθες· ἢν δὲ δεσπότης
λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται.
εὔνους γάρ εἰμ᾽ Ἕλλησιν, οὐχ ὅσον πικροὺς
λόγους ἔδωκα δεσπότην φοβουμένη.
Με. τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
ἐκ τῶν πάροιθεν τὰς παρεστώσας κλύω,
εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
ἥκω δάμαρτα καὶ κατ᾽ ἄντρα σῴζεται,
ὄνομα δὲ ταὐτὸν τῆς ἐμῆς ἔχουσά τις
δάμαρτος ἄλλη τοισίδ᾽ ἐνναίει δόμοις.
Διὸς δ᾽ ἔλεξε παῖδά νιν πεφυκέναι.
ἀλλ᾽ ἦ τις ἔστι Ζηνὸς ὄνομ᾽ ἔχων ἀνὴρ
Νείλου παρ᾽ ὄχθας; εἷς γὰρ ὅ γε κατ᾽ οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστι πλὴν ἵνα ῥοαὶ
τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνου;

466 μνῆμα] σῆμα Ar. Thesm. 886 474 γῆς *p* et Victorius: τοῖς L P sed ἧς suprascr. L[2] 475 πότε L P ἄντρω P λέχος Heath: λέχους L P 477 ἐν δόμοις] ἐμποδὼν Wecklein: ἐνθάδε Herwerden ob v. sequentem 479 οὐδὲν L P: corr. Musgrave 484 τὰς L[2] P: τὼ L 488 δάμαρ δ᾽ ἔτ᾽ ἄλλη versu 487 deleto Vitelli τοισίδ᾽] τοῖσιν *p* 491 ὅτε in ὅ γε mut. ut videtur L P 492 σπάρτης P ἵνα Matthiae: ἵν᾽ αἱ L P

ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.
Λακεδαίμονος δὲ γαῖα τίς ξυνώνυμος
Τροίας τε; ἐγὼ μὲν οὐκ ἔχω τί χρὴ λέγειν.
πολλοὶ γάρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ
ὀνόματα ταὔτ' ἔχουσι καὶ πόλις πόλει
γυνή γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον.
οὐδ' αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα·
ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,
ὃς ὄνομ' ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.
κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ' ὃς ἧψά νιν,
Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.
δόμων ἄνακτα προσμενῶ· δισσὰς δέ μοι
ἔχει φυλάξεις· ἢν μὲν ὠμόφρων τις ᾖ,
κρύψας ἐμαυτὸν εἶμι πρὸς ναυάγια·
ἢν δ' ἐνδιδῷ τι μαλθακόν, τὰ πρόσφορα
τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.
κακῶν μὲν ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
ἄλλους τυράννους αὐτὸν ὄντα βασιλέα
βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφὸν δ' ἔπος,
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

ΧΟΡΟΣ

ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,
ἃ χρῄζουσ' ἐφάνη τυράννοις
δόμοις, ὡς Μενέλαος οὔ-
πω μελαμφαὲς οἴχεται
δι' ἔρεβος χθονὶ κρυφθείς,

494 διπλοῦν . . . κλῄζεται; Nauck 496 Τροίας τε L P 498 ταῦτ' L P 504 seclusit Cobet 505–506 δισσὰς . . . ἔχει Musgrave: ἔχει . . . δισσὰς L P 507 κρύψων Badham 509 ταῖς νῦν παρούσαις συμφοραῖς Reiske: τῇ νῦν παρούσῃ συμφορᾷ σφ' Hermann 510 κακὸν p μὲν Paley: δέ θ' L P: δ' ἔθ' Hartung: δέ γ' Lenting τοῖς] τόδ' Wilamowitz 513 σοφὸν L P: σοφῶν l 514 ἰσχύειν l vel L²: ἰσχύει L P 516 χρήσασ' Dindorf: ⟨ἄνασσ'⟩ ἃ χρῄζουσ' Wilamowitz ἐφάνην l, unde ἐφάνη 'ν Badham

ἀλλ᾽ ἔτι κατ᾽ οἶδμ᾽ ἅλιον
τρυχόμενος οὔπω λιμένων
ψαύσειεν πατρίας γᾶς,
ἀλατείᾳ βιότου
ταλαίφρων, ἄφιλος φίλων,
παντοδαπᾶς †ἐπὶ γᾶς† πόδα
χριμπτόμενος εἰναλίῳ
κώπᾳ Τρῳάδος ἐκ γᾶς.

Ελ. ἥδ᾽ αὖ τάφου τοῦδ᾽ εἰς ἕδρας ἐγὼ πάλιν
στείχω, μαθοῦσα Θεονόης φίλους λόγους,
ἣ πάντ᾽ ἀληθῶς οἶδε· φησὶ δ᾽ ἐν φάει
πόσιν τὸν ἁμὸν ζῶντα φέγγος εἰσορᾶν,
πορθμοὺς δ᾽ ἀλᾶσθαι μυρίους πεπλωκότα
ἐκεῖσε κἀκεῖσ᾽ οὐδ᾽ ἀγύμναστον πλάνοις,
ἥξειν ⟨δ᾽⟩ ὅταν δὴ πημάτων λάβῃ τέλος.
ἓν δ᾽ οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται.
ἐγὼ δ᾽ ἀπέστην τοῦτ᾽ ἐρωτῆσαι σαφῶς,
ἡσθεῖσ᾽ ἐπεί νιν εἶπέ μοι σεσῳσμένον.
ἐγγὺς δέ νίν που τῆσδ᾽ ἔφασκ᾽ εἶναι χθονός,
ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις.
ὤμοι, πόθ᾽ ἥξεις; ὡς ποθεινὸς ἂν μόλοις.
ἔα, τίς οὗτος; οὔ τί που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
οὐχ ὡς δρομαία πῶλος ἢ Βάκχη θεοῦ
τάφῳ ξυνάψω κῶλον; ἄγριος δέ τις
μορφὴν ὅδ᾽ ἐστίν, ὅς με θηρᾶται λαβεῖν.
Με. σὲ τὴν ὄρεγμα δεινὸν ἡμιλλημένην
τύμβου 'πὶ κρηπῖδ᾽ ἐμπύρους τ᾽ ὀρθοστάτας,

525 sq. nondum emendati 526 ἐναλίῳ L P 532 πεπλευκότα Matthiae, sed cf. ad 461 533 ἐκεῖσ᾽ ἐκεῖσε L : ἐκεῖσ᾽ ἐκεῖσ᾽ P : corr. Canter 534 δ᾽ add. Wilamowitz 540 ὤμοι Dobree : ὥς μοι L P 542 πρωτέως L^2 P : πρωτέος L 544 ἄγριός γέ τις Kirchhoff

μεῖνον· τί φεύγεις; ὡς δέμας δείξασα σὸν
ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστίθῃς
Ελ. *ἀδικούμεθ', ὦ γυναῖκες· εἰργόμεσθα γὰρ*
τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ' ἑλὼν θέλει
δοῦναι τυράννοις ὧν ἐφεύγομεν γάμους.
Με. *οὐ κλῶπές ἐσμεν, οὐχ ὑπηρέται κακῶν.*
Ελ. *καὶ μὴν στολήν γ' ἄμορφον ἀμφὶ σῶμ' ἔχεις.*
Με. *στῆσον, φόβου μεθεῖσα, λαιψηρὸν πόδα.*
Ελ. *ἵστημ', ἐπεί γε τοῦδ' ἐφάπτομαι τόπου.*
Με. *τίς εἶ; τίν' ὄψιν σήν, γύναι, προσδέρκομαι;*
Ελ. *σὺ δ' εἶ τίς; αὑτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.*
Με. *οὐπώποτ' εἶδον προσφερέστερον δέμας.*
Ελ. *ὦ θεοί· θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.*
⟨Με. *Ἑλληνὶς εἶ τις ἢ ἐπιχωρία γυνή;*⟩
Ελ. *Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.*
Με. *Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.*
Ελ. *ἐγὼ δὲ Μενέλεῴ γε σέ· οὐδ' ἔχω τί φῶ.*
Με. *ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.*
Ελ. *ὢ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.*
Με. *ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.*
Ελ. *ἥν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.*
Με. *ὦ φωσφόρ' Ἑκάτη, πέμπε φάσματ' εὐμενῆ.*
Ελ. *οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ' ὁρᾷς.*
Με. *οὐ μὴν γυναικῶν γ' εἷς δυοῖν ἔφυν πόσις.*
Ελ. *ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;*
Με. *ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.*
Ελ. *οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.*

549 *προστιθεῖς* fere codd. 553–594 paragraphi praef. in L P 555 *φόβον* Valckenaer 556 *τάφου* Elmsley 557 *ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;* Ar. Thesm. 905 558 *αὐτὸς* L P *λόγος* L *p* Ar. Thesm. 906 : *λόγου* P 561 om. L P : restituit ex Ar. Thesm. 907 Markland 564 *Μενέλεῳ* Dindorf : *μενελάω* L P et codd. Ar. Thesm. 910 *σέ* L P : *σ' p* *οὐδ'* L : *οὐκ* P 565 *γὰρ* L P : *ἄρ'* codd. Ar. Thesm. 911 566 *ἐς* hic L P 570–589 versuum ordinem alii aliter mutaverunt ut 572 sq. post 581 sequerentur 570 *πρόσπολον* L P : corr. Canter 571 *δυοῖν* L : *δυῖεν* L² P

Με. οὔ που φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;
Ελ. οὐ γάρ με λεύσσων σὴν δάμαρθ' ὁρᾶν δοκεῖς;
Με. τὸ σῶμ' ὅμοιον, τὸ δὲ σαφές μ' ἀποστερεῖ.
Ελ. σκέψαι· τί σοὐνδεῖ; τίς δὲ σοῦ σοφώτερος;
Με. ἔοικας· οὔτοι τοῦτό γ' ἐξαρνήσομαι.
Ελ. τίς οὖν διδάξει σ' ἄλλος ἢ τὰ σ' ὄμματα;
Με. ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ' ἄλλην ἔχω.
Ελ. οὐκ ἦλθον ἐς γῆν Τρῳάδ', ἀλλ' εἴδωλον ἦν.
Με. καὶ τίς βλέποντα σώματ' ἐξεργάζεται;
Ελ. αἰθήρ, ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη.
Με. τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
Ελ. Ἥρας, διάλλαγμ', ὡς Πάρις με μὴ λάβοι.
Με. πῶς οὖν ἂν ἐνθάδ' ἦσθά ⟨τ'⟩ ἐν Τροίᾳ θ' ἅμα;
Ελ. τοὔνομα γένοιτ' ἂν πολλαχοῦ, τὸ σῶμα δ' οὔ.
Με. μέθες με, λύπης ἅλις ἔχων ἐλήλυθα.
Ελ. λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν' ἐξάξεις λέχη;
Με. καὶ χαῖρέ γ', Ἑλένῃ προσφερὴς ὁθούνεκ' εἶ.
Ελ. ἀπωλόμην· λαβοῦσά σ' οὐχ ἕξω πόσιν.
Με. τοὐκεῖ με μέγεθος τῶν πόνων πείθει, σὺ δ' οὔ.
Ελ. οἴ 'γώ· τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
οἱ φίλτατοι λείπουσί μ' οὐδ' ἀφίξομαι
Ἕλληνας οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.

ΑΓΓΕΛΟΣ

Μενέλαε, μαστεύων σε κιγχάνω μόλις
πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.

575 οὔπου L P: ἦ που *l p* 578 σοὐνδεῖ Seidler: σου δεῖ L P δὲ Fix: ἔστι L P: τὰ σ' οὐδείς ἐστι Elmsley τί σοι δεῖ πίστεως σαφεστέρας; Badham 580 τὰ σ' *p* rasura post σ' facta: τὰ σὰ γ' L (sic) 581 ἐκεῖνο σοῦ μὲν L P: corr. Scaliger 585 ἄελπτα L: εὔελπτα P 586 Ἥρας Scaliger: ἧρα L P λάβοι] λάβῃ primitus P 587 ἂν] ἅμ' anonymus ἦσθά τ' Barnes: ἦσθ' L P: ἦσθας Nauck: cf. Menand. Discept. 156, Her. 10 589 λύπης Elmsley: λύπας L P 592 ἀπολόμην P σ' L² P: σε L 595 λείπουσί μ' Musgrave: λείπουσιν L P 597 κιχάνω L P: corr. Matthiae

Με. τί δ' ἔστιν; οὔ που βαρβάρων συλᾶσθ' ὕπο;
Αγ. θαῦμ' ἔστ', ἔλασσον τοὔνομ' ἢ τὸ πρᾶγμ' ἔχον.
Με. λέγ'· ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.
Αγ. λέγω πόνους σε μυρίους τλῆναι μάτην.
Με. παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;
Αγ. βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτυχὰς
ἀρθεῖσ' ἄφαντος· οὐρανῷ δὲ κρύπτεται
λιποῦσα σεμνὸν ἄντρον οὗ σφ' ἐσῴζομεν,
τοσόνδε λέξασ'· Ὦ ταλαίπωροι Φρύγες
πάντες τ' Ἀχαιοί, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνῄσκετε,
δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
ἐγὼ δ', ἐπειδὴ χρόνον ἔμειν' ὅσον με χρῆν,
τὸ μόρσιμον σῴσασα, πατέρ' ἐς οὐρανὸν
ἄπειμι· φήμας δ' ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν οὐδὲν αἰτία.
ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ' ἦσθ' ἄρα;
ἐγὼ δέ σ' ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον εἰδὼς οὐδὲν ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ' αὖθις, ὡς ἄδην ἐν Ἰλίῳ
πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.
Με. τοῦτ' ἔστ' ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
οἱ τῆσδ' ἀληθεῖς. ὦ ποθεινὸς ἡμέρα,
ἥ σ' εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.

Ελ. ὦ φίλτατ' ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,

600 οὔπου L P : ἦ που *l* 601 θαῦμ' ἔστ' Scaliger : θαυμά 'στ L : θαυμάστ' P ἔχον *p* : ἔχων L P 602-605 paragraphi praef. in L P 602 φέρης P 605 πτύχας L P 607 λιποῦσ' ἐρεμνὸν Schneidewin 612 μ' ἐχρῆν L P 617 βεβηκυίης *l* ut videtur 621 σῷ Milton : ᾧ L P 623 τοῖς τῆσδ' ἀληθῶς Herwerden 624 ἥ σ' Canter : ὡς L P

περί τ᾿ ἐπέτασα χέρα
φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.
Με. κἀγὼ σέ· πολλοὺς δ᾿ ἐν μέσῳ λόγους ἔχων
οὐκ οἶδ᾿ ὁποίου πρῶτον ἄρξωμαι τὰ νῦν.
Ελ. γέγηθα, κρατὶ δ᾿ ὀρθίους ἐθείρας
ἀνεπτέρωκα καὶ δάκρυ σταλάσσω,
περὶ δὲ γυῖα χέρας ἔβαλον, ἡδονάν,
ὦ πόσις, ὡς λάβω.
Με. ὦ φιλτάτη πρόσοψις, οὐκ ἐμέμφθην·
ἔχω τὰ τῆς Διός τε λέκτρα Λήδας θ᾿,
ἃν ὑπὸ λαμπάδων κόροι λεύκιπποι
ξυνομαίμονες ὤλβισαν ὤλβισαν
τὸ πρόσθεν, ἐκ δόμων δὲ νοσφίσας σ᾿ ἐμοῦ
πρὸς ἄλλαν ἐλαύνει
θεὸς συμφορὰν τᾶσδε κρείσσω.
τὸ κακὸν δ᾿ ἀγαθὸν σέ τε κἀμὲ συνάγαγε, πόσιν
χρόνιον, ἀλλ᾿ ὅμως ὀναίμαν τύχας.
Χο. ὄναιο δῆτα. ταὐτὰ δὴ ξυνεύχομαι·
δυοῖν γὰρ ὄντοιν οὐχ ὃ μὲν τλήμων, ὃ δ᾿ οὔ.
Ελ. φίλαι φίλαι, τὰ πάρος οὐκέτι
στένομεν οὐδ᾿ ἀλγῶ.
πόσιν ἐμὸν ἔχομεν [ἔχομεν,] ὃν [ἔμενον]

628 *περί τ᾿ ἐπέτασα* Hermann : *περιπετάσασα* L P *χέρα* L[1] vel L[2], sed *α* super rasuram scripto 630–683 paragraphi pro personarum notis in L, excepto 656 Ελ. 631 *ἄρξομαι* L P : corr. Hermann 633 *δάκρυ*] *δάρυ* P 634 *χεῖρας* L P 635 *ὡς λάβω ὦ πόσις* L P, trai. Elmsley 636 verba *ὦ φιλτάτη πρόσοψις* Helenae continuant L P : corr. Reisig 637 *τῆς* Schaefer : *τοῦ* L P *Διός τε* Reisig : *διὸς* L P *λήδας τε* L P : *τὰ τῆς Λήδας Διός τε λέκτρα* Wilamowitz, ne in catalectico elideretur 641 *δὲ νοσφίσας* Elmsley : *δ᾿ ἐνόσφισαν θεοί* L P, cf. v. sequentem *σ᾿ ἐμοῦ* Portus : *σ᾿ ὁμοῦ* L P 642 *ἄλλαν* Elmsley : *ἄλλαν δ᾿* L P 644 Helenae tribuit Hermann *συνάγαγε πόσιν* L P : *συνάγαγεν, ὦ πόσι* Dindorf 646 Χο. Wilamowitz : Με. Tyrwhitt : Helenae tribuunt L P *ταῦτὰ* (sic) ut videtur L : *ταῦτα* P 647 *δυοῖν* *l p* (vel L[2] P[2]) : *δυεῖν* L P 648 Ελ. notam erasam in L om. P 650 aut uncis inclusa dele aut *ἐμὸν* cum Seidlero duplica : *χρόνον* post *Τροίας* addebat Blass ex Bacch. Introd. Mus. p. 25 *ἔνατος δὲ δόχμιος . . . οἷον ἔμμεν ἐκ Τροίας χρόνον*

ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.
Με. ἔχεις, ἐγώ τε σέ· ἡλίους δὲ μυρίους
μόλις διελθὼν ᾐσθόμην τὰ τῆς θεοῦ.
ἐμὰ δὲ χαρμονὰ δάκρυα· πλέον ἔχει
χάριτος ἢ λύπας.
Ελ. τί φῶ; τίς ἂν τάδ' ἤλπισεν βροτῶν ποτε;
ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
Με. κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
μολεῖν Ἰλίου τε μελέους πύργους.
πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;
Ελ. ἒ ἔ· πικρὰς ἐς ἀρχὰς βαίνεις,
ἒ ἔ· πικρὰν δ' ἐρευνᾷς φάτιν.
Με. λέγ'· ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
Ελ. ἀπέπτυσα μὲν λόγον, οἷον οἷον ἐσοίσομαι.
Με. ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.
Ελ. οὐκ ἐπὶ βαρβάρου λέκτρα νεανία
πετομένας κώπας,
πετομένου δ' ἔρωτος ἀδίκων γάμων . .
Με. τίς ⟨γάρ⟩ σε δαίμων ἢ πότμος συλᾷ πάτρας;
Ελ. ὁ Διὸς ὁ Διός, ὦ πόσι, παῖς μ' . . .
ἐπέλασεν Νείλῳ.
Με. θαυμαστά· τοῦ πέμψαντος; ὢ δεινοὶ λόγοι.
Ελ. κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν.
Με. Ἥρα; τί νῷν χρῄζουσα προσθεῖναι κακόν;
Ελ. ὤμοι ἐμῶν δεινῶν, λουτρῶν καὶ κρηνῶν,
ἵνα θεαὶ μορφὰν

652 ἔχεις μ' Jacobs δὲ] δὴ *l* 654 δάκρυα χαρμονὰ L P (χαρμονὰν *l*): trai. Elmsley (χαρμονᾶν legens) 656 τί φῶ om. P ἤλπισεν L: ἤλπισε L² P 661 πικρὰς ἐς ἀρχὰς γρ. L: πικρὰν ἐς ἀρχὰν L P in textu 665 τοι *l*: τι L P 666 βαρβάρου λέκτρα post L. Dindorfium Kluge: λέκτρου βαρβάρου L P 667 πετομένας *l p*: πετωμένας L P 669 γάρ om. L P: add. Barnes 670 παῖς μ'] με παῖς Ἑρμᾶς vel με παῖς Μαίας τ' Hermann 671 ἐπέλασε L 673 φλέφαρον L: corr. L² 675 Με. Ἥρα L P (paragraphum L): Ἥρα. Μεν. *l* τί νῷν Hermann: τίνων L P 676 ὤμοι Ἰδαίων Wilamowitz

ἐφαίδρυναν, ἔνθεν ἔμολεν κρίσις.
Με. τὰ δ' ἐς κρίσιν σοι τῶνδ' ἔθηχ' Ἥρα κακῶν . . .;
Ελ. Πάριν ὡς ἀφέλοιτο . . . Με. πῶς; αὔδα.
Ελ. Κύπρις ᾧ μ' ἐπένευσεν . . . Με. ὢ τλᾶμον.
Ελ. τλάμων, τλάμων· ὧδ' ἐπέλασ' Αἰγύπτῳ.
Με. εἶτ' ἀντέδωκ' εἴδωλον, ὡς σέθεν κλύω.
Ελ. τὰ δὲ ⟨σὰ⟩ κατὰ μέλαθρα πάθεα πάθεα, μᾶ-
τερ, οἲ 'γώ. Με. τί φῄς;
Ελ. οὐκ ἔστι μάτηρ· ἀγχόνιον δὲ βρόχον
δι' ἐμὰν κατεδήσατο δύσγαμος αἰσχύναν.
Με. ὤμοι· θυγατρὸς δ' Ἑρμιόνης ἔστιν βίος;
Ελ. ἄγαμος ἄτεκνος, ὦ πόσι, καταστένει
γάμον ἄγαμον ⟨ἐμόν⟩.
Με. ὦ πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας Πάρις,
τάδε καὶ σὲ διώλεσε μυριάδας τε
χαλκεόπλων Δαναῶν.
Ελ. ἐμὲ δὲ πατρίδος ἄπο κακόποτμον ἀραίαν
ἔβαλε θεὸς ἀπό ⟨τε⟩ πόλεος ἀπό τε σέθεν,
ὅτε μέλαθρα λέχεά τ' ἔλιπον—οὐ λιποῦσ'
ἐπ' αἰσχροῖς γάμοις.

Χο. εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.
Αγ. Μενέλαε, κἀμοὶ πρόσδοτον τῆς ἡδονῆς,

678 ἔμολε L P 679 τάδ' L P si lectio sana fractus est sermo: supple αἰτίαν: τήνδ' et κακά Wilamowitz 680–681 Πάριν . . . Κύπρις Reiske: κύπριν. . . πάριν L P: κύπρις . . . πάριν apogr. Par. fortasse recte 681 ἐπένευσ' *l* τλῆμον L P: corr. Musurus 682 τλάμονα τλαμόνως Kirchhoff 684 σὰ add. Hermann 685 Με. P: paragraphum L 687 ἐμὰν Duport: ἐμὲ L P: ἐμὲ et αἰσχύνᾳ Hermann 688 ἔστιν *l*: ἔστι L P 689 ἄτεκνος semel *l*: bis L P πόσι Musurus: πόσις L P 690 ἐμόν Hermann: αἰσχύνα L P (αἰσχύναν *l*) ex 687 694 Helenae notam om. L P: hic add. *l*, v. 692 male praef. P[1] vel *p* 695 ἔβαλλε L P: corr. apogr. Flor. (Laur. xxxi, 1) τε πόλεος Matthiae: πόλεος L P 696 ὅτε Dobree: ὅτι L P 700 πρόσδοτον Cobet: πρόσδοτε L P: προσδοτέα Elmsley

ἣν μανθάνω μὲν καὐτός, οὐ σαφῶς δ' ἔχω.
Με. ἀλλ', ὦ γεραιέ, καὶ σὺ κοινώνει λόγων.
Αγ. οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;
Με. οὐχ ἥδε, πρὸς θεῶν δ' ἦμεν ἠπατημένοι,
νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν [λυγρόν].
Αγ. τί φῄς;
νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;
Με. Ἥρας τάδ' ἔργα καὶ θεῶν τρισσῶν ἔρις.
Αγ. ἡ δ' οὖσ' ἀληθῶς ἐστιν ἥδε σὴ δάμαρ;
Με. αὕτη· λόγοις [δ'] ἐμοῖσι πίστευσον τάδε.
Αγ. ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον. εὖ δέ πως πάντα στρέφει
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὃ μὲν πονεῖ,
ὃ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
σὺ γὰρ πόσις τε σὸς πόνων μετέσχετε,
σὺ μὲν λόγοισιν, ὃ δὲ δορὸς προθυμίᾳ.
σπεύδων δ' ὅτ' ἔσπευδ' οὐδὲν εἶχε· νῦν δ' ἔχει
αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
οὐκ ἄρα γέροντα πατέρα καὶ Διοσκόρω
ᾔσχυνας, οὐδ' ἔδρασας οἷα κλῄζεται.
νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν
καὶ λαμπάδων μεμνήμεθ' ἃς τετραόροις
ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις
ξὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν
καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς.

701 μὲν καὶ αὐτὸς L : δὲ καὶ αὐτὸς P 704–711 paragraphi praefixi in L : 704 Nuntio, 705 Menelao tribuit P 705 λυγρόν seclusit Badham 706 ante τί φῄς deest paragraphus in L : τί φῄς del. Matthiae 710 δ' seclusit Herwerden 711 σκέψαι γὰρ ὁ θεὸς ὃς ἔχει τι ποικίλον Stob. Ecl. i. 7. 6 712 πως πάντα στρέφει Herwerden : πως ἀναστρέφει L P : πάντ' ἀναστρέφει Schenkl 713 χὣ μὲν Wilamowitz 717 δορὸς τρικυμίᾳ Bruhn 725 σὺν L P ἔλιπες L P

ἐγὼ μὲν εἴην, κεἰ πέφυχ' ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ· κρεῖσσον γὰρ τόδ' ἢ δυοῖν κακοῖν
ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς
ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας.

Με. ἄγ', ὦ γεραιέ, πολλὰ μὲν παρ' ἀσπίδα
μοχθήματ' ἐξέπλησας ἐκπονῶν ἐμοί,
καὶ νῦν μετασχὼν τῆς ἐμῆς εὐπραξίας
ἄγγειλον ἐλθὼν τοῖς λελειμμένοις φίλοις
τάδ' ὡς ἔχονθ' ηὕρηκας οἷ τ' ἐσμὲν τύχης,
μένειν τ' ἐπ' ἀκταῖς τούς τ' ἐμοὺς καραδοκεῖν
ἀγῶνας οἵ μένουσί μ', ὡς ἐλπίζομεν,
κεἰ τήνδε πως δυναίμεθ' ἐκκλέψαι χθονός,
φρουρεῖν ὅπως ἂν εἰς ἓν ἐλθόντες τύχης
ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.

Αγ. ἔσται τάδ', ὦναξ. ἀλλά τοι τὰ μάντεων
ἐσεῖδον ὡς φαῦλ' ἐστὶ καὶ ψευδῶν πλέα.
οὐδ' ἦν ἄρ' ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς
οὐδὲ πτερωτῶν φθέγματ'· εὔηθες δέ τοι
τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.
Κάλχας γὰρ οὐκ εἶπ' οὐδ' ἐσήμηνε στρατῷ
νεφέλης ὑπερθνῄσκοντας εἰσορῶν φίλους
οὐδ' Ἕλενος, ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.
εἴποις ἄν· Οὕνεχ' ὁ θεὸς οὐκ ἠβούλετο;
τί δῆτα μαντευόμεθα; τοῖς θεοῖσι χρὴ
θύοντας αἰτεῖν ἀγαθά, μαντείας δ' ἐᾶν·

728 κεἰ Musgrave: καὶ L P: εἰ Stob. fl. 62. 2   731 δυοῖν l: δυεῖν L P   732 ἕν' l: ἓν L P   734 ἄγ'] ἀλλ' p   735 ἐκ πόνων ἐμῶν L P: corr. Barnes   738 ἔχονθ' Stephanus: ἔχων L P εὕρηκας L P   οἷ] οὗ Tyrwhitt   740 μένουσί μ' ὡς Musgrave: μένουσιν οὓς L: μέλλουσιν οὓς P   741 κεἰ τήνδε πως Ludv. Dindorf: καὶ τήνδε πῶς L P   ἐκκλέψαι p: ἐκπλέξαι L P   745 ἐσεῖδον hic L P   747 οὐδὲ Kirchhoff: οὔτε L P   751 οὐδ' Ἕλενος Porson: οὐδέν γε L: οὐδέν γ' P   752 εἴποι P   v. del. Cobet   753 μαντευόμεσθα L P

βίου γὰρ ἄλλως δέλεαρ ηὑρέθη τόδε,
κοὐδεὶς ἐπλούτησ' ἐμπύροισιν ἀργὸς ὤν·
γνώμη δ' ἀρίστη μάντις ἥ τ' εὐβουλία.
Χο. ἐς ταὐτὸ κἀμοὶ δόξα μαντειῶν πέρι
χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τις ἂν
φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις.
Ελ. εἶέν· τὰ μὲν δὴ δεῦρ' ἀεὶ καλῶς ἔχει.
ὅπως δ' ἐσώθης, ὦ τάλας, Τροίας ἄπο,
κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.
Με. ἦ πόλλ' ἀνήρου μ' ἑνὶ λόγῳ μιᾷ θ' ὁδῷ.
τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς
τὰ Ναυπλίου τ' Εὐβοικὰ πυρπολήματα
Κρήτην τε Λιβύης θ' ἃς ἐπεστράφην πόλεις,
σκοπιάς τε Περσέως; οὐ γὰρ ἐμπλήσαιμί σ' ⟨ἂν⟩
μύθων, λέγων τ' ἄν σοι κάκ' ἀλγοίην ἔτι,
πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.
Ελ. κάλλιον εἶπας ἤ σ' ἀνηρόμην ἐγώ.
ἓν δ' εἰπὲ πάντα παραλιπών, πόσον χρόνον
πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον;
Με. ἐν ναυσὶν ὢν πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
ἔτεσι διῆλθον ἑπτὰ περιδρομὰς ἐτῶν.
Ελ. φεῦ φεῦ· μακρόν γ' ἔλεξας, ὦ τάλας, χρόνον
σωθεὶς δ' ἐκεῖθεν ἐνθάδ' ἦλθες ἐς σφαγάς.
Με. πῶς φῄς; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
Ελ. φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός.

755 εὑρέθη L P 758 μαντειῶν Wilamowitz: μάντεων L P 759 γέρον τί L P: corr. *l* 760 ἔχει L et suprascr. P: ἔχοι P et suprascr. L 765 ἑνὶ λόγῳ Pierson: ἐν ὀλίγῳ L P 767 εὐβοϊκὰ L P 768 Κρήτης Kirchhoff Λιβύης Reiske: λιβύην L P 769 σ' ἂν Dindorf: σε L P οὐ γὰρ ἂν παυσαίμεθα Herwerden 770 λέγων τ' ἂν L *p*: λέγοντα P 771 πάσχον P: corr. *p* ἔκαμνον *l*: ἔκαμον L P 775 ἐν ναυσὶν ὢν Apelt: ἐνιαύσιον L P: ἐνιαυσίους Boissonade, cf. ἐτῶν ἐνιαυτούς 776 διῆλθον P: διῆλθον δ' L 780 = Phoen. 972: delevit Valckenaer

θανῇ πρὸς ἀνδρὸς οὗ τάδ' ἐστὶ δώματα.
Με. τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;
Ελ. ἥκεις ἄελπτος ἐμποδὼν ἐμοῖς γάμοις.
Με. ἦ γὰρ γαμεῖν τις τἄμ' ἐβουλήθη λέχη;
Ελ. ὕβριν θ' ὑβρίζειν εἰς ἔμ', ἣν ἔτλην ἐγώ.
Με. ἰδίᾳ σθένων τις ἢ τυραννεύων χθονός;
Ελ. ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.
Με. τόδ' ἔστ' ἐκεῖν' αἴνιγμ' ὃ προσπόλου κλύω.
Ελ. ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;
Με. τοῖσδ', ἔνθεν ὥσπερ πτωχὸς ἐξηλαυνόμην.
Ελ. οὔ που προσῄτεις βίοτον; ὢ τάλαιν' ἐγώ.
Με. τοὔργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχεν τόδε.
Ελ. πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.
Με. οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τάδ' οὐκ ἔχω.
Ελ. ἄθικτον εὐνὴν ἴσθι σοι σεσῳσμένην.
Με. τίς τοῦδε πειθώ; φίλα γάρ, εἰ σαφῆ λέγεις.
Ελ. ὁρᾷς τάφου τοῦδ' ἀθλίους ἕδρας ἐμάς;
Με. ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοὶ μέτα;
Ελ. ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.
Με. βωμοῦ σπανίζουσ' ἢ νόμοισι βαρβάροις;
Ελ. ἐρρύεθ' ἡμᾶς τοῦτ' ἴσον ναοῖς θεῶν.
Με. οὐδ' ἄρα πρὸς οἴκους ναυστολεῖν ⟨σ'⟩ ἔξεστί μοι;
Ελ. ξίφος μένει σε μᾶλλον ἢ τοὐμὸν λέχος.
Με. οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.
Ελ. μή νυν καταιδοῦ, φεῦγε δ' ἐκ τῆσδε χθονός.
Με. λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.
Ελ. κρεῖσσον γὰρ ἤ σε τἄμ' ἀποκτεῖναι λέχη.

782–842 paragraphi praefixi in L P 783 ἐμποδὼν Badham: ἐμποδών τ' L P 785 εἰς ἐμὴν εὐνὴν ἔτλη F. Gu. Schmidt 786 σθένων Musurus: θένων L P 787 προτέως P: corr. *p* 788 αἴνιγμ' Canter: αἶαγμ' L P 790 τοῖσδ' Scaliger: τοῖς L P 791 ἧπου *l p* 792 ὄνομ' οὐκ P: corr. *p* εἶχεν Wecklein: εἶχον L P 798 ταλαίνας *p* 800 βωμὸν P: corr. *p* 802 σ' add. Musgrave 803 μένει σε Musgrave: μὲν εἶσι L P 805 νῦν L P

Με. ἄνανδρά γ' εἶπας Ἰλίου τ' οὐκ ἄξια.
Ελ. οὐκ ἂν κτάνοις τύραννον, ὃ σπεύδεις ἴσως.
Με. οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;
Ελ. εἴσῃ. τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ.
Με. σιγῇ παράσχω δῆτ' ἐμὰς δῆσαι χέρας;
Ελ. ἐς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.
Με. δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν.
Ελ. μί' ἔστιν ἐλπίς, ᾗ μόνῃ σωθεῖμεν ἄν.
Με. ὠνητὸς ἢ τολμητὸς ἢ λόγων ὕπο;
Ελ. εἰ μὴ τύραννός ⟨σ'⟩ ἐκπύθοιτ' ἀφιγμένον.
Με. ἐρεῖ δὲ τίς μ'; οὐ γνώσεταί γ' ὅς εἰμ' ἐγώ.
Ελ. ἔστ' ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.
Με. φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
Ελ. οὔκ, ἀλλ' ἀδελφή· Θεονόην καλοῦσί νιν.
Με. χρηστήριον μὲν τοὔνομ'· ὅ τι δὲ δρᾷ φράσον.
Ελ. πάντ' οἶδ', ἐρεῖ τε συγγόνῳ παρόντα σε.
Με. θνῄσκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.
Ελ. ἴσως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν—
Με. τί χρῆμα δρᾶσαι; τίν' ὑπάγεις μ' ἐς ἐλπίδα;
Ελ. παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.
Με. πείσαντε δ' ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
Ελ. κοινῇ γ' ἐκείνῃ ῥᾳδίως, λάθρᾳ δ' ἂν οὔ.
Με. σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
Ελ. ὡς οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν.
Με. φέρ', ἢν δὲ δὴ νῷν μὴ ἀποδέξηται λόγους;
Ελ. θανῇ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
Με. προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.

808 ἄνανδρά γ' Cobet : ἄνανδρ' ἄρ' L P 809 κτάνῃς L P ὃ Seidler : ὃν L P 811 ἀδύνατ' *p* et Stob. fl. 54. 50 : ἀδύνατον L P 816 ὕπο] ἄπο Wilamowitz, cf. Andr. 321, Cycl. 358 817 σ' add. Schaefer 818 οὐ γνώσεταί γ' ὃς L² P (me iudice : aliis hoc *l*, οὐ γνώσεται ὃς P habere videtur) : οὐ γνώσετ' ὃς L : ἣ γνώσεταί γ' ὃς *p* : lectio incerta 825 ἴσως Kirchhoff : εἴ.πως L P 827 παρόντα *l* : τὸ παρόντα P et sine dubio L 829 γ' Reiske : τ' L P λάθρᾳ δ' ἂν οὐ Ludv. Dindorf : λάθρα δ' ὁμοῦ L P : γρ. οὐδαμοῦ suprascr. *l* 830 γυνή ex Plut. Mor. p. 51 E Brodeau : γύναι L P 834 προδότης L P: corr. *l* τὴν Scaliger: τὴν δὲ L P

Ελ. ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα . . .
Με. τί φῄς; θανεῖσθαι; κοὔποτ' ἀλλάξεις λέχη;
Ελ. ταὐτῷ ξίφει γε· κείσομαι δὲ σοῦ πέλας.
Με. ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.
Ελ. ψαύω, θανόντος σοῦ τόδ' ἐκλείψειν φάος.
Με. κἀγὼ στερηθεὶς σοῦ τελευτήσειν βίον.
Ελ. πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν;
Με. τύμβου 'πὶ νώτῳ σὲ κτανὼν ἐμὲ κτενῶ.
πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
λέκτρων ὑπὲρ σῶν. ὁ δὲ θέλων ἴτω πέλας·
τὸ Τρωικὸν γὰρ οὐ καταισχυνῶ κλέος
οὐδ' Ἑλλάδ' ἐλθὼν λήψομαι πολὺν ψόγον,
ὅστις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,
Τελαμωνίου δ' Αἴαντος εἰσεῖδον σφαγάς,
τὸν Νηλέως τ' ἄπαιδα· διὰ δὲ τὴν ἐμὴν
οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ' ἐγώ;
μάλιστά γε· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοί,
εὔψυχον ἄνδρα πολεμίων θανόνθ' ὕπο
κούφῃ καταμπίσχουσιν ἐν τύμβῳ χθονί,
κακοὺς δ' ἐφ' ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
Χο. ὦ θεοί, γενέσθω δή ποτ' εὐτυχὲς γένος
τὸ Ταντάλειον καὶ μεταστήτω κακῶν.
Ελ. οἳ ἐγὼ τάλαινα· τῆς τύχης γὰρ ὧδ' ἔχω.
Μενέλαε, διαπεπράγμεθ'· ἐκβαίνει δόμων
ἡ θεσπιῳδὸς Θεονόη· κτυπεῖ δόμος
κλῄθρων λυθέντων. φεῦγ'· ἀτὰρ τί φευκτέον;
ἀποῦσα γάρ σε καὶ παροῦσ' ἀφιγμένον

836 ἀλλάξεις L P: ειν suprascriptum in L 838 τοῖσδε L: τῆσδε P τοίνυν Canter: τοῖς νῦν L: τῆς νῦν P 840 τελευτήσειν Musgrave: τελευτήσω L P 841 λάβη P: corr. *p* 842 νώτοις Herwerden κτενῶ post Heathium Matthiae: κτανεῖ L P 845 κλέος Scaliger: λέχος L P 849 Νηλέως τ' ἄπαιδα Lenting: θησέως τε παῖδα L P 851 γε L 852 εὔψυχον *l*: ἔμψυχον L P 854 ἐκβαλλοῦσι L P: accentum corr. *l p* 855 Χο notam om. L

δεῦρ᾽ οἶδεν· ὢ δύστηνος, ὡς ἀπωλόμην.
Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς
ἐς βάρβαρ᾽ ἐλθὼν φάσγαν᾽ αὖθις ἐμπεσῇ.

ΘΕΟΝΟΗ

ἡγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας
θεῖόν τε, σεμνοῦ θεσμὸν αἰθέρος, μυχῶν,
ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα·
σὺ δ᾽ αὖ κέλευθον εἴ τις ἔβλαψεν ποδὶ
στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογί,
κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός.
νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι πάλιν
ἐφέστιον φλόγ᾽ ἐς δόμους κομίζετε.
Ἑλένη, τί τἀμὰ—πῶς ἔχει—θεσπίσματα;
ἥκει πόσις σοι Μενέλεως ὅδ᾽ ἐμφανής,
νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.
ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
οὐδ᾽ οἶσθα νόστον οἴκαδ᾽ εἴτ᾽ αὐτοῦ μενεῖς·
ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι
ἔσται πάρεδρος Ζηνὶ τῷδ᾽ ἐν ἤματι.
Ἥρα μέν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,
νῦν ἐστιν εὔνους κἀς πάτραν σῷσαι θέλει
ξὺν τῇδ᾽, ἵν᾽ Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,
δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ·
Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,
ὡς μὴ ᾽ξελεγχθῇ μηδὲ πριαμένη φανῇ

862 *οἶδεν* L: *ἦλθεν* P 864 *φάσγαν᾽ αὖθις* L: *βάρβαρ᾽ αὖθις* P 866 *θείου p* *τε* scripsi: *δὲ* L P: lectio incerta *εἰς σεμνοῦ l* *θείου δὲ σεμνὸν θεσμὸν αἰθέρος μυχούς* Wecklein: *σεμνοῦ* pro *σέμνυνε* accipit Wilamowitz: *θεῖον σύμβολον αἰθέρος διὰ τὸ ταχὺ ἐξάπτον* dicit L² scholion scribens 867 *δεξαίμεθα* L P: corr. Schaefer 870 *πυρός*] *πάρος* Reiske 871 *πόνον δὲ νόμιμον* Kirchhoff 875 *μιμήματος* Stephanus: *τιμήματος* L P 878 *θεοῖς* Barnes: *θεοῖσι* L² P: *θεοῖς τε* ut videtur L 881 *κεὶς* L P 883 *ψευδονυμφεύτου* L P: corr. *l* 885 *μὴ ᾽ξελέγχθῃ* Ludv. Dindorf: *μήτ᾽ ἐλεγχθῇ* L P

τὸ κάλλος, Ἑλένης οὕνεκ', ἀνονήτοις γάμοις.
τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κύπρις,
λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω,
εἴτ' αὖ μεθ' Ἥρας στᾶσα σὸν σώσω βίον,
κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε
εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς. . . .
τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ
παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;
Ελ. ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πίτνω γόνυ
καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα
ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν μόλις ποτὲ
λαβοῦσ' ἐπ' ἀκμῆς εἰμι κατθανόντ' ἰδεῖν·
μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν
τόνδ' εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας,
σῷσον δέ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ
τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,
χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.
μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ
κτᾶσθαι κελεύει πάντας οὐκ ἐς ἁρπαγάς.
[ἐατέος δ' ὁ πλοῦτος ἄδικός τις ὤν.]
κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς
καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους
τἀλλότρια μὴ σχεῖν μηδ' ἀφαιρεῖσθαι βίᾳ.
ἡμᾶς δὲ μακαρίως μέν, ἀθλίως δ' ἐμοί,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σῴζειν πόσει
τῷδ' ὃς πάρεστι κἀπολάζυσθαι θέλει.
πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς

886 *ἀνονήτοις* Pierson (*non fruendis*, cf. λ 324) : *ὠνητοῖς* L P : *οὐκ ἄρ' ὠνητοῖς* Herwerden 888 *σ'* Reiske : *γ'* P : in L *γ'* aut add. L^2 aut rescr. *l* 890 *ὁμαίμον** L (fuit puto *ὁμαίμονα*) 892 *σημανῶν* Scaliger : *σημανῶ γ'* L P 893 *παρόντ'* L (eraso *α*) et P 896 *τοῦδέ τ'* L P 898 *μή μοι* Seidler 899 *φίλτατον* Cobet 902 *καὶ ἀδίκους* L 903 *βίας* P : corr. *p* 905 damnavit Hermann : 903–908 del. Dindorf 908 *σχεῖν* Headlam : *ἔχειν* L P 909 *μακαρίως*] *καιρίως* Badham

τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ' ἄν;
ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει·
πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας
βούλοιντ' ἂν ἢ οὐ βούλοιντ' ἂν ἀποδοῦναι πάλιν;
δοκῶ μέν. οὔκουν χρή σε συγγόνῳ πλέον
νέμειν ματαίῳ μᾶλλον ἢ χρηστῷ πατρί.
εἰ δ' οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη
τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
τῷ δ' οὐ δικαίῳ συγγόνῳ σώσεις δίκην,
αἰσχρὸν τὰ μέν σε θεῖα πάντ' ἐξειδέναι,
τά τ' ὄντα καὶ μέλλοντα, τὰ δὲ δίκαια μή.
τήν τ' ἀθλίαν ἔμ', οἷσιν ἔγκειμαι κακοῖς,
ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης·
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
ἣ κλῄζομαι καθ' Ἑλλάδ' ὡς προδοῦσ' ἐμὸν
πόσιν Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.
ἢν δ' Ἑλλάδ' ἔλθω κἀπιβῶ Σπάρτης ⟨πάλιν⟩,
κλύοντες εἰσιδόντες ὡς τέχναις θεῶν
ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἄρ' ἦ φίλων,
πάλιν μ' ἀνάξουσ' ἐς τὸ σῶφρον αὖθις αὖ,
ἑδνώσομαί τε θυγατέρ', ἣν οὐδεὶς γαμεῖ,
τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικρὰν
ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
κεἰ μὲν θανὼν ὅδ' ἐν πυρᾷ κατεσφάγη,
πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων·

913 ἀποδοίη ποτ' ἂν Porson : ἂν ἀποδοίη ποτέ L P 914 ἢ δὴ L P : ἠ̃ δὴ *l* : corr. Barnes 915 καὶ ὁ L 916 ἢ οὐ Canter : ἢ L P 921 σώσεις Bruhn : δώσεις L P (δώσεις χάριν Reiske) 923 μέλλοντα, τὰ δὲ δίκαια μή W. G. Clark : μή, τὰ δὲ δίκαια μὴ εἰδέναι L P post 923 lacunam indicavit Hermann : sed sensus est '*Iustitiam cole erga deos et mortuos—et quidem, dum id facis, me serva*' 924 ἐμέ L 929 πάλιν om. L P : add. apogr. Paris. 931 προδότης P ἦν L P : οὐκ ἤμην τέκνον (voluit τέκνων) citat Choerob. can. ii. p. 882, 9 932 αὖ Canter : ἂν L P 933 ἑδνώσομαί Hermann (et voluit puto Musurus) : ἐδώσομαί L P : ἐκδώσομαί *p* 935 ὀνήσομαι Musurus : ὠνήσομαι L P 936 κατεστάλη Reiske

νῦν δ' ὄντα καὶ σωθέντ' ἀφαιρεθήσομαι;
   μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε·
δὸς τὴν χάριν μοι τήνδε καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
ἐς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
Χο. οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
οἰκτρὰ δὲ καὶ σύ. τοὺς δὲ Μενέλεω ποθῶ
λόγους ἀκοῦσαι τίνας ἐρεῖ ψυχῆς πέρι.
Με. ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ
οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν
δειλοὶ γενόμενοι πλεῖστον αἰσχύνοιμεν ἄν.
καίτοι λέγουσιν ὡς πρὸς ἀνδρὸς εὐγενοῦς
ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
ἀλλ' οὐχὶ τοῦτο τὸ καλόν, εἰ καλὸν τόδε,
αἱρήσομαι 'γὼ πρόσθε τῆς εὐψυχίας.
ἀλλ', εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον
ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμήν,
ἀπόδος τε καὶ πρὸς σῷσον· εἰ δὲ μὴ δοκεῖ,
ἐγὼ μὲν οὐ νῦν πρῶτον ἀλλὰ πολλάκις
ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανῇ.
ἃ δ' ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα
καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
λέξω τάδ' ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ·
   Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάινον τάφον,
ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,
ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι σῴζειν ἐμοί.
οἶδ' οὕνεκ' ἡμῖν οὔποτ' ἀποδώσεις θανών·

941 παισὶ Stob. fl. 89. 2: παιδὶ L P 943 τῶν τρόπων Reiske 944–946 Theonoae tribuunt L P: Choro Ludv. Dindorf 944 οἰκτροὶ *p* 945 τοὺς Hermann: τοῦ L P 953 'γὼ Porson: τὸ L P εὐψυχίας Tyrwhitt: εὐδαιμονίας L P (glossema fortasse corruptae l. εὐτυχίας): εὐανδρίας *p* 957 Cf. Med. 446: iniuria suspectus 961 τάδ'] τόδ' Tyrwhitt πόθῳ] πεσών Badham 962 ὃς L^2 P: ὧς L λαΐον P: corr. *p* 965 ἀποδώσεις Stephanus: ἀπολέσεις L P; ὀφλήσεις Nauck αὐτὸς οὔποτ' ἀποδώσεις Kirchhoff

ἀλλ' ἥδε πατέρα νέρθεν ἀνακαλουμένου
οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον
κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
ὦ νέρτερ' Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,
ὃς πόλλ' ἐδέξω τῆσδ' ἕκατι σώματα
πεσόντα τὠμῷ φασγάνῳ, μισθὸν δ' ἔχεις·
ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,
ἢ τήνδε πατρὸς εὐσεβοῦς ἀνάγκασον
κρείσσω φανεῖσαν τἀμά γ' ἀποδοῦναι λέχη.
εἰ δ' ἐμὲ γυναῖκα τὴν ἐμὴν συλήσετε,
ἅ σοι παρέλιπεν ἥδε τῶν λόγων, φράσω.
ὅρκοις κεκλῄμεθ', ὡς μάθῃς, ὦ παρθένε,
πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
κἀκεῖνον ἢ 'μὲ δεῖ θανεῖν· ἁπλοῦς λόγος.
ἢν δ' ἐς μὲν ἀλκὴν μὴ πόδ' ἀντιθῇ ποδί,
λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νώ,
κτανεῖν δέδοκται τήνδε μοι κἄπειτ' ἐμὸν
πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε
τύμβου 'πὶ νώτοις τοῦδ', ἵν' αἵματος ῥοαὶ
τάφου καταστάζωσι· κεισόμεσθα δὲ
νεκρὼ δύ' ἑξῆς τῷδ' ἐπὶ ξεστῷ τάφῳ,
ἀθάνατον ἄλγος σοί, ψόγος δὲ σῷ πατρί.
οὐ γὰρ γαμεῖ τήνδ' οὔτε σύγγονος σέθεν
οὔτ' ἄλλος οὐδείς· ἀλλ' ἐγώ σφ' ἀπάξομαι,
εἰ μὴ πρὸς οἴκους δυνάμεθ', ἀλλὰ πρὸς νεκρούς.
τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος
ἐλεινὸς ἦν ἂν μᾶλλον ἢ δραστήριος.

973 seq. ἢ τήνδ' ἀνάγκασόν γε εὐσεβοῦς πατρὸς κρείσσω φανεῖσαν τἄμ' ἀποδοῦναι λέχη L P: traieci: μὴ εὐσεβοῦς πατρὸς ἥσσω Hermann: tum τἄμ' ἐμοὶ δοῦναι Pflugk 977 κεκλήιμεθ' ut videtur primitus L: κεκλήμεθ' L² P 980 ἐς hic L P πόδ' Brodeau: πότ' L P 981 λιμὸν P θηρᾷ Canter: θηρᾶν L P 982 τήνδ' ἐμοὶ L P 984 τοῦδε L 985 καταστάζωσι L² P²: καταστάζουσι L P ante 991 Theonoae ante 992 Menelai nota in P, et δακρύεις pro δακρύοις *p* 991 τερπόμενος P: corr. *p* 992 ἐλεεινὸς L P

κτεῖν', εἰ δοκεῖ σοι· δυσκλεᾶς γὰρ οὐ κτενεῖς·
μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
ἵν' ἦς δικαία καὶ δάμαρτ' ἐγὼ λάβω.

Χο. ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους·
οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.

Θε. ἐγὼ πέφυκά τ' εὐσεβεῖν καὶ βούλομαι,
φιλῶ τ' ἐμαυτήν, καὶ κλέος τοὐμοῦ πατρὸς
οὐκ ἂν μιάναιμ', οὐδὲ συγγόνῳ χάριν
δοίην ἂν ἐξ ἧς δυσκλεὴς φανήσομαι.
ἔνεστι δ' ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα
ἔχουσα σῴζειν, Μενέλεως, πειράσομαι.
Ἥρᾳ δ' ἐπείπερ βούλεταί σ' εὐεργετεῖν,
ἐς ταὐτὸν οἴσω ψῆφον· ἡ Χάρις δ' ἐμοί,
ἵλεως μὲν εἴη, ξυμβέβηκε δ' οὐδαμοῦ·
πειράσομαι δὲ παρθένος μένειν ἀεί.
ἃ δ' ἀμφὶ τύμβῳ τῷδ' ὀνειδίζεις πατρί,
ἡμῖν ὅδ' αὐτὸς μῦθος. ἀδικοίημεν ἄν,
εἰ μὴ ἀποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
ἀπέδωκεν ἂν σοὶ τήνδ' ἔχειν, ταύτῃ δὲ σέ.
  καὶ γὰρ τίσις τῶνδ' ἐστὶ τοῖς τε νερτέροις
καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις· ὁ νοῦς
τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ' ἔχει
ἀθάνατον εἰς ἀθάνατον αἰθέρ' ἐμπεσών.
  ὡς οὖν παραινῶ μὴ μακράν, σιγήσομαι
ἅ μου καθικετεύσατ', οὐδὲ μωρίᾳ
ξύμβουλος ἔσομαι τῇ κασιγνήτου ποτέ.
εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ' ὅμως,

993 δυσκλεᾶς Wilamowitz : δυσκλεῶς L P : δυσκλεᾶ Barnes 994 πιθοῦ Dindorf 997 κρῖνον L P[2] : κρίνειν P 1001 φανήσεται Badham 1002 ἱρὸν P 1004 σῴζειν Μενέλεων Brodeau 1005 Ἥρα L P 1006 ἡ Κύπρις Canter perperam δέ μοι vulgo 1007 συμβέβηκε L P : ξυμβέβηκα Herwerden 1010 αὐτὸς L P ἀδικοίην νιν ἂν Porson 1012 τήνδ' Reiske : τήν γ' L P 1013 τίσεις P : corr. *p* 1017 περαίνω Stephanus 1019 τῇ Dobree : τοῦ L P

ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
  αὐτοὶ μὲν οὖν ὁδόν τιν' ἐξευρίσκετε,
ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν σιγήσομαι.
ἐκ τῶν θεῶν δ' ἄρχεσθε χἰκετεύετε
τὴν μέν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν
ἣν ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας.
  σὺ δ', ὦ θανών μοι πάτερ, ὅσον γ' ἐγὼ σθένω,
οὔποτε κεκλήσῃ δυσσεβὴς ἀντ' εὐσεβοῦς.
Χο. οὐδείς ποτ' εὐτύχησεν ἔκδικος γεγώς,
ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.
Ελ. Μενέλαε, πρὸς μὲν παρθένου σεσῴσμεθα·
τοὐνθένδε δὴ σὲ τοὺς λόγους φέροντα χρὴ
κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.
Με. ἄκουε δή νυν· χρόνιος εἶ κατὰ στέγας
καὶ συντέθραψαι προσπόλοισι βασιλέως.
Ελ. τί τοῦτ' ἔλεξας; ἐσφέρεις γὰρ ἐλπίδας
ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῷν.
Με. πείσειας ἄν τιν' οἵτινες τετραζύγων
ὄχων ἀνάσσουσ', ὥστε νῷν δοῦναι δίφρους;
Ελ. πείσαιμ' ⟨ἄν⟩· ἀλλὰ τίνα φυγὴν φευξούμεθα
πεδίων ἄπειροι βαρβάρου τ' ὄντες χθονός;
Με. ἀδύνατον εἶπας. φέρε, τί δ', εἰ κρυφθεὶς δόμοις
κτάνοιμ' ἄνακτα τῷδε διστόμῳ ξίφει;
Ελ. οὐκ ἄν σ' ἀνάσχοιτ' οὐδὲ σιγήσειεν ἂν
μέλλοντ' ἀδελφὴ σύγγονον κατακτενεῖν.
Με. ἀλλ' οὐδὲ μὴν ναῦς ἔστιν ᾗ σωθεῖμεν ἂν
φεύγοντες· ἣν γὰρ εἴχομεν θάλασσ' ἔχει.

1021 ἐκ δυσσεβείας . . . νιν Brodeau : ἐξ εὐσεβείας . . . νῦν L P 1022 ὁδόν τιν' ἐξευρίσκετε Nauck : τὴν ἔξοδόν γ' εὑρίσκετε L P : εὑρίσκετ' ἔξοδόν τινα Hermann 1024 καὶ ἱκετεύετε L 1026 εὔνοιαν ut vid. P : corr. *p* 1033 προσφέροντα χρὴ λόγους Vitelli 1035 δὴ νῦν L P 1041 ἂν add. Canter 1042 ὄντος P 1043 notam Menelai post ἀδύνατον εἶπας habent L P, ante versum trai. Matthiae 1045 ἄν σ' Portus : ἂν L P 1046 κατακτανεῖν L P : corr. Dindorf

Ελ. ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
βούλῃ λέγεσθαι, μὴ θανών, λόγῳ θανεῖν;
Με. κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ, λέγειν
ἕτοιμός εἰμι μὴ θανὼν λόγῳ θανεῖν.
Ελ. καὶ μὴν γυναικείοις σ᾽ ἂν οἰκτισαίμεθα
κουραῖσι καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.
Με. σωτηρίας δὲ τοῦτ᾽ ἔχει τί νῷν ἄκος;
παλαιότης γὰρ τῷ λόγῳ γ᾽ ἔνεστί τις.
Ελ. ὡς δὴ θανόντα σ᾽ ἐνάλιον κενῷ τάφῳ
θάψαι τύραννον τῆσδε γῆς αἰτήσομαι.
Με. καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ᾽ ἐμὸν δέμας;
Ελ. δοῦναι κελεύσω πορθμίδ᾽, ᾗ καθήσομαι
κόσμον τάφῳ σῷ πελαγίους ἐς ἀγκάλας.
Με. ὡς εὖ τόδ᾽ εἶπας πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
θεῖναι κελεύσει σ᾽, οὐδὲν ἡ σκῆψις φέρει.
Ελ. ἀλλ᾽ οὐ νομίζειν φήσομεν καθ᾽ Ἑλλάδα
χέρσῳ καλύπτειν τοὺς θανόντας ἐναλίους.
Με. τοῦτ᾽ αὖ κατορθοῖς· εἶτ᾽ ἐγὼ συμπλεύσομαι
καὶ συγκαθήσω κόσμον ἐν ταὐτῷ σκάφει.
Ελ. σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
πλωτῆρας οἵπερ ἔφυγον ἐκ ναυαγίας.
Με. καὶ μὴν ἐάνπερ ναῦν ἐπ᾽ ἀγκύρας λάβω,
ἀνὴρ παρ᾽ ἄνδρα στήσεται ξιφηφόρος.
Ελ. σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον

1049–1085 paragraphos pro personarum notis praef. L 1049 καὶ om. P 1050 θανών, τεθνηκέναι Cobet, sed cf. sequentia 1051 κερδανῶ, λέγε· Seidler: leniter inridens, ni fallor, iterat vir quae illa nimis timide dixit 1053 γυναικείους P σ᾽ ἂν Hermann: ἂν L P 1056 Menelao continuat P: Helenae tribuit *l* potius quam L, idem paragraphum ante 1057 videtur delevisse ἀπαιόλη γὰρ Hermann 1059 παρεῖκεν Musurus: παρῆκεν L P 1060 supra κενοταφοῦντ᾽ scr. δυικῶς in L 1061 καθήσομεν Heath 1062 πελαγίους Fritzsche, cl. 1436: πελαγίας L P ἐς hic L P 1064 κελεύσει Ludv. Dindorf: κελεύει L P σ᾽ L^2 P: σε L: ἐς Markland 1067 τοῦτ᾽ αὖ L^2 P: ταῦτ᾽ οὖν ut videtur L 1069 καὶ] γὰρ Dobree 1073 πόμποιμι P

λαίφει πνοαὶ γένοιντο καὶ νεὼς δρόμος.
Με. ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
ἀτὰρ θανόντα τοῦ μ' ἐρεῖς πεπυσμένη;
Ελ. σοῦ· καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον
Ἀτρέως πλέων σὺν παιδὶ καὶ θανόνθ' ὁρᾶν.
Με. καὶ μὴν τάδ' ἀμφίβληστρα σώματος ῥάκη
ξυμμαρτυρήσει ναυτικῶν ἐρειπίων.
Ελ. ἐς καιρὸν ἦλθε, τότε δ' ἄκαιρ' ἀπώλλυτο·
τὸ δ' ἄθλιον κεῖν' εὐτυχὲς τάχ' ἂν πέσοι.
Με. πότερα δ' ἐς οἴκους σοὶ συνεισελθεῖν με χρὴ
ἢ πρὸς τάφῳ τῷδ' ἥσυχοι καθώμεθα;
Ελ. αὐτοῦ μέν'· ἢν γὰρ καί τι πλημμελές σε δρᾷ,
τάφος σ' ὅδ' ἂν ῥύσαιτο φάσγανόν τε σόν.
ἐγὼ δ' ἐς οἴκους βᾶσα βοστρύχους τεμῶ
πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι
παρῇδί τ' ὄνυχα φόνιον ἐμβαλῶ χροός.
μέγας γὰρ ἁγών, καὶ βλέπω δύο ῥοπάς·
ἢ γὰρ θανεῖν δεῖ μ', ἢν ἁλῶ τεχνωμένη,
ἢ πατρίδα τ' ἐλθεῖν καὶ σὸν ἐκσῷσαι δέμας.
ὦ πότνι' ἣ Δίοισιν ἐν λέκτροις πίτνεις
Ἥρα, δύ' οἰκτρὼ φῶτ' ἀνάψυξον πόνων,
αἰτούμεθ' ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
ῥίπτονθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.
σύ θ', ἣ 'πὶ τὠμῷ κάλλος ἐκτήσω γάμῳ,
κόρη Διώνης Κύπρι, μή μ' ἐξεργάσῃ.
ἅλις δὲ λύμης ἥν μ' ἐλυμήνω πάρος
τοὔνομα παρασχοῦσ', οὐ τὸ σῶμ', ἐν βαρβάροις.
θανεῖν δ' ἔασόν μ', εἰ κατακτεῖναι θέλεις,
ἐν γῇ πατρῴᾳ. τί ποτ' ἄπληστος εἶ κακῶν,

1080 συμμάρτυρές σοι A. C. Pearson 1082 εὐτυχῶς Blaydes 1083 δ' in ras. in L: fuit fortasse πότερον χρὴ P: χρήν suprascripto ἢ L 1085 πλημελὲς L: πλη*μελὲς eraso σ vel γ P 1089 παρηΐδι L P χερός Jacobs 1090 ἀγὼν L P δύω L P: fortasse δυοῖν 1091 δεῖ om. P 1095 ὀργὰς P: corr. *p* 1096 ῥιπτοῦνθ' L (corr. Elmsley): ῥιπτοῦσ' P 1097 γάμῳ] κακῷ Nauck 1098 κούρη L P 1099 μ' om. P

ἔρωτας ἀπάτας δόλιά τ' ἐξευρήματα
ἀσκοῦσα φίλτρα θ' αἱματηρὰ δωμάτων;
εἰ δ' ἦσθα μετρία, τἄλλα γ' ἡδίστη θεῶν
πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.

Χο. σὲ τὰν ἐναύλοις ὑπὸ δενδροκόμοις [στρ. α′
μουσεῖα καὶ θάκους ἐνί-
ζουσαν ἀναβοάσω,
σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν
ἀηδόνα δακρυόεσσαν,
ἔλθ' ὦ διὰ ξουθᾶν
γενύων ἐλελιζομένα
θρήνων ἐμοὶ ξυνεργός,
Ἑλένας μελέας πόνους
τὸν Ἰλιάδων τ' ἀει-
δούσᾳ δακρυόεντα πόνον
Ἀχαιῶν ὑπὸ λόγχαις·
ὅτ' ἔδραμε ῥόθια πεδία βαρβάρῳ πλάτᾳ
ὅτ' ἔμολεν ἔμολε, μέλεα Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο λέχεα
σέθεν, ὦ Ἑλένα, Πάρις αἰνόγαμος
πομπαῖσιν Ἀφροδίτας.

πολλοὶ δ' Ἀχαιῶν δορὶ καὶ πετρίναις [ἀντ. α′
ῥιπαῖσιν ἐκπνεύσαντες Ἅι-
δαν μέλεον ἔχουσιν,

1104 *φίλτα* L P : corr. L² P²   1107 *ἐναύλοις* Scaliger : *ἐναυλείοις* L P   1108 *μουσία* P : corr. *p*   *θάκους*] *θάμνους* Herwerden, sed cf. Ar. Ran. 1319   1110 *δακρυόεσαν* P   1111 *ἔλθ' ὦ* Musgrave : *ἔλθε* L P   1112 *θρήνων ἐμοὶ* Wilamowitz : *θρήνοις ἐμῶν* L P (*ἐμοῖς l*)   1113 *πόνους* suspectum : cf. 1115   1114 *ἀείδουσα* L P : corr. Lachmann   *πόνον*] *πότμον* Badham: cf. 1130   1117, 1118 (γ) *ὃς ἔδραμε ῥόθια μέλεα* | *πριαμίδαις ἄγων* | (α) *ὃς ἔμολεν ἔμολε πεδία* | (β) *βαρβάρῳ πλάτα* L P sed litteras transpositionem significantes praescripsit *l* : *οθια* in rasura est in P : *ὅτ'* pro *ὃς* Lenting : cetera corr. O. Schultze : *ὃς ἔδραμε ῥόθια Μάλεα β. π. ὃς ἔμολεν ἔμολε πεδία, Π. ἀ.* Wilamowitz   1120 *ὦ Ἑλένα* Seidler : *ὡς εἶλε* L P   *ἐνόγαμος* P : corr. *p*   1121 *πομπᾶσιν* P : corr. *p*   1122 *δορὶ*] *ἐν δορὶ l* ob metrum

ταλαινᾶν ἀλόχων κείραντες ἔθειραν·
ἄνυμφα δὲ μέλαθρα κεῖται·
πολλοὺς δὲ πυρσεύσας
φλογερὸν σέλας ἀμφιρύταν
Εὔβοιαν εἷλ' Ἀχαιῶν
μονόκωπος ἀνήρ, πέτραις
Καφηρίσιν ἐμβαλὼν
Αἰγαίαις τ' ἐνάλοις δόλιον
ἀκταῖς ἀστέρα λάμψας.
ἀλίμενα δ' ὄρεα Μάλεα χειμάτων πνοᾷ,
ὅτ' ἔσυτο πατρίδος ἀποπρό, βαρβάρου στολᾶς
γέρας, οὐ γέρας ἀλλ' ἔριν,
Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων,
εἴδωλον ἱερὸν Ἥρας.

ὅ τι θεὸς ἢ μὴ θεὸς ἢ τὸ μέσον, [στρ. β'
τίς φησ' ἐρευνήσας βροτῶν
μακρότατον πέρας εὑρεῖν
ὃς τὰ θεῶν ἐσορᾷ
δεῦρο καὶ αὖθις ἐκεῖσε
καὶ πάλιν ἀντιλόγοις
πηδῶντ' ἀνελπίστοις τύχαις;
σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·
πτανὸς γὰρ ἐν κόλποις σε Λή-

1124 ταλαινᾶν Wilamowitz, ἀοιδοτάταν v. 1109 choriambum faciens: τάλαιναν L P: τάλαιναν τῶν *l*: τάλαιναν ὧν Matthiae, sed ὃς de eo quod plurium est vix Attice dicitur   1125 μέλαθρα δὲ Dindorf   1126 πολλοὺς L P: πολλὰ *l*   ἀμφὶ ῥυτὰν L P: ἀμφιρύταν Matthiae: tum ptcp. quale est περιπλέων pro Ἀχαιῶν desiderat Wilamowitz   1127 εἷλ' *l*: εἷλες P et ut videtur L   1129 Καφηρίσιν Heath: καφηρίαις L P   1130 ἐναλίοις ἀκταῖς δόλιον L P: corr. Hermann   1131 ἀστέρ' ἀνάψας Verrall   1132, 1133 Μάλεα Hermann, cf. γ 287: μέλεα L P   ὅτ' ἔσυτο Musgrave: ὅτε σὺ τὸ L P: ὅδ' ἔσυτο Wilamowitz   χειμάτων Heath: χαυμάτων L P   βαρβάρου στολᾶς post μέλεα (1132) χαυμάτων πνοᾷ post ἀποπρὸ (1133) L P: transposui   1134 γέρας οὐ γέρας Badham: τέρας οὐ τέρας L P   1135 νεφέλαν L P: νεφέλας *l*: Μενέλας Wilamowitz   1138 τί φὴσ L P: corr. Bamberger: τίς φύσιν et v. sequenti ηὗρεν. Hermann: βροτῶν; et ηὗρεν Wilamowitz   1141 δεῦρο Dobree: δεινὰ L P

δας ἐτέκνωσε πατήρ.
κᾆτ' ἰαχήθης καθ' Ἑλλανίαν
προδότις ἄπιστος ἄδικος ἄθεος· οὐδ' ἔχω
τί τὸ σαφὲς ἔτι ποτ' ἐν βροτοῖς·
τὸ τῶν θεῶν ⟨δ'⟩ ἔπος ἀλαθὲς ηὗρον.

ἄφρονες ὅσοι τὰς ἀρετὰς πολέμῳ [ἀντ. β'
λόγχαισί τ' ἀλκαίου δορὸς
κτᾶσθε, πόνους ἀμαθῶς θνα-
τῶν καταπαυόμενοι·
εἰ γὰρ ἅμιλλα κρινεῖ νιν
αἵματος, οὔποτ' ἔρις
λείψει κατ' ἀνθρώπων πόλεις·
ἃ Πριαμίδος γᾶς ἔλαχον θαλάμους,
ἐξὸν διορθῶσαι λόγοις
σὰν ἔριν, ὦ Ἑλένα.
νῦν δ' οἱ μὲν Ἅιδᾳ μέλονται κάτω,
τείχεα δὲ φλογερός, ὥστε Διός, ἐπέσυτο φλόξ,
ἐπὶ δὲ πάθεα πάθεσι φέρεις
†ἀθλίοις συμφοραῖς αἰλίνοις.†

ΘΕΟΚΛΥΜΕΝΟΣ

ὦ χαῖρε, πατρὸς μνῆμ'· ἐπ' ἐξόδοισι γὰρ
ἔθαψα, Πρωτεῦ, σ' ἕνεκ' ἐμῆς προσρήσεως·

1147 κᾆτ' ἰαχήθης Hermann : καὶ ἰαχὴ σὴ L *p*: καὶ ἰαχὴ σὺ P fortasse καθ' Ἑλλάδ' αἶαν : cf. 1161 1148 ἀδίκως προδότης (προδότις L² P²) ἄπιστος ἄδικος L P : ἀδίκως in ἄδικος mutavit, ἄδικος (post ἄπιστος) delevit *l* : corr. Hermann 1149 sq. locus difficilis : ἔτι Musgrave : ὅ τι L P δ' om. L P : add. Barnes, cf. El. 399 sq. : ὅτι ποτ' ἐν βροτοῖς ἀμφὶ θεῶν Kirchhoff τῶν delevit *l* 1151 ἄφονες P : corr. *p* 1152 sq. κτᾶσθε δορός τ' ἀλκαίου λόγχαισι καταπαυόμενοι πόνους θνατῶν ἀπαθῶς L P, nullo metro: transposui, cf. vv. 1138 sq. 1153 ἀμαθῶς Musgrave : ἀπαθῶς L P, quod si sanum, οὐ (Wecklein) vel μὴ καταπαυόμενοι legendum 1155 εἰ] ἡ P κρινεῖ Heath : κρίνει L P 1158 ἃ] αἳ L P ἔλαχον Pflugk : ἔλιπον L P 1161 fortasse κάτω μέλονται : cf. 1147 1162 aut φλογερός aut φλόξ corruptum : φόνιος Herwerden : φλογμὸς apogr. Paris. ἐπέσσυτο L P : corr. *l* 1164 ἀθλίοις L P : tum notam τι λείπει L² : notam del. et ἐν ἀθλίοις scr. *l* αἰλίνοις L² P : ἰλίνοις primitus L : γρ. ἰλίοις suprascr. *l* : ἐλεινοῖς Nauck : possis ἄεθλα (vel ἆθλα) δὲ ξύμφορ' αἰλίνοισιν 1166 ἔθραψα P : corr. *p*

ἀεὶ δέ σ' ἐξιών τε κἀσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπει, πάτερ.
ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,
δμῶες, κομίζετ' ἐς δόμους τυραννικούς·
ἐγὼ δ' ἐμαυτὸν πόλλ' ἐλοιδόρησα δή·
οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν;
καὶ νῦν πέπυσμαι φανερὸν Ἑλλήνων τινὰ
ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοπούς,
ἤτοι κατόπτην ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ', ἤν γε δὴ ληφθῇ μόνον.
ἔα·
ἀλλ', ὡς ἔοικε, πάντα διαπεπραγμένα
ηὕρηκα· τύμβου γὰρ κενὰς λιποῦσ' ἕδρας
ἡ Τυνδαρὶς παῖς ἐκπεπόρθμευται χθονός.
ὠή, χαλᾶτε κλῇθρα· λύεθ' ἱππικὰ
φάτνης, ὀπαδοί, κἀκκομίζεθ' ἅρματα,
ὡς ἂν πόνου γ' ἕκατι μὴ λάθῃ με γῆς
τῆσδ' ἐκκομισθεῖσ' ἄλοχος, ἧς ἐφίεμαι.—
ἐπίσχετ'· εἰσορῶ γὰρ οὓς διώκομεν
παρόντας ἐν δόμοισι κοὐ πεφευγότας.
αὕτη, τί πέπλους μέλανας ἐξήψω χροὸς
λευκῶν ἀμείψασ' ἔκ τε κρατὸς εὐγενοῦς
κόμας σίδηρον ἐμβαλοῦσ' ἀπέθρισας
χλωροῖς τε τέγγεις δάκρυσι σὴν παρηίδα
κλαίουσα; πότερον ἐννύχοις πεπεισμένη
στένεις ὀνείροις, ἢ φάτιν τιν' οἴκοθεν
κλύουσα λύπῃ σὰς διέφθαρσαι φρένας;
Ελ. ὦ δέσποτ'—ἤδη γὰρ τόδ' ὀνομάζω σ' ἔπος—
ὄλωλα· φροῦδα τἀμὰ κοὐδέν εἰμ' ἔτι.
Θε. ἐν τῷ δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

1167 κείσιων L P 1168 προσεννέπω Lenting 1172 interrogative scripsimus 1178 εὕρηκα L P 1179 ἐκπεπόρθευται P 1180 sq. ἱππικὰ φάτνης Cron: ἱππικὰς φάτνας L P 1182 ἂν] οὐ Barthold 1183 ἐκκομισθεὶς L P 1186 χροὸς L: χθονὸς P 1192 φρένας] fortasse γένυς 1194 εἴμ' L P

Ελ. Μενέλαος—οἴμοι, πῶς φράσω;—τέθνηκέ μοι.
Θε. οὐδέν τι χαίρω σοῖς λόγοις, τὰ δ' εὐτυχῶ.
πῶς ⟨δ'⟩ οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;
Ελ. κείνη τε φησὶν ὅ τε παρὼν ὅτ' ὤλλυτο.
Θε. ἥκει γὰρ ὅστις καὶ τάδ' ἀγγέλλει σαφῆ;
Ελ. ἥκει· μόλοι γὰρ οἷ σφ' ἐγὼ χρῄζω μολεῖν.
Θε. τίς ἐστι; ποῦ 'στιν; ἵνα σαφέστερον μάθω.
Ελ. ὅδ' ὃς κάθηται τῷδ' ὑποπτήξας τάφῳ.
Θε. Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφῳ πρέπει.
Ελ. οἴμοι, δοκῶ μὲν κἀμὸν ὧδ' ἔχειν πόσιν.
Θε. ποδαπὸς δ' ὅδ' ἀνὴρ καὶ πόθεν κατέσχε γῆν;
Ελ. Ἕλλην, Ἀχαιῶν εἷς ἐμῷ σύμπλους πόσει.
Θε. θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;
Ελ. οἰκρόταθ', ὑγροῖσιν ἐν κλυδωνίοις ἁλός.
Θε. ποῦ βαρβάροισι πελάγεσιν ναυσθλούμενον;
Ελ. Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.
Θε. καὶ πῶς ὅδ' οὐκ ὄλωλε κοινωνῶν πλάτης;
Ελ. ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.
Θε. λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;
Ελ. ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.
Θε. ὄλωλ' ἐκεῖνος. ἦλθε δ' ἐν ποίῳ σκάφει;
Ελ. ναῦταί σφ' ἀνείλοντ' ἐντυχόντες, ὡς λέγει.
Θε. ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίᾳ κακόν;
Ελ. νεφέλης λέγεις ἄγαλμα; ἐς αἰθέρ' οἴχεται.
Θε. ὦ Πρίαμε καὶ γῆ Τρῳάς, ⟨ὡς⟩ ἔρρεις μάτην.
Ελ. κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.
Θε. πόσιν δ' ἄθαπτον ἔλιπεν ἢ κρύπτει χθονί;

1197 τάδ' L P τάδ' εὐτυχῶν Wilamowitz 1198 δ' add. Hermann 1201–1278 paragraphi pro personarum notis in P: item in L praeter 1251, 1252 1201 μόλει P: corr. *p* οἷ σφ' Lenting: ὡς L P 1206 ἀνὴρ L P 1209 οἰκρόταθ' ὑγροῖσιν ἐν Hermann: οἰκτρότατον ὑγροῖσι L P: οἰκτρότατον ὑγροῖς ἐν et supra θάνατον δὲ ποῖον Scaliger 1212 κοινωνῶν πλάτης *l* (vel L[2]): κοινωνῶν πλάταις (sic) P: κοινῶν πλάταις L 1213 ἐσθλῶ P: corr. *p* 1217 ἀνείλοντ' Cobet: ἀνεῖλον L P 1218 δὴ Scaliger: δὲ L P 1219 ἄγαλμα L P 1220 ὡς add. Scaliger

Ελ. ἄθαπτον· οἲ ἐγὼ τῶν ἐμῶν τλήμων κακῶν.
Θε. τῶνδ᾽ οὕνεκ᾽ ἔταμες βοστρύχους ξανθῆς κόμης;
Ελ. φίλος γάρ ἐστιν, ὅς ποτ᾽ ἐστίν, ἐνθάδ᾽ ὤν.
Θε. ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται. . . .
Ελ. ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην λαθεῖν.
Θε. οὐ δῆτα. πῶς οὖν; τόνδ᾽ ἔτ᾽ οἰκήσεις τάφον;
Ελ. τί κερτομεῖς με, τὸν θανόντα δ᾽ οὐκ ἐᾷς;
Θε. πιστὴ γὰρ εἶ σὺ σῷ πόσει φεύγουσά με.
Ελ. ἀλλ᾽ οὐκέτ᾽· ἤδη δ᾽ ἄρχε τῶν ἐμῶν γάμων.
Θε. χρόνια μὲν ἦλθεν, ἀλλ᾽ ὅμως αἰνῶ τάδε.
Ελ. οἶσθ᾽ οὖν ὃ δρᾶσον; τῶν πάρος λαθώμεθα.
Θε. ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.
Ελ. σπονδὰς τέμωμεν καὶ διαλλάχθητί μοι.
Θε. μεθίημι νεῖκος τὸ σόν, ἴτω δ᾽ ὑπόπτερον.
Ελ. πρός νύν σε γονάτων τῶνδ᾽, ἐπείπερ εἶ φίλος—
Θε. τί χρῆμα θηρῶσ᾽ ἱκέτις ὠρέχθης ἐμοῦ;
Ελ. τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.
Θε. τί δ᾽; ἔστ᾽ ἀπόντων τύμβος; ἢ θάψεις σκιάν;
Ελ. Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντῳ θάνῃ—
Θε. τί δρᾶν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.
Ελ. κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.
Θε. κτέριζ᾽· ἀνίστη τύμβον οὗ χρῄζεις χθονός.
Ελ. οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.
Θε. πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.
Ελ. ἐς πόντον ὅσα χρὴ νέκυσιν ἐξορμίζομεν.
Θε. τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;
Ελ. ὅδ᾽ οἶδ᾽, ἐγὼ δ᾽ ἄπειρος, εὐτυχοῦσα πρίν.

1223 οἲ ἐγὼ L P: οἲ 'γὼ *l* 1225 ἐστί, καὶ θανών Herwerden: possis traicere ἔστιν γὰρ ἔστιν, ὥς ποτ᾽ ἐνθάδ᾽ ὤν, φίλος 1227 λαθεῖν Jacobs: θανεῖν L P 1230 εἶ σὺ Elmsley: ἔσσι L P γὰρ οὖσα σῷ πόσει φεύγεις ἐμέ Paley 1232 ἦλθεν Musgrave: ἦλθες (sed χρόνια) L P 1233 λαθώμεθα Schaefer: λαθοίμεθα L P 1236 μεθῆκα Cobet 1237 πρὸς νῦν L P 1243 πέπλων Scaliger: πέπλοις L P 1246 sq. om. P 1246 πῶς δαί L: cf. Med. 1012 (339), Ion 275, El. 244, 1116, I. A. 1444, 1448 1247 ἐξορίζομεν Ellis 1249 ὅδ᾽ Hartung: οὐκ L P

Θε. ὦ ξένε, λόγων μὲν κληδόν' ἤνεγκας φίλην.
Με. οὔκουν ἐμαυτῷ γ' οὐδὲ τῷ τεθνηκότι.
Θε. πῶς τοὺς θανόντας θάπτετ' ἐν πόντῳ νεκρούς;
Με. ὡς ἂν παρούσης οὐσίας ἕκαστος ᾖ.
Θε. πλούτου λέγ' οὕνεχ' ὅ τι θέλεις ταύτης χάριν.
Με. προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
Θε. τίνος; σύ μοι σήμαινε, πείσομαι δ' ἐγώ.
Με. αὐτὸς σὺ γίγνωσκ'· ἀρκέσει γὰρ ἂν διδῷς.
Θε. ἐν βαρβάροις μὲν ἵππον ἢ ταῦρον νόμος.
Με. διδούς γε μὲν δὴ δυσγενὲς μηδὲν δίδου.
Θε. οὐ τῶνδ' ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.
Με. καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
Θε. ἔσται· τί δ' ἄλλο προσφέρειν νομίζεται;
Με. χαλκήλαθ' ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.
Θε. ἄξια τάδ' ἔσται Πελοπιδῶν ἃ δώσομεν.
Με. καὶ τἄλλ' ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
Θε. πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;
Με. ναῦν δεῖ παρεῖναι κἀρετμῶν ἐπιστάτας.
Θε. πόσον δ' ἀπείργει μῆκος ἐκ γαίας δόρυ;
Με. ὥστ' ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
Θε. τί δή; τόδ' Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
Με. ὡς μὴ πάλιν γῇ λύματ' ἐκβάλῃ κλύδων.
Θε. Φοίνισσα κώπη ταχύπορος γενήσεται.
Με. καλῶς ἂν εἴη Μενέλεῴ τε πρὸς χάριν.
Θε. οὔκουν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;
Με. μητρὸς τόδ' ἔργον ἢ γυναικὸς ἢ τέκνων.
Θε. ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.

1251 Menelai, 1252 Theoclymeni notas praef. L, non ut solet paragraphos: cf. ad 1201 1255 προσφάξεται P 1257 ἀρκέσει . . . διδῷς Barnes: ἀρκέσειε . . . δίδως L P: ἀρκέσεις . . . διδῶς *p* 1258 ἵππων ἢ ταύρων P: corr. *p* 1259 γε μέντοι Nauck 1260 οὐχ ὧδ' Bruhn 1261 φέρεται Canter: φέρετε L P 1263 χαλκήλατα L P 1267 ναῦν Canter: νῦν L P δεῖ L: δὴ P καὶ ἐρετμῶν L: καὶ 'ρετμῶν L² P 1268 πόσον L: πόσιν P ἀπείργεις Wecklein 1272 ταχυπόρος L P 1273 τε Reiske: γε L P 1276 μόχος P: corr. *p*

Με. ἐν εὐσεβεῖ γοῦν νόμιμα μὴ κλέπτειν νεκρῶν.
Θε. ἴτω· πρὸς ἡμῶν ἄλοχον εὐσεβῆ τρέφειν.
ἐλθὼν δ' ἐς οἴκους ἐξελοῦ κόσμον νεκρῷ·
καὶ σὲ οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
δράσαντα τῇδε πρὸς χάριν· φήμας δ' ἐμοὶ
ἐσθλὰς ἐνεγκὼν ἀντὶ τῆς ἀχλαινίας
ἐσθῆτα λήψῃ σῖτά θ', ὥστε σ' ἐς πάτραν
ἐλθεῖν, ἐπεὶ νῦν γ' ἀθλίως ἔχονθ' ὁρῶ.
σὺ δ', ὦ τάλαινα, μὴ 'πὶ τοῖς ἀνηνύτοις
τρύχουσα σαυτήν . . . Μενέλεως δ' ἔχει πότμον,
κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν πόσις.
Με. σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
στέργειν πόσιν χρή, τὸν δὲ μηκέτ' ὄντ' ἐᾶν·
ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
ἢν δ' Ἑλλάδ' ἔλθω καὶ τύχω σωτηρίας,
παύσω ψόγου σε τοῦ πρίν, ἢν γυνὴ γένῃ 1293
οἵαν γενέσθαι χρή σε σῷ ξυνευνέτῃ. 1292
Ελ. ἔσται τάδ'· οὐδὲ μέμψεται πόσις ποτὲ
ἡμῖν· σὺ δ' αὐτὸς ἐγγὺς ὢν εἴσῃ τάδε.
ἀλλ', ὦ τάλας, εἴσελθε καὶ λουτρῶν τύχε
ἐσθῆτά τ' ἐξάλλαξον. οὐκ ἐς ἀμβολὰς
εὐεργετήσω σ'· εὐμενέστερον γὰρ ἂν
τῷ φιλτάτῳ μοι Μενέλεῳ τὰ πρόσφορα
δρῴης ἄν, ἡμῶν τυγχάνων οἵων σε χρή.

Χο. Ὀρεία ποτὲ δρομάδι κώ- [στρ. α
λῳ μάτηρ θεῶν ἐσύθη ἀν'
ὑλάεντα νάπη

1278 ἴτω] γρ. ἤτω in margine L^2 vel *l*: merus error 1279 ἐξελοῦ Badham: ἐξελῶ L P 1282 post ἐνεγκών habet γ' L: οὐγ P: delet Hermann τῆς] τῆσδ' Hartung 1283 θ'] τ' L P 1286 τρύχου σεαυτήν, quasi a τρυχόω, Scaliger: lacunam indicavit Matthiae δ' fortasse delendum 1287 πόσις] πάλιν Reiske 1292, 1293 transposuit Canter 1293 ψόγον P 1297 ἐς hic L P 1300 χρή Matthiae: χρῆν L P 1303 videtur ἀνά et prodelisionem et elisionem pati, cf. antistr.: ἀν' ὑλᾶντα Dindorf

ποτάμιόν τε χεῦμ' ὑδάτων
βαρύβρομόν τε κῦμ' ἅλιον
πόθῳ τᾶς ἀποιχομένας
ἀρρήτου κούρας.
κρόταλα δὲ βρόμια διαπρύσιον
ἱέντα κέλαδον ἀνεβόα,
θηρῶν ὅτε ζυγίους
ζευξάσᾳ θεᾷ σατίνας
τὰν ἁρπασθεῖσαν κυκλίων
χορῶν ἔξω παρθενίων
μετὰ κούραν, ἀελλόποδες,
ἁ μὲν τόξοις Ἄρτεμις, ἁ δ'
ἔγχει Γοργῶπις πάνοπλος,
⟨συνείποντο. Ζεὺς δ' ἑδράνων⟩
αὐγάζων ἐξ οὐρανίων
ἄλλαν μοῖραν ἔκραινε.

δρομαῖον δ' ὅτε πολυπλάνη- [ἀντ. α'
τον μάτηρ ἔπαυσε πόνον,
μαστεύουσα †πόνους†
θυγατρὸς ἁρπαγὰς δολίους,
χιονοθρέμμονάς γ' ἐπέρασ'
Ἰδαιᾶν Νυμφᾶν σκοπιάς·
ῥίπτει δ' ἐν πένθει
πέτρινα κατὰ δρία πολυνιφέα·

1307 *κούρας* L² P : *κόρας* L, et *υ* deletum in P   1310 sq. *θηρῶντο τε ζυγίους ζεύξασαι θεαὶ σατίνας* post Badhamum Wecklein   1311 *ζευξάσᾳ θεᾷ* Hermann : *ζεύξασα θεὰ* L P   *σατίνας* Musgrave : *σατίναν* L P   1314 *μετὰ κουρᾶν δ'* L P : *δ'* delevit Pflugk : *μεταθῦσαν* Wilamowitz   1316 *Γοργῶπις* Heath : *γοργὼ* L P : *καὶ γοργοῖ* Seidler   post 1316 lacunam indicavit Hermann (post 1317 Dindorf) : eius monitu ex. gr. supplevi   1317 *αὐγάζων* Hermann : *αὐλάζων δ'* P : *αὐλάζων δ'* vel *αὐγάζων δ'* difficili discrimine L   1319 sq. *δρομαίων . . . πολυπλανήτων . . . πόνων* L P : correxi : (*ἐπαύσατ' ἀλῶν* F. Gu. Schmidt : *πόδα πλανήτων* Herwerden)   1321 *ματεύουσα* Hermann   *πόνους* corruptum : *ἀπόνους* (*demens*) Verrall   1323 *χιονιθρέμονάς* P : corr. *p*   *γ'* L P : *δ'* *l p* : fortasse *χιονοθρέμμον' ἄγ' ἐπέρασ' . . . σκοπιάν*, cf. Tro. 1069   1324 *ἰδαίαν* L P, fortasse recte   1326 *δρίους* ut videtur P : *δρύα p*

βροτοῖσι δ' ἄχλοα πεδία γᾶς
οὐ καρπίζουσ' ἀρότοις
λαῶν [δὲ] φθείρει γενεάν·
ποίμναις δ' οὐχ ἵει θαλερὰς
βοσκὰς εὐφύλλων ἑλίκων,
πόλεων δ' ἀπέλειπε βίος·
οὐδ' ἦσαν θεῶν θυσίαι,
βωμοῖς δ' ἄφλεκτοι πέλανοι·
πηγὰς δ' ἀμπαύει δροσερὰς
λευκῶν ἐκβάλλειν ὑδάτων
πένθει παιδὸς ἀλάστωρ.

ἐπεὶ δ' ἔπαυσ' εἰλαπίνας [στρ. β'
θεοῖς βροτείῳ τε γένει,
Ζεὺς μειλίσσων στυγίους
Ματρὸς ὀργὰς ἐνέπει·
Βᾶτε, σεμναὶ Χάριτες,
ἴτε, τᾷ περὶ παρθένῳ
Δηοῖ θυμωσαμένᾳ
λύπαν ἐξαλλάξατ' ἀλαλᾷ,
Μοῦσαί θ' ὕμνοισι χορῶν.
χαλκοῦ δ' αὐδὰν χθονίαν
τύπανά τ' ἔλαβε βυρσοτενῆ
καλλίστα τότε πρῶτα μακά-
ρων Κύπρις· γέλασέν τε θεὰ

1329 λαῶν Barnes: λαῶν δὲ L P   γενεάν Seidler: γένναν L P   1330 ποίμναις Canter: ποίμνας L P   1332 πολέων *l*   ἀπέλειπε *l*: ἀπέλιπε L P: fortasse ἐξέλειπε, cf. 1314   1334 et 1335 δ' post Hartungum scripsi: τ' L P   1337 ἀλάστωρ] ἀλάστῳ Ludv. Dindorf: sed cf. Nicoch. incert. 4 (Mein.) de Sphinge   versui περισσόν suprascr. *l*, cum iam in stropha versus periisset: itaque omittebant veteres edd.   1339 μειλίσσω P   1340 ἐννέπει L P   1342 τᾷ Musgrave: τὰν L P   1343 Δηοῖ Canter: δηίω L P, δηι in ras. P   1344 v. 1360 non respondet: ἐξαλλάξατ' ἀλᾶν Bothe, sed sanum videtur ἀλαλᾷ: ἀλλάξαιτ' Fritzsche   1345 χορῶν Matthiae: χορόν L P   1347 τύμπανα L P: corr. Heath   τ' ἔλαβε Hermann: τε λάβετε L P   βυρσοτενῆ Canter: πυρσογενῆ L P   1348 κάλλιστα L P: cf. 1364   1349 γέλασε L P   τε] δὲ Wecklein

δέξατό τ' ἐς χέρας
βαρύβρομον αὐλὸν
τερφθεῖσ' ἀλαλαγμῷ.

ὧν οὐ θέμις ⟨σ'⟩ οὔθ' ὁσία [ἀντ. β'
'πύρωσας ἐν ⟨θεῶν⟩ θαλάμοις,
μῆνιν δ' ἔσχες μεγάλας
ματρός, ὦ παῖ, θυσίας
οὐ σεβίζουσα θεᾶς.
μέγα τοι δύναται νεβρῶν
παμποίκιλοι στολίδες
κισσοῦ τε στεφθεῖσα χλόα
νάρθηκας εἰς ἱερούς,
ῥόμβου θ' εἱλισσομένα
κύκλιος ἔνοσις αἰθερία,
βακχεύουσά τ' ἔθειρα Βρομί-
ῳ καὶ παννυχίδες θεᾶς.
†εὖ δέ νιν ἄμασιν
ὑπέρβαλε σελάνα†
μορφᾷ μόνον ηὔχεις.

Ελ. τὰ μὲν κατ' οἴκους εὐτυχοῦμεν, ὦ φίλαι·
ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη
πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη
οὐκ εἶπ' ἀδελφῷ· κατθανόντα δ' ἐν χθονὶ
οὔ φησιν αὐγὰς εἰσορᾶν ἐμὴν χάριν.
. . . . . .
κάλλιστα δῆτ' ἀνήρπασ' ἐν τύχῃ πόσις·

1350 χέρα Hermann 1353 σ' post multos addidi 1354 θεῶν ex. gr. addidi ἐπύρωσας L P 1355 ἔσχες Hermann : ἔχεις L P 1357 θεᾶς Heath : θεοῖς L P 1358 δύναται Musgrave : δύνανται L P 1360 κισσοῦ Musgrave : κισσῶ L P 1361 εἰς] ἐς L P 1362 ῥόμβου Heath : ῥόμβω L P ἑλισσομένα L P 1363 κύκλιος Scaliger : κυκλίοις L P 1366 sq. locus conclamatus 1366 εὖ γε P 1372 ἐν χθονὶ suspectum ante 1374 lacunam indicavit Hermann, ex. gr. ἔπειτα τεύχη τῶν ἔσω φρουρουμένων : δὴ τάδ' ἥρπασ' sine lacuna Fix 1374 ἀνήρπασεν ἐν L P

ἃ γὰρ καθήσειν ὅπλ᾽ ἔμελλεν εἰς ἅλα,
ταῦτ᾽ ἐμβαλὼν πόρπακι γενναίαν χέρα
αὐτὸς κομίζει δόρυ τε δεξιᾷ λαβών,
ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.
προύργου δ᾽ ἐς ἀλκὴν σῶμ᾽ ὅπλοις ἠσκήσατο,
ὡς βαρβάρων τρόπαια μυρίων χερὶ
θήσων, ὅταν κωπῆρες ἐσβῶμεν σκάφος,
πέπλους δ᾽ ἀμείψασ᾽ ἀντὶ ναυφθόρου στολῆς
ἐγώ νιν ἐξήσκησα, καὶ λουτροῖς χρόα
ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
ἀλλ᾽, ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν,
σιγητέον μοι· καὶ σὲ προσποιούμεθα
εὔνουν κρατεῖν τε στόματος, ἢν δυνώμεθα
σωθέντες αὐτοὶ καὶ σὲ συνσῶσαί ποτε.

Θε. χωρεῖτ᾽ ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ᾽, ἤν σοι μὴ κακῶς δόξω λέγειν,
πείθου, μέν᾽ αὐτοῦ· ταὐτὰ γὰρ παροῦσά τε
πράξεις τὸν ἄνδρα τὸν σὸν ἤν τε μη παρῇς.
δέδοικα γάρ σε μή τις ἐμπεσὼν πόθος
πείσῃ μεθεῖναι σῶμ᾽ ἐς οἶδμα πόντιον
τοῦ πρόσθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην·
ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ᾽ ὅμως στένεις.

Ελ. ὦ καινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει
τὰ πρῶτα λέκτρα νυμφικάς θ᾽ ὁμιλίας
τιμᾶν· ἐγὼ δὲ διὰ τὸ μὲν στέργειν πόσιν

1376 *πόρπακι* Victorius : *ὅρπακι* L : *ὄρπακι* P 1378 *δῆθεν ἐκπονῶν χάριν* Herwerden 1381 *στήσων* anonymus *εἰσβῶμεν* ** *σκάφος* P : *εἰσβῶμεν εἰς σκάφος* L 1382 sq. *ἀμείψας . . . ἁγώ* L P : corr. Pierson 1387 sq. fortasse *προσποιούμεθ᾽ εὖ* | *νοεῖν* : cf. Xen. Cyr. i. 18 *κρατῆσαι στόματος* Heimsoeth 1393 *πιθοῦ* Dindorf *μὲν* P : corr. *p* 1394 *πράξης* P : corr. *p* 1397 *ἐκπεπληγμένου* P 1398 *παροῦσ᾽* Vitelli 1399 *καινὸς* Beck : *κλεινὸς* L P

καὶ ξυνθάνοιμ' ἄν· ἀλλὰ τίς κείνῳ χάρις
ξὺν κατθανόντι κατθανεῖν; ἔα δέ με
αὐτὴν μολοῦσαν ἐντάφια δοῦναι νεκρῷ.
θεοὶ δὲ σοί τε δοῖεν οἷ' ἐγὼ θέλω,
καὶ τῷ ξένῳ τῷδ', ὅτι συνεκπονεῖ τάδε.
ἕξεις δέ μ' οἵαν χρή σ' ἔχειν ἐν δώμασι
γυναῖκ', ἐπειδὴ Μενέλεων εὐεργετεῖς
κἄμ'· ἔρχεται γὰρ δή τιν' ἐς τύχην τάδε.
ὅστις δὲ δώσει ναῦν ἐν ᾗ τάδ' ἄξομεν,
πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.
Θε. χώρει σὺ καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς κἀρετμῶν ἐπιστάτας.
Ελ. οὔκουν ὅδ' ἄρξει ναὸς ὃς κοσμεῖ τάφον;
Θε. μάλιστ'· ἀκούειν τοῦδε χρὴ ναύτας ἐμούς.
Ελ. αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.
Θε. αὖθις κελεύω καὶ τρίτον γ', εἴ σοι φίλον.
Ελ. ὄναιο· κἀγὼ τῶν ἐμῶν βουλευμάτων.
Θε. μή νυν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.
Ελ. ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.
Θε. τὰ τῶν θανόντων οὐδέν, ἀλλ' ἄλλως πόνος.
Ελ. ἔστιν τι κἀκεῖ κἀνθάδ' ὧν ἐγὼ λέγω.
Θε. οὐδὲν κακίω Μενέλεώ μ' ἕξεις πόσιν.
Ελ. οὐδὲν σὺ μεμπτός· τῆς τύχης με δεῖ μόνον.
Θε. ἐν σοὶ τόδ', ἢν σὴν εἰς ἔμ' εὔνοιαν διδῷς.
Ελ. οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.
Θε. βούλῃ ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;
Ελ. ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ.

1403 ξυγκατθανόντι L P   κατθανεῖν μ' Lenting   1406 τῷδ' L^2 P : δ' L   1407 χρή σ' Matthiae : χρῆν L P   1413 καὶ 'ρετμῶν L^2 P : καὶ ἐρετμῶν L   1415 χρὴ Reiske : χρῆν L P   1416–1429 paragraphos pro personarum notis praef. L P   1417 γ' *l*: om. L P   1419 ἐκτήξεις P : corr. *p*   1421 ἄλως P : ἄλλως *p*   1422, 1423 inverso ordine habet L sed numeris appictis rectum ordinem restituit   1422 ἔστιν *l*: ἔστι L P   κἀκεῖ τὰ ἐνθάδ', ὡς Herwerden   1424 om. P   με δεῖ Musgrave : μέλει L

Θε. ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους·
καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε
ψυχὴν ἀφῆκε Μενέλεως· ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς φέρειν γάμων
ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
ὑμέναιον Ἑλένης κἀμόν, ὡς ζηλωτὸς ᾖ.
σὺ δ', ὦ ξέν', ἐλθών, πελαγίους ἐς ἀγκάλας
τῷ τῆσδε πρίν ποτ' ὄντι δοὺς πόσει τάδε,
πάλιν πρὸς οἴκους σπεῦδ' ἐμὴν δάμαρτ' ἔχων,
ὡς τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ
στέλλῃ πρὸς οἴκους ἢ μένων εὐδαιμονῇς.
Με. ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλῄζῃ θεός,
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ' ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῇ σύναψαι· κἂν ἄκρᾳ θίγῃς χερί,
ἥξομεν ἵν' ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ μοι, θεοί, πολλά, χρήσθ' ὁμοῦ κλύειν
καὶ λύπρ'· ὀφείλω δ' οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῷ δὲ βῆναι ποδί· μίαν δέ μοι χάριν
δόντες τὸ λοιπὸν εὐτυχῆ με θήσετε.

Χο. Φοίνισσα Σιδωνιὰς ὦ [στρ. α'
ταχεῖα κώπα ῥοθίοισι, μάτηρ
εἰρεσίας φίλα,
χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὔραις
πέλαγος ἀνήνεμον ᾖ,

1433 χρὴ Matthiae : χρῆν L P 1435 ᾖ] ὦ Wecklein 1441 τε] γὰρ Kirchhoff 1443 λέπας Musgrave : λύπας L P 1447 χρήστ' ἐμοῦ L P: corr. Nauck 1448 λυπρά· L: λυπρά γ' L^2 P 1452 ῥοθίοισι Canter : ῥόθοισι L P μάτηρ Matthiae : μήτηρ L P : Νηρέως Badham 1453 εἰρεσίας Fritzsche : εἰρεσία *l* : ἐρεσία L P 1456 ἀνήνεμον scripsi : νήνεμον L P

γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ' εἴπῃ·
Κατὰ μὲν ἱστία πετάσατ' αὔ-
ραις λιπόντες εἰναλίαις,
λάβετε δ' εἰλατίνας πλάτας,
ὦ ναῦται, ναῦται,
πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.

ἦ που κόρας ἂν ποταμοῦ [ἀντ. α'
παρ' οἶδμα Λευκιππίδας ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις
χρόνῳ ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίνθου
νύχιον ἐς εὐφροσύναν,
ὃν ἐξαμιλλησάμενος
τροχῷ τέρμονα δίσκου
ἔκανε Φοῖβος, τᾷ Λακαί-
νᾳ γᾷ βούθυτον ἁμέραν·
ὁ Διὸς δ' εἶπε σέβειν γόνος·
μόσχον θ', ἂν οἴκοις
⟨ἔλειπες, Ἑρμιόναν,⟩
ἇς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.

δι' ἀέρος εἴθε ποτανοὶ [στρ. β'
γενοίμεσθ' ᾇ Λιβύας

1459 sq. λείποντες Seidler εἰναλίαις Seidler : ἐναλίαις L P λιπόντες ἐναύλια Kirchhoff : possis etiam αὐλοῖς ᾄδοντες εἰναλίοις, cf. Tro. 126 simm. 1461 εἰλαπίνας P πλάτας om. P 1462 ἰὼ ante alterum ναῦται add. *l* : cf. 1476 1466 προνάου L P : corr. Canter 1470 ἐς L P : εἰς *l* εὐφροσύναν Matthiae : εὐφρόναν L P 1472 τέρμονα Matthiae : τέρμονι L P 1473 τᾷ] τᾷ δὲ Wilamowitz : ὅθεν Hermann : puncta mutavi 1474 ἡμέραν L P 1475 δ' seclusit Musgrave 1476 ἂν λίποιτ' οἴκοις L P : λίποιτ' delevi : cf. 1462 : post h. v. lacunam indicavit Heath : ex. gr. explevi (ἂν λείπεις οἴκοισιν Wilamowitz) 1477 πρὸ Canter : πρὸς L P 1478 εἴθε Barnes : εἰ L P 1479 γενοίμεσθ' ᾇ Musgrave : γενοίμεθα L P Λιβύας scripsi : λίβυες L P

οἰωνοὶ στοχάδες
ὄμβρον λιποῦσαι χειμέριον
νίσονται πρεσβυτάτᾳ
σύριγγι πειθόμεναι
ποιμένος, ὃς ἄβροχα πεδία καρποφόρα τε γᾶς
ἐπιπετόμενος ἰαχεῖ.
Ὦ πταναὶ δολιχαύχενες,
σύννομοι νεφέων δρόμου,
βᾶτε Πλειάδας ὑπὸ μέσας
Ὠρίωνά τ' ἐννύχιον·
καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,
Μενέλεως ὅτι Δαρδάνου
πόλιν ἑλὼν δόμον ἥξει.

μόλοιτέ ποθ' ἵππιον οἶμον [ἀντ. β΄
δι' αἰθέρος ἱέμενοι
παῖδες Τυνδαρίδαι,
λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν·
οἳ ναίετ' οὐράνιοι,
σωτῆρες τᾶς Ἑλένας,
γλαυκὸν ἔπιτ' οἶδμα κυανόχροά τε κυμάτων
ῥόθια πολιὰ θαλάσσας,
ναύταις εὐαεῖς ἀνέμων

1480 *στοχάδες* L[2] (vel L[1]) P: *στολάδες* primitus L: de synaphea fracta cf. antistr. 1497 1482 *νίσονται* (sic) L P *πρεσβυτάτου* Paley 1484 cf. 1501 1487 *ὦ πταναὶ* Canter (*ὦ ποταναὶ* Stephanus): *ὁπόταν αἱ* L P 1489 *βᾶσαι* Herwerden *Πλειάδας* Stephanus: *πελειάδες* L P 1490 *Ὀαρίωνα* Nauck 1492 *Εὐρώταν* Victorius: *εὐρώπαν* L P 1493 *Μενέλαος* L P: corr. Matthiae 1495 linea circumscripsit et *περισσόν* add. *l* *οἶμον* scripsi et metri causa et usus Euripidei: *οἶμα* L: *οἶδμα* L[2] P: *γρ. ἅρμα* in margine *l* 1497 *τυνδαρίδες* L P, corr. *l* 1498 *ἀέλαισιν* P: corr. *p* 1500 *σωτῆρε* Musgrave 1501 *ἔπιτ' οἶδμα* Wilamowitz: *ἐπ' οἶδμ' ἅλιον* (glossema ad *γλαυκὸν*) L P: quo servato possis *ἄβροχά θ' ὃς* v. 1484

πέμποντες Διόθεν πνοάς·
δύσκλειαν δ' ἀπὸ συγγόνου
βάλετε βαρβάρων λεχέων,
  ἂν 'Ιδαίων ἐρίδων
ποιναθεῖσ' ἐκτήσατο, γᾶν
οὐκ ἐλθοῦσά ⟨ποτ'⟩ 'Ιλίου
  Φοιβείους ἐπὶ πύργους.

Αγ. †ἄναξ, τὰ κάκιστ' ἐν δόμοις εὑρήκαμεν·†
  ὡς καίν' ἀκούσῃ πήματ' ἐξ ἐμοῦ τάχα.
Θε. τί δ' ἔστιν; Αγ. ἄλλης ἐκπόνει μνηστεύματα
  γυναικός· 'Ελένη γὰρ βέβηκ' ἔξω χθονός.
Θε. πτεροῖσιν ἀρθεῖσ' ἢ πεδοστιβεῖ ποδί;
Αγ. Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονός,
  ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.
Θε. ὢ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
  ἐκ τῆσδ' ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.
Αγ. ἥν γε ξένῳ δίδως σύ· τούς τε σοὺς ἔχων
  ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.
Θε. πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
  ἔσω βέβηκα μίαν ὑπερδραμεῖν χέρα
  τοσούσδε ναύτας, ὧν ἀπεστάλης μέτα.

Αγ. ἐπεὶ λιποῦσα τούσδε βασιλείους δόμους
  ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη
  σοφώταθ' ἁβρὸν πόδα τιθεῖσ' ἀνέστενε
  πόσιν πέλας παρόντα κοὐ τεθνηκότα.

1509 πονηθεῖσ' L: πονηθήσ' P: corr. Scaliger Hermann γᾶν Musgrave: τὰν L P 1510 ἐλθοῦσά ποτ' Bothe (περ Fix): ἐλθοῦσαν ἐς L P: ἐς del. *l* 1511 φοιβίους P 1512 corruptus: fortasse totus ad lacunam explendam fictus 1514 ante ἄλλης et vv. 1516, 1517, 1526 paragraphos pro personarum notis praef. L 1517 ἐκπεπόρθευται P: corr. *p* 1520 ἀπῆρεν L: corr. L² 1521 γε] τῷ Wilamowitz τε] δὲ Kirchhoff ἔχων] ἑλὼν Schenkl 1524 εἴσω L P fortasse βέβηκε 1528 σοφώτατ' L: corr. L² 1529 καὶ οὐ L

ὡς δ' ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν
ζυγῶν τε πεντήκοντα κἀρετμῶν μέτρα
ἔχουσαν. ἔργου δ' ἔργον ἐξημείβετο·
ὃ μὲν γὰρ ἱστόν, ὃ δὲ πλάτην καθίσατο
ταρσόν τε χειρί, λευκά θ' ἱστί' εἰς ἓν ἦν,
πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
 κἀν τῷδε μόχθῳ, τοῦτ' ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προσῆλθον ἀκταῖς ναυφθόροις ἠσθημένοι
πέπλοισιν, εὐειδεῖς μέν, αὐχμηροὶ δ' ὁρᾶν.
ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος
προσεῖπε δόλιον οἶκτον ἐς μέσον φέρων·
Ὦ τλήμονες, πῶς ἐκ τίνος νεὼς ποτε
Ἀχαιίδος θραύσαντες ἥκετε σκάφος;
ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάπτετε,
ὃν Τυνδαρὶς παῖς ἥδ' ἀπόντα κενοταφεῖ;
 οἳ δ' ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ,
ἐς ναῦν ἐχώρουν Μενέλεῳ ποντίσματα
φέροντες. ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία
λόγος τ' ἐν ἀλλήλοισι, τῶν ἐπεσβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως
τοὺς σοὺς λόγους σῴζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
 καὶ τἄλλα μὲν δὴ ῥᾳδίως ἔσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ πούς
οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα,

1530 *περιβόλων* P : corr. *p* 1532 *καὶ ἐρετμῶν* L *μέτρα lp* : *μέτα* L P 1534 *καθίστατο* Barnes 1535 *τε χειρί*] *τ' ἐνεῖρε* Badham : fortasse *τ' ἐνήρη* *ἱστί'* L² P : *ἱστία* L *εἰς ἓν ἦν*] *εἰσένει* olim Herwerden : lectio totius v. dubia 1537 *μόχθου* Kirchhoff : cf. Ion 1196, Phoen. 1396 1538 *συνέμποροι* P 1539 *ἀκτὰς* Heiland *ἠσκημένοι* Blomfield 1540 *εὐηδεῖς* P : corr. *p* 1545 *ὀλούμενον* L P : corr. Stephanus *συνθάψετε* Badham 1546 *ἀπόντα* Brodeau : *ἄκοντα* L P 1550 *τ'* Ludv. Dindorf : *δ'* L P 1554 *τἄλλα* Canter : *ταῦτα* L P *εἴσω* L P 1555 *ἐθέμεσθα* L P 1556 *ὀρθῶς* P

ἀλλ᾽ ἐξεβρυχᾶτ᾽ ὄμμ᾽ ἀναστρέφων κύκλῳ
κυρτῶν τε νῶτα κἀς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ᾽ Ἑλένης πόσις
ἐκάλεσεν· Ὦ πέρσαντες Ἰλίου πόλιν,
οὐκ εἶ᾽ ἀναρπάσαντες Ἑλλήνων νόμῳ
νεανίαις ὤμοισι ταύρειον δέμας
ἐς πρῷραν ἐμβαλεῖτε, φάσγανόν θ᾽ ἅμα
πρόχειρον ὤσει σφάγια τῷ τεθνηκότι;
οἳ δ᾽ ἐς κέλευσμ᾽ ἐλθόντες ἐξανήρπασαν
ταῦρον φέροντές τ᾽ εἰσέθεντο σέλματα.
μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην
μέτωπά τ᾽ ἐξέπεισεν ἐσβῆναι δόρυ.
τέλος δ᾽, ἐπειδὴ ναῦς τὰ πάντ᾽ ἐδέξατο,
πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς
Ἑλένη καθέζετ᾽ ἐν μέσοις ἑδωλίοις,
ὅ τ᾽ οὐκέτ᾽ ὢν λόγοισι Μενέλεως πέλας·
ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ᾽ ἴσοι
ἀνὴρ παρ᾽ ἄνδρ᾽ ἕζονθ᾽, ὑφ᾽ εἵμασι ξίφη
λαθραῖ᾽ ἔχοντες, ῥόθιά τ᾽ ἐξεπίμπλατο
βοῆς κελευστοῦ φθέγμαθ᾽ ὡς ἠκούσαμεν.
ἐπεὶ δὲ γαίας ἦμεν οὔτ᾽ ἄγαν πρόσω
οὔτ᾽ ἐγγύς, οὕτως ἤρετ᾽ οἰάκων φύλαξ·
Ἔτ᾽, ὦ ξέν᾽, ἐς τὸ πρόσθεν—ἦ καλῶς ἔχει—
πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσι σοί.
ὃ δ᾽ εἶφ᾽· Ἅλις μοι. δεξιᾷ δ᾽ ἑλὼν ξίφος
ἐς πρῷραν εἷρπε κἀπὶ ταυρείῳ σφαγῇ

1558 κεὶς L P 1560 ἐκέλευσεν Cobet 1561 οὐκ εἶ᾽] οὔκουν suprascr. L² 1564 (φάσγανόν . . . ὠθεῖ) Bothe 1565 post ἐξανήρπασαν deletum πόλιν in L 1566 τ᾽ Musgrave: δ᾽ L P 1567 μονάμπυκος Schenkl: sed vide Ox. Pap. VIII. 1087 1567 sq. delevit W. G. Clark 1570 κλιμαντῆρας L P: corr. Hervagiana altera 1571 ἑδωλίων primitus L 1574 ἕζοντο L: ἕζοντ᾽ P εἵμασιν L P: ν delevit *l* 1575 λαθραῖ᾽ *l*: λάθρ* L (fuit λάθρα): λάθρ᾽ L² P ut videtur ῥόθια Pierson: ὄρθρια L: ὄρθια P 1576 κελευστοῦ Pierson: κελεύθου L P 1580 σοι Elmsley: μοι L P 1581 εἶπεν L P ἑλὼν] ἔχων Cobet, cl. 1564

σταθεὶς νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
τέμνων δὲ λαιμὸν ηὔχετ᾽· Ὦ ναίων ἅλα
πόντιε Πόσειδον Νηρέως θ᾽ ἁγναὶ κόραι,
σώσατέ μ᾽ ἐπ᾽ ἀκτὰς Ναυπλίας δάμαρτά τε
ἄσυλον ἐκ γῆς. αἵματος δ᾽ ἀπορροαὶ
ἐς οἶδμ᾽ ἐσηκόντιζον οὔριοι ξένῳ.
καί τις τόδ᾽ εἶπε· Δόλιος ἡ ναυκληρία.
πάλιν πλέωμεν· δεξιὰν κέλευε σύ,
σὺ δὲ στρέφ᾽ οἴακ᾽. ἐκ δὲ ταυρείου φόνου
Ἀτρέως σταθεὶς παῖς ἀνεβόησε συμμάχους·
Τί μέλλετ᾽, ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν φονεύειν βαρβάρους νεώς τ᾽ ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα·
Οὐκ εἶ᾽ ὁ μέν τις λοῖσθον ἀρεῖται δόρυ,
ὁ δὲ ζύγ᾽ ἄξας, ὁ δ᾽ ἀφελὼν σκαλμοῦ πλάτην
καθαιματώσει κρᾶτα πολεμίων ξένων;
ὀρθοὶ δ᾽ ἀνῇξαν πάντες, οἱ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικούς, οἱ δὲ ξίφη·
φόνῳ δὲ ναῦς ἐρρεῖτο. παρακέλευσμα δ᾽ ἦν
πρύμνηθεν Ἑλένης· Ποῦ τὸ Τρωικὸν κλέος;
δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ᾽ ὕπο
ἔπιπτον, οἱ δ᾽ ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκροὺς ἂν εἶδες. Μενέλεως δ᾽ ἔχων ὅπλα,
ὅποι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος,

1583 *ἔχων*] fortasse *ἔχει* 1584 *λαιμὸν* Stephanus : *δαίμον᾽* L P 1586 *Ναυπλίους* Wecklein 1587 *ἐκ γῆς* suspectum : nisi sensus est '*cum Terra eam incolumem praestiterit*' 1588 *ἐς* hic L P *οὔριοι* Elmsley : *οὔρια* L P 1590 ·*δεξιὰν* Baynes : *ἀξίαν·* L P : super *ἀ να* scripsit *l* : *ἀντίαν·* Badham 1592 *συμμάχοις* Nauck 1595 *ναυβάταις* *p* : *ναυάταις* L P 1596 *ἐναντίαν* *l* : *ἐναντίον* L P 1597 *οὐκ εἶ᾽*] *γρ. οὔκουν* L[2] *λοῖσθον* suspectum : fortasse *θᾶσσον* *ἀρεῖται* Elmsley : *αἰρεῖται* P : *αἱρεῖται* L 1598 *πλάταν* P 1604 *δείξατε* L : *δείξαντες* P : *κλέος δείξετε* Hartung 1607 *νοσεῖεν* P 1608 *δεξιᾷ*] fortasse *δεξιὸν*

ὥστ᾽ ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρετμά. ἐπ᾽ οἰάκων δὲ βὰς
ἄνακτ᾽ ἐς Ἑλλάδ᾽ εἶπεν εὐθύνειν δόρυ.
οἱ δ᾽ ἱστὸν ἦρον, οὔριαι δ᾽ ἧκον πνοαί.
βεβᾶσι δ᾽ ἐκ γῆς. διαφυγὼν δ᾽ ἐγὼ φόνον
καθῆκ᾽ ἐμαυτὸν εἰς ἅλ᾽ ἄγκυραν πάρα·
ἤδη δὲ κάμνονθ᾽ ὁρμιατόνων μέ τις
ἀνείλετ᾽, ἐς δὲ γαῖαν ἐξέβησέ σοι
τάδ᾽ ἀγγελοῦντα. σώφρονος δ᾽ ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.

Χο. οὐκ ἄν ποτ᾽ ηὔχουν οὔτε σ᾽ οὔθ᾽ ἡμᾶς λαθεῖν
Μενέλαον, ὦναξ, ὡς ἐλάνθανεν παρών.

Θε. ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας·
ἐκπεφεύγασιν γάμοι με. κεἰ μὲν ἦν ἁλώσιμος
ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους·
νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τεισόμεσθα σύγγονον,
ἥτις ἐν δόμοις ὁρῶσα Μενέλεων οὐκ εἶπέ μοι.
τοιγὰρ οὔποτ᾽ ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.

ΘΕΡΑΠΩΝ

οὗτος ὦ, ποῖ σὸν πόδ᾽ αἴρεις, δέσποτ᾽, ἐς ποῖον φόνον;

Θε. οἶπερ ἡ δίκη κελεύει με· ἀλλ᾽ ἀφίστασ᾽ ἐκποδών.

Θερ. οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα ⟨γὰρ⟩ σπεύδεις κακά.

Θε. ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν; Θερ. φρονῶ γὰρ εὖ.

1610 ἐρετμὰ L P 1611 ἄνακτ᾽ Emper : ἄναξ L P εἰς L P 1612 ἱστί᾽ ἦρον Emper οὔριοι Elmsley 1615 κάμνοντ᾽ L² P : κάμνοντα L ὁρμιατόνων L P, sed in ras. scripsit α P² : γρ. ὁρμιὰν τίνων μέ τις *l* 1618 χρησιμώτερον L : σωφρονέστερον P 1621 γυναικείοις Hermann 1627 ΘΕΡΑΠΩΝ] Χο. L P : 1629–1639 paragraphos habent pro personarum notis : has partes mulieris non esse sed viri arguit v. 1630, cf. ad Hipp. 1102 sq. : igitur vel Nuntio vel potius post Clarkium Θεράποντι Theonoae tribuendae, qui regi in regiam inrumpenti obvius fiat ὦ ποῖ L (nescio an in rasura) : ὅποι P 1629 γὰρ om. L P : add. *l*

Θε. οὐκ ἐμοῦ γ', εἰ μή μ' ἐάσεις— Θερ. οὐ μὲν οὖν σ' ἐάσομεν.
Θε. σύγγονον κτανεῖν κακίστην— Θερ. εὐσεβεστάτην μὲν οὖν.
Θε. ἥ με προὔδωκεν— Θερ. καλήν γε προδοσίαν, δίκαια δρᾶν.
Θε. τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα. Θερ. τοῖς γε κυριωτέροις.
Θε. κύριος δὲ τῶν ἐμῶν τίς; Θερ. ὃς ἔλαβεν πατρὸς πάρα.
Θε. ἀλλ' ἔδωκεν ἡ τύχη μοι. Θερ. τὸ δὲ χρεὼν ἀφείλετο.
Θε. οὐ σὲ τἀμὰ χρὴ δικάζειν. Θερ. ἤν γε βελτίω λέγω.
Θε. ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν. Θερ. ὅσια δρᾶν, τὰ δ' ἔκδικ' οὔ.
Θε. κατθανεῖν ἐρᾶν ἔοικας. Θερ. κτεῖνε· σύγγονον δὲ σὴν
οὐ κτενεῖς ἡμῶν ἑκόντων, ἀλλ' ἔμ'· ⟨ὡς⟩ πρὸ δεσποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν. 1641

ΔΙΟΣΚΟΡΟΙ

ἐπίσχες ὀργὰς αἷσιν οὐκ ὀρθῶς φέρῃ,
Θεοκλύμενε, γαίας τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
οὐ γὰρ πεπρωμένοισιν ὀργίζῃ γάμοις,
οὐδ' ἡ θεᾶς Νηρῇδος ἔκγονος κόρη
ἀδικεῖ σ' ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
τιμῶσα πατρός τ' ἐνδίκους ἐπιστολάς.
ἐς μὲν γὰρ αἰεὶ τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν

1633 προὔδωκε L P 1635 ἔλαβε L P 1638 ἀρχόμεσθ' L P: corr. l τὰ δ' ἔκδικ' οὔ Porson: ταδ' ἐκδικῶ L P 1639 κτεῖναι P 1640 paragraphus praefixa et deleta in L: 1640 et 1641 paragraphos praef. P ἔμ' ὡς Porson: ἐμὲ L P 1641 γενναίοις L P: corr. l 1643 γαίας Nauck: γῆς L P: τῆσδε γῆς Mekler 1647 ἔκγονος Matthiae: ἐγγόνου L P: εὐγενὴς Nauck 1650 ἐς] εἰς Stephanus: εἰ L P ἀεὶ L P

ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι·
ἐν τοῖσι δ' αὐτῆς δεῖ νιν ἐξεῦχθαι γάμοις
ἐλθεῖν τ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
νόμιζε δ' αὐτὴν σωφρόνως πράσσειν τάδε.
πάλαι δ' ἀδελφὴν κἂν πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
σοὶ μὲν τάδ' αὐδῶ, συγγόνῳ δ' ἐμῇ λέγω·
πλεῖ ξὺν πόσει σῷ· πνεῦμα δ' ἕξετ' οὔριον·
σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλῶ
πόντον παριππεύοντε πέμψομεν πάτραν.
ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,
θεὸς κεκλήσῃ καὶ Διοσκόρων μέτα
σπονδῶν μεθέξεις ξένιά τ' ἀνθρώπων πάρα
ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ' ὥρισέν σοι πρῶτα Μαιάδος τόκος,
Σπάρτης ἀπάρας, τὸν κατ' οὐρανὸν δρόμον,
κλέψας δέμας σὸν μὴ Πάρις γήμειέ σε,
—φρουρὸν παρ' Ἀκτὴν τεταμένην νῆσον λέγω—
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπαίαν σ' ἐκ δόμων ἐδέξατο.

1654 τοῖσι δ' Bothe: τοῖσιν L P, quo servato del. v. 1653 Nauck αὐτῆς Nauck: αὐτοῖς L P 1655 τ' Hermann: δ' L P συνηκῆσαι P 1656 ἴσχε *l*: ἔσχε L P 1657 πράττειν L P 1658 κἂν πρὶν Heath: καὶ πρὶν L teste Vitellio. nam και suprascr. L[1]: πρίν γ' ut videtur P: ἂν Ἑλένην καὶ πριν Badham 1659 del. Nauck 1660 ἥσσον' Pierson: ἥσσονες L P 1663 πλεῖ Cobet: πλεῖν L P σὺν P 1664 δ' L: θ' P 1666 κάμψεις ... τελευτήσεις P: corr. *p* 1667 sq. verba ξένιά ... ἡμῶν delebat Herwerden 1670 ὥρμισέν σε Madvig σε apogr. Paris. 1671 τὸν P et suprascr. L[1] vel L[2]: τῶν L δρόμων Wilamowitz: δόμων L P: δρόμων Paley 1673 φρουρὸν Hermann: φρουροῦ L P τεταμένην νῆσον Reiske: τεταγμένη μνῆσον L P: γρ. νῆσον L[1] in marg.: μνῆσοι *p* 1675 κλοπαίαν σ' Herwerden: κλοπὰς L P: κλοπὰς σὰς *l*

καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
τῶν δ᾽ ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.
Θε. ὦ παῖδε Λήδας καὶ Διός, τὰ μὲν πάρος
νείκη μεθήσω σφῶν κασιγνήτης πέρι·
ἐγὼ δ᾽ ἀδελφὴν οὐκέτ᾽ ἂν κτάνοιμ᾽ ἐμήν.
κείνη δ᾽ ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
ἴστον δ᾽ ἀρίστης σωφρονεστάτης θ᾽ ἅμα
γεγῶτ᾽ ἀδελφῆς ὁμογενοῦς ἀφ᾽ αἵματος.
καὶ χαίρεθ᾽ Ἑλένης οὕνεκ᾽ εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.
Χο. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη,
τῶν δ᾽ ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

1679 v. multum sollicitatus 1685 ἀδελφοῦ ut vid. P : corr. *p* ὁμογενοῦς Canter : μονογενοῦς L P 1686 καὶ om. P 1687 γνώμην Wilamowitz 1691 εὗρεν P Subscr. **** εὐριπίδου ἑλένη (erasum videtur τέλος) L : τέλος εὐριπίδου ἑλένης P

ΦΟΙΝΙΣΣΑΙ

ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ

Ἐτεοκλῆς παραλαβὼν τὴν Θηβῶν βασιλείαν ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν Πολυνείκην· φυγὰς δὲ εἰς Ἄργος ἐκεῖνος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου, κατελθεῖν εἰς τὴν πατρίδα φιλοτιμούμενος. καὶ πείσας τὸν πενθερὸν συνήθροισεν ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ μήτηρ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον εἰσελθεῖν εἰς τὴν πόλιν καὶ διαλεχθῆναι πρότερον πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὲρ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα εἰς φιλίαν οὐκ ἠδύνατο, Πολυνείκης δὲ ὡς πρὸς πολέμιον λοιπὸν παραταξόμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα, ὁ δὲ νεανίσκος ἐβουλεύετο καίπερ τοῦ πατρὸς αὐτῷ φυγὴν μετὰ χρημάτων διδόντος ἑαυτὸν ἀποσφάξαι. καὶ δὴ καὶ ἔπραξε· Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων †ἔσφαξαν†. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς ἔσφαξεν ἑαυτήν, ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν. οἱ δὲ Ἀργεῖοι νικηθέντες τῆς μάχης ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρῴας ἀπέπεμψεν, ἐφ᾽ ὧν μὲν ⟨οὐ⟩ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογοποιήσας οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

[M A B V]

Argumenta om. L : primum (Ἐτεοκλῆς . . . ἐλεήσας) om. P   minores discrepantias neglexi   4 ἀξιόλογον στρατείαν κατὰ τοῦ ἀδελφοῦ καὶ εἰς Θήβας ἐλήλυθε B   7 ὑπὲρ Wecklein : ὑπὸ codd.   9 λοιπὸν] ἐχθρὸν A V   παραταξάμενος codd. : corr. Kirchhoff   10 ἔσεσθαι Barnes : θέσθαι codd.   13 ἐβουλεύετο F : ἐβούλετο rell.   καίπερ Kirchhoff : καὶ codd.   14 ἀποσφάξαι Valckenaer : ἀπέσφαξε codd.   15 ἔσφαξαν corruptum: ἔτρεψαν Hermann   ἐτεοκλέους δὲ καὶ πολυνείκους μονομαχήσαντος codd. (μονομαχησάντων A) : corr. recentiores   18 τῇ μάχῃ Barnes : genetivus hiatus vitandi causa adhibitus est   21 πατρῴας] πατρίδος A   οὐ O et recc. : om. codd.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους ὑπὲρ τῆς πόλεως ἀποθανών, ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων, καὶ Ἰοκάστη ἡ μήτηρ ἀνεῖλεν ἑαυτὴν ἐπὶ τοῖς παισί, καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο, καὶ ἄταφος Πολυνείκης πρόκειται, καὶ ὁ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον καὶ γνωμῶν μεστὸν πολλῶν τε καὶ καλῶν.

Τὸ δρᾶμα ἐστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλόν, ἐπεὶ καὶ παραπληρωματικόν. ἥ τε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα μέρος οὐκ ἔστι δράματος, καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται, ὅ τε ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος Οἰδίπους προσέρραπται διὰ κενῆς. [M A B V [P]]

ΧΡΗΣΜΟΣ

Λάιε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς·
τέξεις μὲν φίλον υἱόν, ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν βίον· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατο σοὶ τάδε πάντα.

[M A B V P]

ΤΟ ΤΗΣ ΣΦΙΓΓΟΣ ΑΙΝΙΓΜΑ

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ γίνονται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ.

[M B V P et Σ v. 50]

7 *γνωμῶν μεστὸν πολλῶν τε καὶ καλῶν* Nauck : *γνωμῶν πολλῶν μεστόν τε καὶ καλῶν* fere M A B V : *πολλῶν γνωμῶν τε καὶ καλῶν μεστόν* P 8–12 *τὸ δρᾶμα . . . διὰ κενῆς* om. P 8 *ἐπεὶ καὶ*] *ἔστι δὲ ἐπεισοδιῶδες καὶ* Wecklein 11 *προσέρραπται* Tyrwhitt : *προσέρριπται* codd. 12 *κενῆς* novicii : *κενοῦ* codd. 13 hoc oraculum et quod sequitur aenigma exstant etiam in Laur. xxxii. 9 in fine Oed. Reg. Sophocleae et in Anth. Pal. xiv. 67, 64 15 *δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶν* Anth. Pal. et Laur. xxxii. 9 16 *παιδὸς ἑοῦ*] *σοῦ παιδὸς* Anth. Pal. et Laur. xxxii. 9 *βίον*] *φάος* Anth. Pal. et Laur. xxxii. 9 *ἔνευσε*] *ἔνεσπε* V 19–24 Aenigma hoc exstat etiam in Σ ad v. 50 (codd. M B V Taurinensi) et apud Athen. x. p. 456 B : Asclepiadae tribuitur in B et Σ 20 *γῆν* M V *τετράπον* Σ : *τετράπουν* codd. 21 *τρίπουν* M V *φυὴν* evanuit in V : *φωνὴν* B : *βοὴν* Laur. xxxii. 9 : *φύσιν* Athen. et Σ, sed hic *μόνον φύσιν* scribens 22 *γίνονται* fere M B : *γίνηται* Anth. Pal. et Laur. xxxii. 9 : *γίνεται* Σ : *κινεῖται* Musurus *ἀνά τ'*] *καὶ ἀν'* Athen. 23 *πλεόνεσσιν*] *πλείστοισιν* Anth. Pal. et Athen. et Laur. xxxii. 9 : *τρισσοῖσιν* Σ

ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ

κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης·
ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων,
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει
αὐχένα φορτίζων γήραϊ καμπτόμενος. [B et Σ v. 50]

Λάιος ἀπὸ Θηβῶν παραγενόμενος κατὰ τὴν ὁδὸν ἐθεάσατο Χρύσιππον τὸν υἱὸν τοῦ Πέλοπος. τούτου ἐρασθεὶς ἠξίου αὐτὸν παραγενέσθαι εἰς Θήβας σὺν αὐτῷ. τοῦ δὲ μὴ τοῦτο ποιῆσαι βουληθέντος ἥρπασεν ὁ Λάιος λάθρα τοῦ ἑαυτοῦ πατρός. ἐπὶ πολὺ δὲ αὐτοῦ θρηνοῦντος διὰ τὴν τοῦ παιδὸς ἀπώλειαν ὕστερον ἔμαθε καὶ μαθὼν κατηράσατο τῷ αὐτὸν ἀνελόντι μὴ παιδοποιῆσαι, εἰ δὲ τοῦτο γένηται, ὑπὸ τοῦ τικτομένου ἀναιρεθῆναι. [V et Laur. xxxii. 33]

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ

Ἐπιστρατεία Πολυνείκους μετὰ τῶν Ἀργείων ἐπὶ Θήβας καὶ ἀπώλεια τῶν ἀδελφῶν Πολυνείκους καὶ Ἐτεοκλέους καὶ θάνατος Ἰοκάστης. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Ἑπτὰ ἐπὶ Θήβας πλὴν τῆς Ἰοκάστης. †. . . ἐπὶ Ναυσικράτους ἄρχοντος . . . δεύτερος Εὐριπίδης . . . καθῆκε διδασκαλίαν περὶ τούτου. καὶ γὰρ ταῦτα ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ . . . σώζεται†. ὁ χορὸς συνέστηκεν ἐκ Φοινισσῶν γυναικῶν. προλογίζει δὲ Ἰοκάστη.

[Vaticanus 1345 F [P]]

28 ὃς Σ : ὃν B 29 τετράπους Σ : τετράπουν B 32 κατὰ τὴν ὁδὸν Laur. xxxii. 33: τὴν ante spatium vacuum sex litterarum V 36 μαθὼν] μαθὼν ὕστερον V 39 46 Ἀριστοφάνους . . . θάνατος Ἰοκάστης exstat etiam in P 40 ante ἐπιστρατεία supplet ἡ μὲν ὑπόθεσις τοῦ δράματος Kirchhoff: τὸ μὲν κεφάλαιόν ἐστιν Wecklein ἐπιστρατεία P : ἐπὶ τῇ στρατείᾳ τοῦ F Vat. 42, 43 verba ἡ μυθοποιία . . . Ἰοκάστης om. F 42 ἡ μὲν ἠθοποιία Vat. : corr. codd. quidam novicii Θήβαις Vat. 43 πλὴν τῆς Kirchhoff : πλεῖ Vat. 43–45 lacunas indicavit Kirchhoff 'Nausicrates nunquam archon fuit : choregi nomen esse coni. Wilamowitz : Oenomaum Chrysippum Phoenissas ex eodem sumptas esse fabularum orbe dixit grammaticus, verba tamen restitui nequeunt.' Schwartz. 45 οὐ σῴζεται Kirchhoff 46 γυναικῶν om. F

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΙΟΚΑΣΤΗ	ΚΡΕΩΝ
ΠΑΙΔΑΓΩΓΟΣ	ΤΕΙΡΕΣΙΑΣ
ΑΝΤΙΓΟΝΗ	ΜΕΝΟΙΚΕΥΣ
ΧΟΡΟΣ ΕΚ ΦΟΙΝΙΣΣΩΝ	ΑΓΓΕΛΟΣ
ΠΟΛΥΝΕΙΚΗΣ	ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ
ΕΤΕΟΚΛΗΣ	ΟΙΔΙΠΟΥΣ

Recti ordinis vestigia servavit M qui personas quasdam omissas in secunda posuit columna sic

Ἰοκάστη	*κρέων*
παιδαγωγός	*τειρεσίας*
ἀντιγόνη	*μενοικεύς*
χορὸς ἐκ φοινισσῶν	
ἄγγελος	*ἐτεοκλῆς*
ἕτερος ἄγγελος	
πολυνείκης καὶ οἰδίπους	

Hunc ordinem male interpretati A B V P ita secuti sunt ut *ἰοκάστη. κρέων. παιδαγωγός. τειρεσίας. ἀντιγόνη. μενοικεύς. χορὸς ἐκ φοινισσῶν. ἄγγελος. ἐτεοκλῆς. ἕτερος ἄγγελος. πολυνείκης. οἰδίπους.* scripserint, parvis inter se discrepantiis :

χορὸς φοινισσῶν γυναικῶν P : om. A : *χορὸς ἐκ φοινισσῶν γυναικῶν* post *ἄγγελος* trai. B

πολυνείκης om. P

ἐτεοκλῆς, ἕτερος ἄγγελος om. A B

Indicem totum om. L

Acta ann. A.C. 411–409, post Andromedam (412) ante Orestem (408), Schol. Ar. Ran. 53. Plura quam quae nunc definire possimus per totam fabulam interpolata esse ab histrionibus, sc. ab iis qui Phoenissas identidem saec. IV et III scaenae commiserint, primus vidit Valckenaer: cf. quae ad init. Orestis et Iph. Aul. adnotavimus et CIA ii 973, ubi v. 30 *Φοινίσσαις Εὐ]ριπίδου* coni. J. U. Powell.

Codices M A B V L P: accedunt duo Π, sc. *Pap. Oxyrh.* 224, fragmenta vv. 1017–1043 et initia vv. 1064–1071 continens, et tabula lignea Archiducis Raineri (Inventar. 34), vv. 1097–1107 et 1126–1137 : etiam testa saec. A.C. II in Museo Britannico servata (cf. *Class. Rev.* 1904, p. 2), vv. 107–118 et 128–139. Raro memorantur F O H.

ΦΟΙΝΙΣΣΑΙ

ΙΟΚΑΣΤΗ

Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν
καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα·
ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ
Πολύδωρον ἐξέφυσε, τοῦ δὲ Λάβδακον
φῦναι λέγουσιν, ἐκ δὲ τοῦδε Λάιον.
ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
—Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ—
καλοῦσι δ' Ἰοκάστην με· τοῦτο γὰρ πατὴρ
ἔθετο. γαμεῖ δὲ Λάιός μ'· ἐπεὶ δ' ἄπαις
ἦν χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον ἐξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὁ δ' εἶπεν· Ὦ Θήβαισιν εὐίπποις ἄναξ,
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
ὁ δ' ἡδονῇ δοὺς ἔς τε βακχείαν πεσὼν

εὐριπίδου φοίνισσαι suprascr. V P : *φοίνισσαι* L 4 *θήβησι* L 5 *ἀφῆκας* V (*ἐφῆκας* Σ) 9 *ἐκ τοῦδε* A : *ἐκ δὲ τοῦ* L 11 *μιᾶς ἐκ μητρὸς* L : v. seclusit Paley 20 *οἶκος δέ σοι πᾶς* Dio Cass. 78. 8 (*καὶ πᾶς οἶκος σὸς* V) 21 *ἡδονῇ 'νδοὺς* Markland (*δοὺς* Σ) *βακχείαν* Arnim : *βακχεῖον* codd.

ἔσπειρεν ἡμῖν παῖδα· καὶ σπείρας, †βρέφος†
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον·
ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι
φέρουσ' ἐς οἴκους ἔς τε δεσποίνης χέρας
ἔθηκαν. ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον
μαστοῖς ὑφεῖτο καὶ πόσιν πείθει τεκεῖν.
  ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
παῖς οὑμὸς ἢ γνοὺς ἤ τινος μαθὼν πάρα
ἔστειχε τοὺς φύσαντας ἐκμαθεῖν θέλων
πρὸς δῶμα Φοίβου, Λάιός θ', οὑμὸς πόσις,
τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν
εἰ μηκέτ' εἴη. καὶ ξυνάπτετον πόδα
ἐς ταὐτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
καί νιν κελεύει Λαΐου τροχηλάτης·
Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν. πῶλοι δέ νιν
χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
ὅθεν—τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;—
παῖς πατέρα καίνει καὶ λαβὼν ὀχήματα
Πολύβῳ τροφεῖ δίδωσιν.
                ὡς δ' ἐπεζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,
ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,

22 *βρέφος*] corruptum : *φρενός, ἄφνω, ἄφαρ* viri docti 26–27 seclusit post Valckenaerium Paley : habuit Σ 30 *τὸν ἐμὸν* L : *τὸν ἐμῶν* P : *τῶν ἐμῶν* rell. (*πόνων* primitus M) 31 *τεκεῖν* codd. et Σ : *τρέφειν* C. F. Nagel 34 *φύσαντας*] *τεκόντας* Strabo xvi. p. 762 36 *μαθεῖν*] *γρ. ἰδεῖν* A B : *γρ. ἰδὼν* ut videtur V 40 *ξένιε* ut videtur primitus M : *ξεῖνε* L P 43 *με* om. M 45 *τροφεῖα καταβάλλει* Σ : *τροφεῖ ἔδωκεν* sprevit Porson 46 *φὶγξ* A 47 *κρέων δ'* M V L et lemma Σ

τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
μούσας ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών·
[ὅθεν τύραννος τῆσδε γῆς καθίσταται]
καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.
γαμεῖ δὲ τὴν τεκοῦσαν οὐκ εἰδὼς τάλας
οὐδ' ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.
τίκτω δὲ παῖδας παιδὶ δύο μὲν ἄρσενας,
Ἐτεοκλέα κλεινήν τε Πολυνείκους βίαν,
κόρας τε δισσάς· τὴν μὲν Ἰσμήνην πατὴρ
ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα
ἐς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
κλῄθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
γένοιτο πολλῶν δεομένη σοφισμάτων·
ζῶν δ' ἔστ' ἐν οἴκοις. πρὸς δὲ τῆς τύχης νοσῶν
ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
τὼ δ' ἐς φόβον πεσόντε, μὴ τελεσφόρους
εὐχὰς θεοὶ κραίνωσιν οἰκούντων ὁμοῦ,
ξυμβάντ' ἔταξαν τὸν νεώτερον πάρος
φεύγειν ἑκόντα τήνδε Πολυνείκη χθόνα,
Ἐτεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
ἐνιαυτὸν ἀλλάσσοντε. ἐπεὶ δ' ἐπὶ ζυγοῖς
καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,

49 ξυνάπτειν L 50 μούσας Σ (τινὲς γράφουσι μούσας ἐμὸς παῖς, ὃ καὶ βέλτιον) et γρ. υ: αἴνιγμ' codd. 51 del. Valckenaer, servat Weil λαμβάνων scribens 52 Cf. Σ: παρ' οὐδενὶ κεῖται τὸ ἔπαθλα ἢ μόνῳ τῷ Εὐριπίδῃ, ὅθεν μεταγράφουσί τινες καὶ σκῆπτρα χώρας ἆθλα: cf. 1262 55 ἄρσενας V: ἄρρενας rell. 59 τἀμὰ λέκτρα codd. et Σ: τἀμπλάκημα Wecklein μητρῷον γάμον V (genetivum Σ) 61 ὄμμαθ' αὑτοῦ F et lemma Σ: ὄμματ' αὐτοῦ codd. 62 χρυσηλάταις M 66 ζῶν δέτ' L P 70 εὐχὰς] ὀργὰς V οἰκούντοιν Elmsley 72 φεύγειν δ' V Πολυνείκην codd.: corr. Elmsley: non notatur amplius 73 σκῆπτρον V 74 ἀλλάσσοντ' codd. ζυγῷ L: corr. L[2]

φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκη χθονός.
ὁ δ' Ἄργος ἐλθών, κῆδος Ἀδράστου λαβών,
πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων ἄγει·
ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
πατρῷ' ἀπαιτεῖ σκῆπτρα καὶ μέρη χθονός.
ἐγὼ δ' ἔριν λύουσ' ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα πρὶν ψαῦσαι δορός.
ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
ἀλλ', ὦ φαεννὰς οὐρανοῦ ναίων πτυχὰς
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις.
χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι.

ΠΑΙΔΑΓΩΓΟΣ

ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρί,
ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον
στράτευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,
ἐπίσχες, ὡς ἂν προυξερευνήσω στίβον,
μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
κἀμοὶ μὲν ἔλθῃ φαῦλος ὡς δούλῳ ψόγος,
σοὶ δ' ὡς ἀνάσσῃ· πάντα δ' ἐξειδὼς φράσω
ἅ τ' εἶδον εἰσήκουσά τ' Ἀργείων πάρα,
σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων
ἐνθένδ' ἐκεῖσε, δεῦρό τ' αὖ κείνων πάρα.
ἀλλ' οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί·
σκόπει δὲ πεδία καὶ παρ' Ἰσμηνοῦ ῥοὰς
Δίρκης τε νᾶμα πολεμίων στράτευμ' ὅσον.

77 κῆδος τ' L   79 ἐπ'] εἰς P   80 μέρος Wecklein   84 πτυχὰς et πτύχας Σ: πτύχας codd.   87 δυστυχὴς ut videtur primitus M   88 θάλλος A   90 ἐς hic codd.   ἐσχάτων primitus V, sed correxit ipse   92 στίβον] τρίβον V (τὴν τετριμμένην ὁδόν Σ)   94-98 suspecti Weckleinio, cl. v. 143   94 ἔλθοι Λ L   98 τ' αὖ] τὰν M   κείνων V (ἀπὸ τῶν ἐκεῖθεν Σ): κείνου (κεῖνου M) rell.   100 παλαιὰν codd. et Σ   ἐκπερᾷ A (ἐκπέραι B)

ΑΝΤΙΓΟΝΗ

ὄρεγέ νυν ὄρεγε γεραιὰν νέᾳ
χεῖρ᾽ ἀπὸ κλιμάκων
ποδὸς ἴχνος ἐπαντέλλων.
Πα. ἰδοὺ ξύναψον, παρθέν᾽· ἐς καιρὸν δ᾽ ἔβης·
κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
στράτευμα, χωρίζουσι δ᾽ ἀλλήλων λόχους.
Αν. ἰὼ πότνια παῖ
Λατοῦς Ἑκάτα, κατάχαλκον ἅπαν
πεδίον ἀστράπτει.
Πα. οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
πολλοῖς μὲν ἵπποις, μυρίοις δ᾽ ὅπλοις βρέμων.
Αν. ἆρα πύλαι κλῄθροις—χαλκόδετ᾽ ἆρ᾽ ἔμβολα
λαϊνέοισιν Ἀμφίονος ὀργάνοις
τείχεος ἥρμοσται;
Πα. θάρσει· τά γ᾽ ἔνδον ἀσφαλῶς ἔχει πόλις.
ἀλλ᾽ εἰσόρα τὸν πρῶτον, εἰ βούλῃ μαθεῖν.
Αν. τίς οὗτος ὁ λευκολόφας,
πρόπαρ ὃς ἁγεῖται στρατοῦ πάγχαλκον ἀσπίδ᾽
ἀμφὶ βραχίονι κουφίζων;
Πα. λοχαγός, ὦ δέσποινα. Αν. τίς, πόθεν γεγώς;
αὔδασον, ὦ γεραιέ, τίς ὀνομάζεται;
Πα. οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ᾽ οἰκεῖ νάμαθ᾽, Ἱππομέδων ἄναξ.
Αν. ἒ ἔ ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν,
γίγαντι γηγενέτᾳ προσόμοιος

105 *ποδὸς* del. Bothe *ἐπαντέλλων* B *l*: *ἐπανατέλλων* rell. et lemma Σ 109 *ἰὼ παῖ Λατοῦς πότνια* L 110 *απαν οπλοις πεδιον* testa 113 *δ᾽* om. testa *βρέμων* M B V L P Σ: *βρίθων* A 114 *χαλκόδετ᾽ ἆρ᾽ ἔμβολα* scripsi ob metrum: *χαλκόδετ᾽ ἔμβολά τε* Seidler: *χαλκόδετά τ᾽ ἔμβολα* codd: testa illegibilis post *χαλ]κοτεδα* 115 *λαινέοις* codd. *ὀργάνοις* codd. et Σ: fortasse *ὀρκάναις*: *ὄργανον* 'instrumentum' est non 'opus': (sed cf. Soph. fr. 366) 120 *ὃς* om. A: habuit Σ *ἡγεῖται* L P 122 *βραχίονα* A L 123 *Αν.* om. L, spatio vacuo relicto 123 sq. del. Dindorf: habuit Σ 125 *μὲν* om. M: add. M² 127 *ἒ ἔ* M B: *αἶ αἶ* P 128–129 sic codd. et Σ

ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος
ἁμερίῳ γέννᾳ.
Πα. τὸν δ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ;
Αν. ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
τίς δ' ἐστὶν οὗτος; Πα. παῖς μὲν Οἰνέως ἔφυ
Τυδεύς, Ἄρη δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.
Αν. οὗτος ὁ τᾶς Πολυνείκεος,
ὦ γέρον, αὐτοκασιγνήτᾳ νύμφας
ὁμόγαμος κυρεῖ;
ὡς ἀλλόχρως ὅπλοισι, μειξοβάρβαρος.
Πα. σακεσφόροι γὰρ πάντες Αἰτωλοί, τέκνον,
λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
[Αν. σὺ δ', ὦ γέρον, πῶς αἰσθάνῃ σαφῶς τάδε;
Πα. σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων
ἃ προσδεδορκὼς οἶδα τοὺς ὡπλισμένους.]
Αν. τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ
καταβόστρυχος, ὄμμασι γοργὸς
εἰσιδεῖν νεανίας,
λοχαγός, ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
πάνοπλος ἀμφέπει;
Πα. ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.
Αν. ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα τόξοις δαμάσασ' ὀλέσειεν,
ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

129 ἀστεροπὸς P et suprascr. A 131–133 Antigonae continuat Hamaker 131 τόνδ' V ὕδωρ λοχαγόν; B et recc.: υδωρ λοχαγος testa 132 Αν. notam omissam 133 praefigit P ἄλλος ἄλλως V: corr. v 134 ἄρη B P: ἄρην V A L M² αἰτωλῶν M V: corr. v 135 om. B: add. B² 136 αὐτοκασιγνήτᾳ Reiske et ut videtur testa: αὐτοκασιγνήτας codd. et nunc Σ 138 ἀλλόχροος B² et A sed suprascr. ως: ἀλλόχρους P 141–144 del. Schumacher, cf. 95–98 κασιγνήτη A 145 τὸ] τοῦ in rasura V P 148 λοχαγός; ὡς L et primitus M: Πα. λοχαγός. Αν. ὡς rell. 149 Αν. praef. M: del. M² post 150 versum intercidisse putat P. Wesener 151 Αν. om. A 152 ἱεμένη L: ἰεμένη V δαμάσασα M A B L 153 ἐπ' om. V ἔβα] ἔβαν V

Πα. εἴη τάδ', ὦ παῖ. σὺν δίκῃ δ' ἥκουσι γῆν·
ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί.
Αν. ποῦ δ' ὃς ἐμοὶ μιᾶς ἐγένετ' ἐκ ματρὸς
πολυπόνῳ μοίρᾳ;
ὦ φίλτατ', εἰπέ, ποῦ 'στι Πολυνείκης, γέρον.
Πα. ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστατεῖ.
ὁρᾷς; Αν. ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
μορφῆς τύπωμα στέρνα τ' ἐξῃκασμένα.
ἀνεμώκεος εἴθε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι
δι' αἰθέρος
πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ' ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμ' ⟨ἐν⟩ χρόνῳ
φυγάδα μέλεον. ὡς
ὅπλοισι χρυσέοισιν ἐκπρεπής, γέρον,
ἑῴοις ὅμοια φλεγέθων βολαῖς [ἀελίου].
Πα. ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς,
ἔνσπονδος. Αν. οὗτος δ', ὦ γεραιέ, τίς κυρεῖ,
ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
Πα. ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαίματοι ῥοαί.
Αν. ὦ λιπαροζώνου θύγατερ Ἀελίου
Σελαναία, χρυσεόκυκλον φέγγος,
ὡς ἀτρεμαῖα κέντρα καὶ σώφρονα
πώλοις μεταφέρων ἰθύνει.
ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει;

155 μὴ] καὶ μὴ primitus M 156 ποῖ ποῖ δ' ὃς A ματρὸς] ματέρος codd. (μητέρος P) 158 ποῦ 'στι] ποῦ μοι V, sed γρ. ἐστὶ suprascr. *v* 162 μορφᾶς L 166 δέρᾳ] δειρᾶ L : δέρην γρ. *v* βάλοιμ' ἐν Hermann : βάλοιμι codd. 167 μέλεον ὡς ἴδω γρ. Σ 168 εὐπρεπής P 169 ἀελίου fere codd. : ἡλίου L : del. Wecklein 171 τίς Valckenaer : τίς πόθεν codd.: cf. v. 123 174 φιλαίματοι M Λ B V Σ : φιλαιμάτου L P : cf. Σ, οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν 175 Ἀελίου codd. et Σ : ἁ Λατοῦς post Badhamum Nauck 176 χρυσόκυκλον V 178 μεταφέρων] μετάφρενον fortasse legebat Eustathius Il. p. 557, 35 τὸ δὲ τραγικὸν περιφραστικώτερον ἐν τῷ κέντρα μετάφρενον ἰθύνει ἰθύνει δρόμον Wilamowitz

Πα. Καπανεύς; ἐκεῖνος προσβάσεις τεκμαίρεται
πύργων ἄνω τε καὶ κάτω τείχη μετρῶν.
Αν. ἰώ,
Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταί,
κεραυνῶν τε φῶς αἰθαλόεν, σύ τοι
μεγαλαγορίαν ὑπεράνορα κοιμίζεις·
ὅδ' ἐστίν, αἰχμαλώτιδας
ὃς δορὶ Θηβαίας Μυκηνηΐσιν
Λερναίᾳ τε δώσειν τριαίνᾳ,
Ποσειδανίοις Ἀμυμωνίοις
ὕδασι δουλείαν περιβαλών—
μήποτε μήποτε τάνδ', ὦ πότνια,
χρυσεοβόστρυχον ὦ Διὸς ἔρνος
Ἄρτεμι, δουλοσύναν τλαίην.
Πα. ὦ τέκνον, ἔσβα δῶμα καὶ κατὰ στέγας
ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
ἐς τέρψιν ἦλθες ὧν ἔχρῃζες εἰσιδεῖν.
ὄχλος γάρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,
σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεσφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

180 Πα. Καπανεύς; ἐκεῖνος Geel: Καπανεύς; Πα. ἐκεῖνος ἑπτὰ codd. et Σ: Καπανεύς; Πα. ἐκεῖνος Valckenaer: Πα. ἐκεῖνος ἑπτὰ recc. quidam 182 νέμεσις A L P 183 κεραυνῶν Nauck: ὦ κεραυνοῦ φῶς reddit Σ: κεραύνιον codd. (κεραύνειον B, sed ι supra ει scripto) 184 μεγαληγορίαν e Σ Valckenaer: μεγαλανορίαν codd. κοιμίζοις *b v*: indicativum Σ 185 αἰχμαλώτιδας A L: αἰχμαλωτίδας rell. 186 om. P: add. *p* μυκηνηΐσι M: μυκήναισιν L: μυκήναισι rell. 186–189 λείπει τὸ ἐπαγγέλλεται Σ: Μυκήναις φησὶν Wecklein: περιβαλὼν ἔφα Spiro: sermonem fractum indicavi 186–187 ὁ δορὶ . . . δώσων Matthiae 188 ποσειδανίοις V: ποσειδωνίοις A L: ποσειδωνείοις M B ἀμυμωνίοις A P: ἀμυμονίοις V: ἀμυμωνείοις M B: ἀμυμωνίοισιν L 191 χρυσεοβόστρυχον B L et F: χρυσεοβόστρυχε rell. 194 πόθου in rasura vel spatio vacuo scripsit L[2] 197 χώρεῖ (sic) V et γρ. χώρει Σ 198 φιλόψυχον P δὲ M et Stob. fl. 73. 36: γὰρ rell. et Σ 199 τ' M B: δ' rell. cum Stobaeo τῶν ψόγων Stobaeus 201 γυναικὶ V: corr. *v* ἀλλήλας B V L cum Stobaeo: ἀλλήλαις M A P et Etym. Magn. p. 420

ΧΟΡΟΣ

— *Τύριον οἶδμα λιποῦσ᾽ ἔβαν* [στρ. α΄
ἀκροθίνια Λοξίᾳ
Φοινίσσας ἀπὸ νάσου
Φοίβῳ δούλα μελάθρων,
ἵν᾽ ὑπὸ δειράσι νιφοβόλοις
Παρνασοῦ κατενάσθη,
Ἰόνιον κατὰ πόντον ἐλά-
τᾳ πλεύσασα περιρρύτῳ
ὑπὲρ ἀκαρπίστων πεδίων
Σικελίας Ζεφύρου πνοαῖς
ἱππεύσαντος, ἐν οὐρανῷ
κάλλιστον κελάδημα.

— *πόλεος ἐκπροκριθεῖσ᾽ ἐμᾶς* [ἀντ. α΄
καλλιστεύματα Λοξίᾳ
Καδμείων ἔμολον γᾶν,
κλεινῶν Ἀγηνοριδᾶν
ὁμογενεῖς ἐπὶ Λαΐου
πεμφθεῖσ᾽ ἐνθάδε πύργους.
ἴσα δ᾽ ἀγάλμασι χρυσοτεύ-
κτοις Φοίβῳ λάτρις ἐγενόμαν·
ἔτι δὲ Κασταλίας ὕδωρ
περιμένει με κόμας ἐμᾶς
δεῦσαι παρθένιον χλιδὰν
Φοιβείαισι λατρείαις.

204 *νάσου*] fortasse Carthaginem peninsulam dicit : cf. 208–211, Tro. 221, et de sacra legatione Iustin. xviii. 17 206 *δειρᾶσι* M B L 207 *κατενάσθη* amicus Kingii : *κατενάσθην* codd. et Σ 209 *περιρρύτῳ* M : *περιρρύτων ὑδάτων* L : *περιρρύτων* M² rell. et Σ 211 *Σικελίας* codd. et Σ et Hor. Carm. iv. 4 : cf. ad 204 212 *οὐρανῷ* codd. et Σ 214 *πόλεως* codd. 216 *καδμείων* A B F : *καδμείων δ᾽* M V L P : *καδμείαν* Byzantini quidam 217 *ἀρηνωριδῶν* L 218 *γρ. καὶ συγγενεῖς* M 220 *χρυσεοτεύκτοις* M A B L 221 *ἐγενόμαν*] *ἐγενόμην* L P : *γενόμην* recc. : *γενοίμαν* voluit *v* : *Φοίβῳ γένομαν λάτρις* Nauck 223 *περιμένει* M *b* : *ἐπιμένει* rell. *ἐμᾶς* M A V : *ἐμὰς* B L P 224 *χλιδᾶν* A V : corr. *v* 225 *Φοιβείοισι* Wecklein

— ἰὼ λάμπουσα πέτρα πυρὸς
δικόρυφον σέλας ὑπὲρ ἄκρων
βακχειῶν Διονύσου,
οἴνα θ' ἃ καθαμέριον
στάζεις τὸν πολύκαρπον
οἰνάνθας ἱεῖσα βότρυν,
ζάθεά τ' ἄντρα δράκοντος οὔ-
ρειαί τε σκοπιαὶ θεῶν
νιφόβολόν τ' ὄρος ἱερόν, εἱ-
λίσσων ἀθανάτας θεοῦ
χορὸς γενοίμαν ἄφοβος
παρὰ μεσόμφαλα γύαλα Φοί-
βου Δίρκαν προλιποῦσα.

— νῦν δέ μοι πρὸ τειχέων [στρ. β'
θούριος μολὼν Ἄρης
αἷμα δάιον φλέγει
τᾷδ', ὃ μὴ τύχοι, πόλει·
κοινὰ γὰρ φίλων ἄχη,
κοινὰ δ', εἴ τι πείσεται
ἑπτάπυργος ἅδε γᾶ,
Φοινίσσᾳ χώρᾳ. φεῦ φεῦ.
κοινὸν αἷμα, κοινὰ τέκεα
τᾶς κερασφόρου πέφυκεν Ἰοῦς·
ὧν μέτεστί μοι πόνων.

— ἀμφὶ δὲ πτόλιν νέφος [ἀντ. β'
ἀσπίδων πυκνὸν φλέγει

226 ἰὼ] ὦ Byzantini 227 ὑπεράκρων M 228 βακχειῶν M A B V Σ: βακχείων L P *v* 230 στάζεις τὸν codd. et Σ: περκάζεις Nauck 231 οἰνάνθους V, γρ. καὶ ας *v* 233 θεῶν] θεοῦ e Σ eruit Wilamowitz 234 νιφοβόλον M V L ἑλίσσων M P 235 ἀθανάτας etiam Σ: ἀθανάτου L 236 γένοιμ' ἂν M 237 παρ M γύαλα] γυῖα A 239 *ειχέων M: corr. M[2] 242 τύχοι] τύχηι M: τύχοι ποτὲ L 244 πείσεται F et ut videtur Σ: πείσεθ' vel πείσετ' rell. 245 ἥδε L 246 φοίνισσα χώρα A L et primitus P et γρ. Σ 247 τέκνα L: corr. L[2] 250 πτόλιν M B: πόλιν rell. Σ

σχῆμα φοινίου μάχης,
ἂν Ἄρης τάχ' εἴσεται
παισὶν Οἰδίπου φέρων
πημονὰν Ἐρινύων.
Ἄργος ὦ Πελασγικόν,
δειμαίνω τὰν σὰν ἀλκάν,
καὶ τὸ θεόθεν· οὐ γὰρ ἄδικον
εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ [παῖς]
ὃς μετέρχεται δόμους.

ΠΟΛΥΝΕΙΚΗΣ

τὰ μὲν πυλωρῶν κλῇθρά μ' εἰσεδέξατο
δι' εὐπετείας τειχέων ἔσω μολεῖν.
ὃ καὶ δέδοικα μή με δικτύων ἔσω
λαβόντες οὐκ ἐκφρῶσ' ἀναίμακτον χρόα.
ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον
κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ
τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
ὅταν δι' ἐχθρᾶς πους ἀμείβηται χθονός.
πέποιθα μέντοι μητρί, κοὐ πέποιθ' ἅμα,
ἥτις μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν.
ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
φέρ' ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος

252 σῆμα Heimsoeth e Σ M (σύμβολον μάχης) φονίου M 253 εἴσεται codd. et Σ : οἴσεται Byzantini ex Σ male intellecto 257 τὰν σὰν] γρ. τὰ σᾶν M 259 ἔνοπλος M B : ἔνοπλον A V L P γρ. *b* παῖς delevit King : ὁρμῶν παῖς Hartung deleto ὃς : lectio dubia 262 εἴσω codd. 263 μή με] μήτε M, suprascr. γρ. μή με 264 οὐκ ἐκφρῶσ' Bergk e Σ (ἡ μὲν γραφὴ οὐκ ἐκφρῶσιν, οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν . . . καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων ταύτην τὴν χρῆσιν φέρει) : οὐ μεθῶσ' M : οὐ μεθῶσιν rell. 267 τῷδε τῷ V 269 ἢ V L P : ἦ M B Σ : om. A 271 ἔχθρας V P : ἔχθρᾶς A (sic) 276 ἐς hic A V B

καὶ τάσδ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
ξέναι γυναῖκες, εἴπατ', ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;
Χο. Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
μαντεῖα σεμνὰ Λοξίου τ' ἐπ' ἐσχάρας—
ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
ἑπτάστομον πύργωμα Θηβαίας χθονός.
Πο. πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου,
ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως·
καλεῖ δὲ Πολυνείκη με Θηβαῖος λεώς.
Χο. ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο—
γονυπετεῖς ἕδρας προσπίτνω σ', ἄναξ,
τὸν οἴκοθεν νόμον σέβουσ'—
ἔβας ὦ χρόνῳ γᾶν πατρῴαν.
ἰὼ ἰώ· πότνια, μόλε πρόδομος,
ἀμπέτασον πύλας.
κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ;
τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν
θιγεῖν τ' ὠλέναισιν τέκνου;
Ιο. Φοίνισσαν βοὰν
κλύουσ', ὦ νεάνιδες, γηραιὸν

277 τὰς ἐφεστώσας (ἐφεστάσας L) δόμοις L P *v* 279 προσπελάζετε L 280 γῆ om. V : add. *v* 281 παῖδες] παῖς L 282 ἔπεμψεν V 283 πέμψειν Wecklein γόνος in rasura *l* 285 ἀργείων πόλιν M : corr. M² 286 ἀντάμειψον P 291 ξυγγένεια P 294 σέβουσα codd. 295 ἔβας L et γρ. Σ M Σ B : ἔβας ἔβας rell. ὦ] ὦ πολυνείκη L : om. A γᾶν] γαῖαν L 296 ἰὼ semel A B L πρόδρομος M P : corr. M² 297 ἀμπέτασον V : ἀναπέτασον rell. 298 τόνδε] τῶνδε V : τόνδ' ὦ Seidler 300 θίγειν τ' ὠλέναις codd. : corr. Hermann 301–303 sic M, nisi θοᾶν et γηρεῶι (αι suprascr. M²) ποδὶ τρομερὰν ἕλκω ποδός : correxi, ποδὶ et ποδὸς duas diversas explicationes esse ratus

πόδ᾽ ἕλκω, τρομερὰν βάσιν· ἰὼ τέκνον,
χρόνῳ σὸν ὄμμα μυρίαις τ᾽ ἐν ἁμέραις
προσεῖδον· ἀμφίβαλλε μα-
στὸν ὠλέναισι ματέρος,
παρηΐδων τ᾽ ὄρεγμα βο-
στρύχων τε κυανόχρωτα χαί-
τας πλόκαμον, δέραν σκιάζων ἁμάν.
ἰὼ ἰώ, μόλις φανεὶς
ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις.
τί φῶ σε; πῶς ἅπαντα
καὶ χερσὶ καὶ λόγοισι
πολυέλικτον ἁδονὰν
[ἐκεῖσε καὶ τὸ δεῦρο]
περιχορεύουσα τέρψιν παλαιᾶν λάβω
χαρμονᾶν; ἰὼ τέκος,
ἔρημον πατρῷον ἔλιπες δόμον
φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ,
ἦ ποθεινὸς φίλοις,
ἦ ποθεινὸς Θήβαις.
ὅθεν ἐμάν τε λευκόχροα κείρομαι
δακρυόεσσ᾽ ἀνεῖσα πένθει κόμαν,
ἄπεπλος φαρέων λευκῶν, ⟨ὦ⟩ τέκνον,

Accusativi *πόδα*: *φοίνισσαν ὦ νεάνιδες βοᾶν* (vel *βοὰν*) *ἔσω* | *δόμων κλύουσα τῶνδε γηραιῷ ποδὶ* | *τρομερὰν ἕλκω ποδὸς βάσιν* rell. (versubus in iambicam speciem detorsis) nisi quod *γήρα τρομερὰν* P, *γρ. γηρεῶ ποδὶ τρομερὰν* *p*: *φοίνισσαν, ὦ νεανίδες, βοὰν κλύουσα* videtur legisse Σ, quo recepto pergit *γηραιῷ ποδὶ τρομερὰν ἕλκω βάσιν* Wilamowitz iambice 304 *ἰὼ*] *ὦ* V A L 305 *τ᾽* M P: om. rell. 306 *ἀμφίβαλε* V L P 308 *κυανοχρῶτα* L P *v* 309 *ἁμάν* M B: *ἐμάν* rell. *σκιάζων δέραν ἁμάν* codd.: trai. Fritzsche 310 *ἰὼ* (semel) *μόγις* P 312 fortasse *πῶς ἀπαντῶ* (*τὰ πάντα* etiam Σ) 313 *λόγοισι*] *κόμησι* *l* ex Hec. 837 314 *ἡδονὰν* A L P 315 e v. 266 videtur venisse: habuit Σ 316 *παλαιᾶν* . . . *χαρμονᾶν* M² *b v* et primitus, puto, Σ: *παλαιὰν* . . . *χαρμονὰν* codd. et Σ 319 *ὁμαίμου λώβᾳ* om. A: habuit Σ 323 *δακρυόεσσ᾽ ἀνεῖσα πένθει* Hermann e Σ, qui *δακρυοεσσανεισαπενθη* diversis modis interpretatur (*ἀνεῖσ᾽ ἀπενθῆ*, vel *εἶς σ᾽ ἀπενθῆ*, vel *εἰς σὰ πένθη*): *δακρυόεσσαν ἱεῖσα πενθήρη* (*δακρυόεσσα* P) codd. *κόμην* V 324 *ὦ* add. Dindorf: fortasse *παλλεύκων τέκνον*, cl. Σ *διαλεύκων* et Aesch. Eum. 352

δυσόρφναια δ' ἀμφὶ τρύχη τάδε
σκότι' ἀμείβομαι.
ὁ δ' ἐν δόμοισι πρέσβυς ὀμματοστερὴς
ἀπήνας ὁμοπτέρου τᾶς ἀπο-
ζυγείσας δόμων
πόθον ἀμφιδάκρυτον ἀεὶ κατ-
έχων ἀνῇξε μὲν ξίφους
ἐπ' αὐτόχειρά τε σφαγάν,
ὑπὲρ τέραμνά τ' ἀγχόνας,
στενάζων ἀρὰς τέκνοις·
σὺν ἀλαλαῖσι δ' αἰὲν αἰαγμάτων
σκότια κρύπτεται.
σὲ δ', ὦ τέκνον, [καὶ] γάμοισι δὴ
κλύω ζυγέντα παιδοποιὸν ἁδονὰν
ξένοισιν ἐν δόμοις ἔχειν
ξένον τε κῆδος ἀμφέπειν,
ἄλαστα ματρὶ τᾷδε Λα-
ίῳ τε τῷ παλαιγενεῖ,
γάμων ἐπακτὸν ἄταν.
ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον ἐν γάμοις
[ὡς πρέπει] ματέρι μακαρίᾳ·
ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
λουτροφόρου χλιδᾶς, ἀνὰ δὲ Θηβαίαν
πόλιν ἐσιγάθη σᾶς ἔσοδοι νύμφας.

325 ἀμφιτρύχη M P 330 ἀεὶ A : αἰεὶ fere rell. 331 μὰν ξίφος P 332 σφαγήν L: φάσγαν P 333 τέρεμνα V A 335 ἀλαλαῖσι M B *l* P : ἀλαλαῖς Eustath. Il. p. 494 : ἀλαλαγαῖσι V A L *b p* αἰὲν om. A V et rasura facta *l* 336 σκότια] σκοτίᾳ M B V : σκοτία αἰὲν L 337 σὲ] σὺ P καὶ del. Hermann 338 ἡδονὰν A P 340 ξένων A 341 μητρὶ τάδε codd. 342 τε τῷ] τῷ P 343 γάμον M B : corr. *b* ἐπακτὸν M B : ἐπακτῶν *b* : ἐπακτὰν rell. 345 νόμιμον codd. cum Σ Aesch. Sept. 99, Σ Apollon. iv. 808 : γόνιμον Plut. de exilio p. 606 F ἐγγάμοις M 346 ὡς πρέπει del. Nauck ματέρι] μρὶ fere codd. 348 χλιδῆς L 349 ἐσιγάσθη L : γρ. ἐσιγάθησαν Σ ἔσοδοι Kirchhoff : εἴσοδοι M V : εἴσοδος A B P *v* : εἶδος L : ἐσόδῳ Powell

ὄλοιτο, τάδ᾽ εἴτε σίδαρος
εἴτ᾽ ἔρις εἴτε πατὴρ ὁ σὸς αἴτιος,
εἴτε τὸ δαιμόνιον κατεκώμασε
δώμασιν Οἰδιπόδα·
πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ᾽ ἄχη.
Χο. δεινὸν γυναιξὶν αἱ δι᾽ ὠδίνων γοναί,
καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
Πο. μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην
ἐχθροὺς ἐς ἄνδρας· ἀλλ᾽ ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ᾽ ἄλλως λέγει,
λόγοισι χαίρει τὸν δὲ νοῦν ἐκεῖσ᾽ ἔχει.
οὕτω δ᾽ ἐτάρβουν ἐς φόβον τ᾽ ἀφικόμην,
μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
ὥστε ξιφήρη χεῖρ᾽ ἔχων δι᾽ ἄστεως
κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ᾽ ὠφελεῖ,
σπονδαί τε καὶ σὴ πίστις, ἥ μ᾽ ἐσήγαγε
τείχη πατρῷα· πολύδακρυς δ᾽ ἀφικόμην,
χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν
γυμνάσιά θ᾽ οἷσιν ἐνετράφην Δίρκης θ᾽ ὕδωρ·
ὧν οὐ δικαίως ἀπελαθεὶς ξένην πόλιν
ναίω, δι᾽ ὄσσων νᾶμ᾽ ἔχων δακρύρροον.
ἀλλ᾽ ἐκ γὰρ ἄλγους ἄλγος αὖ σὲ δέρκομαι
[κάρα ξυρῆκες καὶ πέπλους μελαγχίμους]
ἔχουσαν, οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν.
ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων
[καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς].
τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;

350 sq. εἴτ᾽ ἔρις εἴτε σίδαρος P 353 Οἰδιπόδαο P 359 ὃς δ᾽] ** δ᾽ primitus M ut videtur : ὅδ᾽ L : corr. *l* 361 δ᾽ ἐτάρβουν Porson: δὲ τάρβους codd. et Σ M Σ B : δὲ τάρβος Triclinius 363 ἄστεος codd. 368 ἐτράφην L 370 νᾶμ᾽ Musgrave : αἷμ᾽ L : ὄμμ᾽ rell. δακρύρροον Blaydes : δακρυρροοῦν codd. 372 del. Kirchhoff : cf. Alc. 427 ξυρῆκες] ξυρηκὲς V L P et Σ 375 ἔν τισιν οὐ φέρεται Σ : 375–378 del. Usener 376 δώμασι V A 377 κασίγνητοι V

ἤ που στένουσι τλήμονες φυγὰς ἐμάς;
Ιο. κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος·
οὕτω γὰρ ἦρξατ', ἄνομα μὲν τεκεῖν ἐμέ,
κακῶς δὲ γῆμαι πατέρα σὸν φῦναί τε σέ.
ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
δέδοιχ', ἃ χρῄζω· διὰ πόθου δ' ἐλήλυθα.
Πο. ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς·
ἃ γὰρ σὺ βούλῃ, ταὔτ' ἐμοί, μῆτερ, φίλα.
Ιο. καὶ δή σ' ἐρωτῶ πρῶτον ὧν χρῄζω τυχεῖν,
τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;
Πο. μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.
Ιο. τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
Πο. ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
Ιο. δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.
Πο. τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
Ιο. καὶ τοῦτο λυπρόν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
Πο. ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
Ιο. αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
Πο. καλοῖς βλέπουσαί γ' ὄμμασιν, μέλλουσι δέ.
Ιο. οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;
Πο. ἔχουσιν 'Αφροδίτην τιν' ἡδεῖαν κακῶν.
Ιο. πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
Πο. ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.
Ιο. φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;

378 φυγᾶς ἐμᾶς A V L : corr. *v l* 380 οὕτως M et M[2] : οὗτος M[1] 382 ἀτὰρ τί τάδε; δεῖ γὰρ φέρειν τὰ τοῦ θεοῦ L P 383 ὅπως codd. et Σ 384 πόνου B : corr. B[2] 386 ταῦτ' fere codd. (τ' αὐτ' A) 387 τὸ πρῶτον L P τυχεῖν] μαθεῖν F 388 ἢ M P 390 τίς δ' Stob. fl. 39. 17 δυσχερές] δυστυχές Plut. de exil. p. 605 E et γρ. M 393 τὰς . . . ἀμαθίας] τὴν . . . ἀμαθίαν Plutarchus κρατούντων] γρ. πολιτῶν Σ 395 ἀλλ' ἐς] ὅπου Plut. Demetr. 14 et Lucian. Apol. 3 fortasse recte παρὰ] περὶ L 396 βόσκουσιν ὡς λόγος ἔχει P 397 βλέπουσαί Σ : βλέπουσί codd. et Σ alter 399 κακῶν codd. et Σ : θεόν Musurus : νόσον Musgrave: ἡδεῖαν ἀλλὰ βλαβερὰν reddit Σ alter 401 ἄν] αὖ Valckenaer

Πο. εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἤν τι δυστυχῇς.
Ιο. οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγαν;
Πο. κακὸν τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.
Ιο. ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
Πο. οὐδ' ὀνομάσαι δύναι' ἂν ὡς ἐστὶν φίλον.
Ιο. πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;
Πο. ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
Ιο. ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
Πο. κάπρῳ λέοντί θ' ἁρμόσαι παίδων γάμους.
Ιο. καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
Πο. οὐκ οἶδ'· ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.
Ιο. σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ' ἔσχες λέχος;
Πο. νὺξ ἦν, Ἀδράστου δ' ἦλθον ἐς παραστάδας.
Ιο. κοίτας ματεύων, ᾗ φυγὰς πλανώμενος;
Πο. ἦν ταῦτα· κᾆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
Ιο. τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
Πο. Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
Ιο. τί θηρσὶν ὑμᾶς δῆτ' Ἄδραστος ᾔκασεν;
Πο. στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
Ιο. ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;
Πο. κἄδωκέ γ' ἡμῖν δύο δυοῖν νεάνιδας.
Ιο. ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις ἢ δυστυχεῖς;
Πο. οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ' ἡμέρας.
Ιο. πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
Πο. δισσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τόδε,

403 ἤν τι δυστυχῇς Elmsley : ἤν τις δυστυχῇ codd. et Σ, sed ἤν et τυχῇ in rasuris *l*   404 ἡὑγένεια L P : ηὑγένεια A : εὐγένεια rell. μέγαν Wecklein : μέγα codd.   405 τὸ γένος δ' L   407 δύναι' Markland (et δύναιτό τις reddit Σ M) : δύναιμ' codd. et Stob. fl. 39. 3, sed post ι aliquid erasum in A   408 δ' om. B   ante 409 traicit 413–414 Jacobs : congruunt cum codd. Σ   410 ποῖόν τι τοῦτ' B   413 μ'] δ' L et in ras. V   416 μαστεύων M A B V : corr. B[2] ᾗ Musurus : ἢ codd.   φυγὰς] φοιβὰς ut videtur L : corr. *l*   417 κᾆτ' ἐπῆλθεν Nauck   419 οἰνέ** L : corr. *l*   420 θηρσὶν A : θηρσὶ δ' rell., sed in rasura L[2]   ᾔκασε γρ. B : εἴκασε codd.   422 ταλαιοῦ M[2]   423 κἄδωκέ γ' Kirchhoff : κἄδωκεν codd.   δυοῖν δύο A   426 ἕπεσθαι V L : γρ. σπέσθαι *v*

[Τυδεῖ τε κἀμοί· σύγγαμος γάρ ἐστ' ἐμός·]
ἄμφω κατάξειν ἐς πάτραν, πρόσθεν δ' ἐμέ.
πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ', ἐμοὶ
διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
πόλιν. θεοὺς δ' ἐπώμοσ' ὡς ἀκουσίως
τοῖς φιλτάτοις ἑκοῦσιν ἠράμην δόρυ.
ἀλλ' ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν,
μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους
παῦσαι πόνων με καὶ σὲ καὶ πᾶσαν πόλιν.
πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ·
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
ἁγὼ μεθήκω δεῦρο μυρίαν ἄγων
λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

Χο. καὶ μὴν Ἐτεοκλῆς ἐς διαλλαγὰς ὅδε
χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
τοιούσδε μύθους οἷς διαλλάξεις τέκνα.

ΕΤΕΟΚΛΗΣ

μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς
ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δέ τις λόγου·
ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
τάσσων ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
τόνδ' εἰσεδέξω τειχέων πείσασά με.

Ιο. ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει,
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύουσιν σοφόν.

428 del. Jortin : περισσὸν dicit Σ 430 δαναοὶ et ἄκρων P 431 ἀναγκαῖα M : corr. M² 433 ὡς] οὓς P 434 ἑκοῦσιν γρ. Σ : τοκεῦσιν codd. et Σ 438 οὖν om. V P 439 ἀνθρώποισιν εὑρίσκει φίλους Plut. de am. prol. p. 497 B, cf. Soph. fr. 85 : consentiunt cum codd. Stob. fl. 91. 3. Strabo p. 415 441 ἄγων] ἄγω A 444 χωρεῖ] ἥκει P et γρ. M 447 δὴ τίς A 448 καὶ] κεὶς Kirchhoff 449 πόλιν om. L 452 ἐπέσχες suprascripto ι supra έ M οὔτι P 453 ἀνύτουσιν Porson

σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς·
οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταὐτὸν ὄμμασιν βλέπων
λέξεις τ' ἄμεινον τοῦδέ τ' ἐνδέξῃ λόγους.
παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ
ἐς ἓν συνελθὼν ὄμματ' ὄμμασιν διδῷ,
ἐφ' οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.
  λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες τέκνον·
σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
ἄδικα πεπονθώς, ὡς σὺ φῄς· κριτὴς δέ τις
θεῶν γένοιτο καὶ διαλλακτὴς κακῶν.

Πο. ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
  ἐγὼ δὲ πατρὸς δωμάτων προυσκεψάμην
τοὐμόν τε καὶ τοῦδ', ἐκφυγεῖν χρῄζων ἀρὰς
ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονός,
δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν
και μὴ δι' ἔχθρας τῷδε καὶ φθόνου μολὼν
κακόν τι δρᾶσαι καὶ παθεῖν, ἃ γίγνεται.
ὃ δ' αἰνέσας ταῦθ' ὁρκίους τε δοὺς θεούς,

456 Γοργοῦς Valckenaer δ' om. A B, fortasse recte 457 γρ. τρέπε M B 458 ὄμμασιν B : ὄμμασι fere rell. 459 λόγους] λόγοις V : λόγον P 462 συνελθόντ' M : corr. M² 464 μηδαμῶς L P : sed ενὸς suprascr. *l* 468 κακῶν] τέκνων F. Polle 470 δεῖ τἄνδιχ' A B L P Σ : δεῖτ' ἄνδιχ' γρ. Σ, et δεῖ τ' ἄνδιχ' M V 472 αὐτῷ M V L P 473 προύσκεψάμην participio reddunt Σ (quasi προυσκεμμένος) 473–480 alii aliis suspecti 479 φθόνου γρ. M : φόνου rell. (φόνων A) 481 τάδ' P

ἔδρασεν οὐδὲν ὧν ὑπέσχετ', ἀλλ' ἔχει
τυραννίδ' αὐτὸς καὶ δόμων ἐμῶν μέρος.
καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν
στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός,
οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν
καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις ⟨αὖ⟩ χρόνον,
καὶ μήτε πορθεῖν πατρίδα μήτε προσφέρειν
πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις,
ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
ταῦτ' αὔθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς
λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.
Χο. ἐμοὶ μέν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα
τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν.
Ετ. εἰ πᾶσι ταὐτὸν καλὸν ἔφυ σοφόν θ' ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις·
νῦν δ' οὔθ' ὅμοιον οὐδὲν οὔτ' ἴσον βροτοῖς,
πλὴν ὀνόμασαι· τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
ἐγὼ γὰρ οὐδέν, μῆτερ, ἀποκρύψας ἐρῶ·
ἄστρων ἂν ἔλθοιμ' ἡλίου πρὸς ἀντολὰς
καὶ γῆς ἔνερθεν, δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν Τυραννίδα.

483 ἐμὸν Byzantini et fortasse Σ V qui adnotat γρ. καὶ δόμων ἐμῶν μέρος 487 αὖ add. Triclinius 488 alterum μήτε L P : μήτε τι M² A B V *l* : μηκέτι M 489 πρὸς ἀμβάσεις A B : προσαμβάσεις M : προσβάσεις V, sed γρ. ἀναβάσεις suprascr. *v* 490 ἃ] οὐ M² 492 ὡς] καὶ M V : corr. M² πράττων P 494 ταῦτ' οὖν θ' ἕκαστα V 496 καὶ] ἐν L : corr. *l* 497 καὶ om. L 499 ταὐτὸ codd. 500 ἀναμφίλεκτος uno vocabulo M V (ἀναφίλεκτος V) ἂν om. P 501 νῦν θ' ὅμοιον A 502 ὀνόμασιν Porson 503 ἐγὼ] οὐδὲ A 504 ἄστρων ἀνέλθοιμ' M B V ἡλίου codd. Σ et Plut. frat. am. p. 481 A : αἰθέρος Stob. fl. 47. 3 ἀντολὰς B L : ἀνατολὰς rell. 506 τὴν] τὴν τῶν V : τῶν L ὥστ'] ὥτ' M, corr. M² : ὡς A

τοῦτ' οὖν τὸ χρηστόν, μῆτερ, οὐχὶ βούλομαι
ἄλλῳ παρεῖναι μᾶλλον ἢ σῴζειν ἐμοί·
ἀνανδρία γάρ, τὸ πλέον ὅστις ἀπολέσας
τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ' αἰσχύνομαι,
ἐλθόντα σὺν ὅπλοις τόνδε καὶ πορθοῦντα γῆν
τυχεῖν ἃ χρῄζει· ταῖς γὰρ ἂν Θήβαις τόδε
γένοιτ' ὄνειδος, εἰ Μυκηναίου δορὸς
φόβῳ παρείην σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγάς,
μῆτερ, ποιεῖσθαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
ἀλλ', εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
ἔξεστ'· ἐκεῖνο δ' οὐχ ἑκὼν μεθήσομαι.
ἄρχειν παρόν μοι, τῷδε δουλεύσω ποτέ;
πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα,
ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων,
ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

Χο. οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς·
οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.

Ιο. ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
'Ετεόκλεες, πρόσεστιν· ἀλλ' ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
τί τῆς κακίστης δαιμόνων ἐφίεσαι

507 τὸ om. V 509 ἀνανδρίᾳ V τὸ πλέον ὅστις] ὅστις τὸ πλέον L: τὸ πλεῖστον ὅστις A ἀπώλεσας M L 512 ταῖς] καὶ Hermann 516 ἐξαιρεῖ Σ et V cum Plut. Pyrrh. 24, Themistio, or. ii. p. 44, xvi. p. 253, Iuliano or. ii. p. 73 : ἐξαίρεῖ B : ἐξαίρει rell. : ἐξαρκεῖ Geel 517 ὃ] ἃ Themistius 519 ἐκείνου Valckenaer 520 δουλεῦσαι A (δουλεύσω etiam Σ) versum del. Kirchhoff 521 τοῦτ' V : corr. v δὲ om. A φάσγανον L P 522 ζεύγνυσθ' ἵππους M A πίμπλασθ' A 523 μεθήσω P 525 τὰ δ' ἄλλ' A 527 τοῦτ'] τόδ' A et Ioann. Damasc. post Stob. eclog. p. 717, 29 Gaisford πικρόν] βαρύ Io. Damasc. 529 ἡμπειρία] γρ. καὶ πρὸς δοτικὴν . . . τῇ ἐμπειρίᾳ Σ 530 λέξαι] δεῖξαι Stob. fl. 115. 1

Φιλοτιμίας, παῖ; μὴ σύ γ᾽· ἄδικος ἡ θεός·
πολλοὺς δ᾽ ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
ἐσῆλθε κἀξῆλθ᾽ ἐπ᾽ ὀλέθρῳ τῶν χρωμένων·
ἐφ᾽ ᾗ σὺ μαίνῃ. κεῖνο κάλλιον, τέκνον,
Ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
συνδεῖ· τὸ γὰρ ἴσον μόνιμον ἀνθρώποις ἔφυ,
τῷ πλέονι δ᾽ αἰεὶ πολέμιον καθίσταται
τοὔλασσον ἐχθρᾶς θ᾽ ἡμέρας κατάρχεται.
καὶ γὰρ μέτρ᾽ ἀνθρώποισι καὶ μέρη σταθμῶν
Ἰσότης ἔταξε κἀριθμὸν διώρισε,
νυκτός τ᾽ ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
κοὐδέτερον αὐτῶν φθόνον ἔχει νικώμενον.
εἶθ᾽ ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς
σὺ δ᾽ οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον
καὶ τῷδε νεῖμαι; κᾆτα ποῦ ᾽στιν ἡ δίκη;
  τί τὴν τυραννίδ᾽, ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ καὶ μέγ᾽ ἥγησαι τόδε;
περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
ἢ πολλὰ μοχθεῖν πόλλ᾽ ἔχων ἐν δώμασι
βούλῃ; τί δ᾽ ἔστι τὸ πλέον; ὄνομ᾽ ἔχει μόνον·

532–534 clausulae vv. -ός -ας -ων iam non exstant in V 532 φιλοτιμίας codd. et Σ: πλεονεξίας Dio Chrys. 17, p. 249 B 535 τοῦτο κάλλιστον βροτοῖς Dio Chrys. 538 μόνιμον ut iudicat Valckenaer, Plut. frat. am. p. 484 B, cl. p. 481 A: cf. Σ qui ἀσφαλὲς καὶ βέβαιον reddit: νόμιμον codd. 539 πλείονι L P 540 θ᾽] δ᾽ P κατέρχεται A 541 γὰρ om. L 543 ἀφεγγὴς A 545 κοὐ δι᾽ ἕτερον V αὐτοῖν P ἔχει φθόνον A 546 βροτοῖς codd. et fortasse Strattis comicus fr. 46 Ko. qui πείθεται τοῖς παιδίοις in hunc locum ludit: τῷ ἴσῳ δουλεύουσι Σ, sed nihil aliud habuit me iudice (μέτροις Weil): v. fortasse aliunde petitus 547 sq. ἐὰν γράφηται ἔχειν, καὶ ἀπονέμειν· ἐὰν δὲ ἔχων, καὶ ἀπονέμων prave Σ 548 τῷδε νεῖμαι Salmasius: τῷδ᾽ ἀπονεῖμαι M B V L (ἀπονέμειν P: ἀπονέμων A): versum del. Schoene, omittunt qui 546–547 citant Eusebius praep. ev. vi. p. 259 et inde Theodoretus iv. p. 804 552 μοχθῶν P 553 ἔστι] ἐστὶ M P ἔχειν primitus M

ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,
τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρῄζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
[ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.]
ἄγ', ἤν σ' ἔρωμαι δύο λόγω προθεῖσ' ἅμα,
πότερα τυραννεῖν ἢ πόλιν σῷσαι θέλεις,
ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε;
['Αργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,]
ὄψῃ δαμασθὲν ἄστυ Θηβαῖον τόδε,
ὄψῃ δὲ πολλὰς αἰχμαλωτίδας κόρας
βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
ὀδυνηρὸς ἆρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ.
σοὶ μὲν τάδ' αὐδῶ. σοὶ δέ, Πολύνεικες, λέγω·
ἀμαθεῖς Ἄδραστος χάριτας ἔς σ' ἀνήψατο,
ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ', ἢν ἕλῃς γῆν τήνδ'—ὃ μὴ τύχοι ποτέ—
πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσεις Διί;
πῶς δ' αὖ κατάρξῃ θυμάτων, ἑλὼν πάτραν,
καὶ σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς

554 γε om. L P 555 **ήμαθ' L (χρ in ras. *l*) : χρήμαθ' M 556 δ' om. L 557 αὔτ' M B V L Σ : αὖτ' A P B² *v* 558 delet Valckenaer; habuit Plut. cons. ad Apoll. p. 104 A et, cum Electrae v. 943 confusum, Sext. Empir. Math. p. 557 559 λόγους A sed ω suprascr. προσθεῖσ' A V L 560 σῶσαι A B V L P Σ : σώσειν M : σῴζειν Kirchhoff 561 ἐὰν δὲ νικήσῃ σε οὗτος, τί; λείπει δὲ τὸ τί Σ M, qui fortasse punctum in fine huius v. posuit sequentem omisit 562 ἀργεία τ' ἔγχει M δόρυ τὸ] τόδε δόρυ L 563 Θηβαῖον M L suprascr. B² suprascr. P : θηβαίων A B V P 565 πορθουμένας] γρ. λεληισμένας Σ M B 566 ὀδυνηρὸς] γρ. καὶ δαπανηρός Σ: idem voluit M qui γρ. καὶ πονηρός habet ἆρ' L : ἄρ' rell. 567 θήβασι M : v. del. Dindorf 569 ἀνήψατο] ἀμείψατο A 571 γρ. μὴ τύχῃ M 572 τροπαῖα M P *v* : τρόπαια rell. ἄρα στήσεις Porson Διί Kirchhoff : δὴ M V : δορός A B L P γρ. *v* 573 κατάρξεις et ἑλὼν πόλιν A P 574 καὶ] κὰς Valckenaer 575 πυρσώσας M V θεοῖς om. L adscripto in margine λείπει : add. *l*

ἀσπίδας ἔθηκε; μήποτ', ὦ τέκνον, κλέος
τοιόνδε σοι γένοιθ' ὑφ' Ἑλλήνων λαβεῖν.
ἢν δ' αὖ κρατηθῇς καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
πῶς Ἄργος ἥξεις μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὲ δή τις· Ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθείς, διὰ μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
κείνων στέρεσθαι τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
   μέθετον τὸ λίαν, μέθετον· ἀμαθία δυοῖν,
ἐς ταὔθ' ὅταν μόλητον, ἔχθιστον κακόν.

Χο. ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν
καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

Ετ. μῆτερ, οὐ λόγων ἔθ' ἁγών, ἀλλ' ἀναλοῦται χρόνος
οὑν μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία·
οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως ἢ 'πὶ τοῖς εἰρημένοις,
ὥστ' ἐμὲ σκήπτρων κρατοῦντα τῆσδ' ἄνακτ' εἶναι χθονός·
τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ' ἔα.
καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.

Πο. πρὸς τίνος; τίς ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
φόνιον ἐμβαλὼν τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;

Ετ. ἐγγύς, οὐ πρόσω βέβηκεν· ἐς χέρας λεύσσεις ἐμάς;

Πο. εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

Ετ. κᾆτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;

577 σοι om. L γένοιθ' P : γένοιτ' ἂν rell. 578 ὑπερδράμῃ P et ut videtur Σ (οἷον, ὑπερτέρα γένηται) : ὑπεκδράμῃ rell. (ὑπεκδράμοι primitus V) 580 δή om. M 581 προθείς M² 582 ἀπολλόμεσθα V κακὼ] κακὰ V *l*: corr. *v* 583 τῶνδ' ἐν' V : corr. *v* 584 τὸ om. A ἀμαθία M V L P : ἀμαθίαι A B M² *v* : utrumque Σ 585 ταῦθ' codd. αἴσχιστον A 587 δότε] τόδε A 588 ἔθ' ἁγών Canter : ἔστ' ἀγών codd. ἀναλοῦται Valckenaer : ἀνάλωται codd. 589 οὑν] οὖν A : ὀὺμ M B : οὐμ V 590 ξυμβαίημεν V: ξυμβῶμεν A P 591 ὥστ' ἐμὲ M : ὥστε με rell. σκῆπτρα A 592 μ' ἔα om. P 593 ἢ] ἦ V κατθανεῖν P 594 τίς δ' M et primitus L : τίς rell. ὧδ'] ὅδ' V P : de L non liquet 596 οὐ *v* : οὖ rell. (etiam A) βέβηκεν Heath : βέβηκας codd. et Σ χέρας] χεῖρας codd. λεύσεις M V L P 597 δεινὸν M B : corr. M² *b* 598 σὺν πολλοῖσιν] γρ. σὺν ὅπλοις *v*

Πο. ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης.
Ετ. κομπὸς εἶ σπονδαῖς πεποιθώς, αἵ σε σῴζουσιν θανεῖν.
Πο. καὶ σέ· δεύτερον δ' ἀπαιτῶ σκῆπτρα καὶ μέρη χθονός.
Ετ. οὐκ ἀπαιτούμεσθ'· ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.
Πο. τοῦ μέρους ἔχων τὸ πλεῖον;
                    Ετ. φήμ'· ἀπαλλάσσου δὲ γῆς.
Πο. ὦ θεῶν βωμοὶ πατρῴων . . .
                    Ετ. οὓς σὺ πορθήσων πάρει.
Πο. κλύετέ μου . . .
          Ετ. τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;
Πο. καὶ θεῶν τῶν λευκοπώλων δώματα . . .
                              Ετ. οἳ στυγοῦσί σε.
Πο. ἐξελαυνόμεσθα πατρίδος . . .
                    Ετ. καὶ γὰρ ἦλθες ἐξελῶν.
Πο. ἀδικίᾳ γ', ὦ θεοί.
               Ετ. Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.
Πο. ἀνόσιος πέφυκας . . .
               Ετ. ἀλλ' οὐ πατρίδος, ὡς σύ, πολέμιος.
Πο. ὅς μ' ἄμοιρον ἐξελαύνεις.
                    Ετ. καὶ κατακτενῶ γε πρός.
Πο. ὦ πάτερ, κλύεις ἃ πάσχω;
                    Ετ. καὶ γὰρ οἷα δρᾷς κλύει.
Πο. καὶ σύ, μῆτερ;
               Ετ. ἀθέμιτόν σοι μητρὸς ὀνομάζειν κάρα.
Πο. ὦ πόλις.
          Ετ. μολὼν ἐς Ἄργος ἀνακάλει Λέρνης ὕδωρ.
Πο. εἶμι, μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ.
                              Ετ. ἔξιθι χθονός.

600 κομπὸς M B P *v* ut videtur : κόμπος A V L : γρ. κομψὸς Σ   πεπονθὼς primitus M   601 δ' Wilamowitz : γ' codd.   μέρος Wecklein   603 δὲ τῆσδε γῆς L   604 ὦ θεοὶ πατρῷοι A   πατρῴων Byzantini : πατρῷοι codd.   605 ἂν] αὖ V   606 δωμάτων V   607 ἐξελαύνομαι P   πατρίδος ἐξελαυνόμεσθα Blomfield   ἐξελῶν Σ: ἐξελών fere codd.   608 γ' Byzantini: γε σῇ codd.   610 κατακτανῶ B L P   γε] σε A   612 ἀθέμιτόν Bothe : οὐ θεμιτόν codd. Σ

Πο. ἔξιμεν· πατέρα δέ μοι δὸς εἰσιδεῖν.
Ετ. οὐκ ἂν τύχοις.
Πο. ἀλλὰ παρθένους ἀδελφάς.
Ετ. οὐδὲ τάσδ' ὄψῃ ποτέ.
Πο. ὦ κασίγνηται.
Ετ. τί ταύτας ἀνακαλεῖς ἔχθιστος ὤν;
Πο. μῆτερ, ἀλλά μοι σὺ χαῖρε.
Ιο. χαρτὰ γοῦν πάσχω, τέκνον.
Πο. οὐκέτ' εἰμὶ παῖς σός.
Ιο. ἐς πόλλ' ἀθλία πέφυκ' ἐγώ.
Πο. ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.
Ετ. καὶ γὰρ ἀνθυβρίζομαι.
Πο. ποῦ ποτε στήσῃ πρὸ πύργων;
Ετ. ὡς τί μ' ἱστορεῖς τόδε;
Πο. ἀντιτάξομαι κτενῶν σε.
Ετ. κἀμὲ τοῦδ' ἔρως ἔχει.
Ιο. ὦ τάλαιν' ἐγώ· τί δράσετ', ὦ τέκνα;
Πο. αὐτὸ σημανεῖ.
Ιο. πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς;
Ετ. ἐρρέτω πρόπας δόμος.
Πο. ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι,
ὡς ἄτιμος οἰκτρὰ πάσχων ἐξελαύνομαι χθονός,
δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς·
κἄν τί σοι, πόλις, γένηται, μὴ ἐμέ, τόνδε δ' αἰτιῶ·

615 ἔξιμεν Musgrave: ἔξειμι codd. εἰσιδεῖν] ἰδεῖν B τύχηις ut videtur M: τύχης P 616 παρθένους γ' Valckenaer 618 ἀλλά μοι σὺ χαῖρε μῆτερ V 619 εἰς πόλλ' Byzantini: εἰς πολλά γ' (πολά γ' M) codd.: ἀντὶ τοῦ κατὰ πολλὰ ἀθλία γέγονα Σ M 620 εἰς om. L ὑμᾶς M A: corr. A^2 621 πρὸ] πορ V: om. L: corr. *v l* 622 κτενῶ σε M: κτανών τε L (κτενών σε *l*) 623 αὐτὸς primitus V 624 Ετ. notam om. M: Πο. A B V L P M^2, quae manus etiam ἐτεὸ post δόμος addidit 625 Πο. M^2 *v*: om. M A V L: Ετ. B sed delevit ante 626 Πο. praef. *v* γαῖαν] γρ. πάτραν Σ M Σ B 628 Οἰδίπου om. P γεγώς A V L P B^2: μολών M B γρ. *v* 629 τόνδε δ' A B: τόνδ' rell.

οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
καὶ σύ, Φοῖβ' ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα, χαίρετε,
ἥλικές θ' οὑμοί, θεῶν τε δεξίμηλ' ἀγάλματα.
οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε·
ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς
τόνδ' ἀποκτείνας κρατήσειν τῆσδε Θηβαίας χθονός.

Ετ. ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκη πατὴρ
ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

Χο. Κάδμος ἔμολε τάνδε γᾶν [στρ.
Τύριος, ᾧ τετρασκελὴς
μόσχος ἀδάματον πέσημα
δίκε τελεσφόρον διδοῦσα
χρησμόν, οὗ κατοικίσαι
πεδία νιν τὸ θέσφατον
πυροφόρα δόμων ἔχρη,
καλλιπόταμος ὕδατος ἵνα τε
νοτὶς ἐπέρχεται γύας,
Δίρκας χλοηφόρους
καὶ βαθυσπόρους γύας·
Βρόμιον ἔνθα τέκετο μά-
τηρ Διὸς γάμοισι,
κισσὸς ὃν περιστεφὴς
ἕλικος εὐθὺς ἔτι βρέφος
χλοηφόροισιν ἔρνεσιν

632 τε om. P 633 αὖθις om. P 634 αἷς] αἳ primitus M
636 ἔξιθ' ἐκ Byzantini : ἔξιθι codd. πολυνείκην codd. (πολυνείκης primitus M) 637 ἐπώνυμον] φερώνυμον Kirchhoff, cl. Σ B : ὄνομα νεικέων φερώνυμον, τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν
639 sq. τετρασκελὴς . . . ἀδάμαστον (sic) codd. et Σ : τετρασκελὲς . . . ἀδάματος Bergk 642 κατοικίσαι γρ. Σ et ἀντὶ κτῆσαι (voluit κτίσαι) suprascr. A : κατῴκισε codd. 643 νιν] μιν Musgrave : μὲν codd. et Σ 644 πυροφόρα δόμων codd. et Σ : πυροφόρ' Ἀόνων Valckenaer ἔχρη Hermann : ἔχρησε codd. et Σ 646 γυίας M B V : γαίας L P : γᾶς A : lectio dubia 648 βαθυσπόρου L (-ους Σ) γυίας codd.
648–650 : vid. ad 667–669 649 τέτοκε L μήτηρ suprascr. M 652 ἕλικος Hermann : ἑλικτὸς vel ἐλικτὸς codd. ἔτι βρέφος εὐθὺς A (et P teste Weckleinio) 653 χλοηφόροις A

κατασκίοισιν ὀλβίσας ἐνώτισεν,
Βάκχιον χόρευμα παρθένοισι Θηβαΐαισι
καὶ γυναιξὶν εὐίοις.

ἔνθα φόνιος ἦν δράκων [ἀντ.
Ἄρεος ὠμόφρων φύλαξ
νάματ᾽ ἔνυδρα καὶ ῥέεθρα
χλοερὰ δεργμάτων κόραισι
πολυπλάνοις ἐπισκοπῶν·
ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος ὄλεσε μαρμάρῳ·
κρᾶτα φόνιον ὀλεσίθηρος
ὠλένας δικὼν βολαῖς,
δίας ἀμάτορος ⟨δ᾽⟩ 666
ἐς βαθυσπόρους γύας 669
γαπετεῖς δικὼν ὀδόν- 668
τας [Παλλάδος] φραδαῖσιν· 667
ἔνθεν ἐξανῆκε γᾶ
πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
ὅρων χθονός· σιδαρόφρων
δέ νιν φόνος πάλιν ξυνῆψε γᾷ φίλᾳ.
αἵματος δ᾽ ἔδευσε γαῖαν, ἅ νιν εὐηλίοισι
δεῖξεν αἰθέρος πνοαῖς.

καὶ σέ, τὸν προμάτορος
Ἰοῦς ποτ᾽ ἔκγονον

655 Βάκχιον Valckenaer: βακχεῖον codd. Θηβαΐαισι] θηβαίοισι A: θηβαίαισι rell. 656 εὐίαις Byzantini 657 φοίνιος M² ἦν om. A 658 ἄρεως M B ὠμόφρον L: ὁμόφρων primitus V 663 ὄλεσε Hermann: ὤλεσεν vel ὤλεσε codd. 665 ὠλένας P: ὠλένης L: genetivum Σ: ὠλέναις M A B V 666 δ᾽ post Brunckium addidi (τ᾽ Rauchenstein) ἀμήτορος L 667–669 vv. transpositis responsionem restituere tentavi: lectio dubia 667 Παλλάδος glossema: θεᾶς Wecklein: fortasse κόρας φραδαῖσιν M B L: φραδαῖσι rell. 669 γυίας codd. 670 ἔνθεν δ᾽ M A 672 ὅρων] ορῶν M: ὀρῶν υ 673 φόνος φίλα ξυνῆψε γᾶ P, omisso πάλιν γᾷ φίλᾳ Triclinius: φιλᾳ γᾷ codd. et lemma Σ 674 δ᾽] τ᾽ P 675 πνοιαῖς P 677 ἔγγονον Pb ποτ᾽ Ἰοῦς Ἔπαφον ὦ Hartung: textus certe laborat

Ἔπαφον, ὦ Διὸς γένεθλον,
[ἐκάλεσ'] ἐκάλεσα βαρβάρῳ βοᾷ,
ἰώ, βαρβάροις λιταῖς·
βᾶθι βᾶθι τάνδε γᾶν·
—σοί νιν ἔκγονοι κτίσαν
καὶ διώνυμοι θεαί,
Περσέφασσα καὶ φίλα
Δαμάτηρ θεά,
πάντων ἄνασσα, πάντων δὲ Γᾶ τροφός,
κτήσαντο—πέμπε πυρφόρους
θεάς, ἄμυνε τᾷδε γᾷ·
πάντα δ' εὐπετῆ θεοῖς.

Ετ. χώρει σὺ καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
πρὶν ἐς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
καίτοι ποδῶν σῶν μόχθον ἐκλύει παρών·
ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.

ΚΡΕΩΝ

ἦ πόλλ' ἐπῆλθον εἰσιδεῖν χρῄζων σ', ἄναξ
Ἐτεόκλεες, πέριξ δὲ Καδμείων πύλας
φυλακάς τ' ἐπῆλθον σὸν δέμας θηρώμενος.

678 γενέθλιον L : corr. *l* 679 seq. alterum ἐκάλεσα et βαρβάροις λιταῖς del. Wilamowitz 680 λιταῖς] γρ. βοαῖς M 681 τᾶνδε M : τήνδε primitus A 682 γρ. σῷ νιν ἐκγόνῳ Σ: σοί νιν ἔκγονος errore, ut videtur, Σ M 683 καὶ Hartung : ᾆι M B V : ᾇ A P V² et ut videtur L : ᾧ *l* et γρ. *v* : αι Σ, dubio accentu (ἀντὶ τοῦ ὅπου· ἢ ἄρθρον πληθυντικὸν . . . τὸ ᾇ Δωρικὸν ἀντὶ τοῦ ᾗ) 684 Περσέφασσα B : περσέφασα rell. 685 Δαμήτηρ M V 686 γᾶι M πάντων ἄνασσα Γᾶ τροφός Paley 687 κτήσαντο Porson : ἐκτήσαντο A : ἐκτίσαντο rell. et Σ πυρφόρους A B L P : πυροφόρους M *l* : πυρροφόρους V : M πυροφόρους in textu, γρ. πυροφόρους suprascr. (sic) 688 ἄμυνε τᾷδε γᾷ Hermann : γρ. ἀμύνεται δὲ γᾶ Σ : ἄμυναι τᾷδε γᾷ fere codd. (ἀμύναι P : τῇδε A : γαίᾳ M P) 689 θεοῖς B V : θεοῖσιν fere rell. 690 σ* L : corr. *l* 692 λέγον A 693 βούλευμα V : corr. *v* 695 σὸν P 696 πρὸς] πρὸ A 697 σ' om. A 698 ἐτέοκλες L P 699 φυλακάς B V P Σ: φύλακας M Λ: φύλακάς L

Ετ. καὶ μὴν ἐγὼ σ' ἔχρῃζον εἰσιδεῖν, Κρέον·
πολλῷ γὰρ ηὗρον ἐνδεεῖς διαλλαγάς
ὡς ἐς λόγους συνῆψα Πολυνείκει μολών.
Κρ. ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
κήδει τ' Ἀδράστου καὶ στρατῷ πεποιθότα.
ἀλλ' ἐς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν·
ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων.
Ετ. τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
Κρ. ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.
Ετ. λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον;
Κρ. μέλλειν [πέριξ πύργοισι Καδμείων πόλιν
ὅπλοις] ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.
Ετ. ἐξοιστέον τἄρ' ὅπλα Καδμείων πόλει.
Κρ. ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρή σ' ὁρᾶν;
Ετ. ἐκτὸς τάφρων τῶνδ', ὡς μαχουμένους τάχα.
Κρ. σμικρὸν τὸ πλῆθος τῆσδε γῆς, οἱ δ' ἄφθονοι.
Ετ. ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
Κρ. ἔχει τιν' ὄγκον τἄργος Ἑλλήνων πάρα.
Ετ. θάρσει· τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.
Κρ. θέλοιμ' ἄν· ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
Ετ. ὡς οὐ καθέξω τειχέων ἔσω στρατόν.
Κρ. καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.
Ετ. βούλῃ τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;
Κρ. πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
Ετ. εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
Κρ. εἴπερ σφαλείς γε δεῦρο σωθήσῃ πάλιν.

700 Κρέων M : corr. M² 701 πολλῶν Byzantini (πολλῷ Σ) 702 ὡς codd. et Σ : ἃς vel ὧν Wecklein 706 ἃ δ'] ἅμ' A, sed suprascr. ἐν- μέσω φράσον P 708 τίς A B 709 δή τι M B V 710, 711 verba uncis inclusa del. Wilamowitz et Verrall 710 πόλει P, sed ει in ras. 711 lineolam praef. L 713 ποῖ] πῆ L 716 ἐγὼ οὐδὲ videtur invenisse unus Σ τοῖς] τοὺς Σ idem ὄντα A 717 τ' ἄργος M P et Σ unus ni fallor : ἄργος rell. et lemma Σ 720 ὡς] ὦ primitus M : πῶς primitus A ἔσω L : εἴσω rell. 721 νικᾶν γ' Lenting εὐβουλίαι B : εὐβουλίας fortasse Σ (εὐβουλίας ἐστί et ἐν εὐβουλίᾳ ἐστί) 723 εἰσάπαξ A V L P 724 εἰ] ἦ L προσβάλοιμεν] προσβάλλοιμεν V L : προβάλοιμεν M 725 γε σφαλείς γε V σφαλῇς et δεύρω et πόλιν M : πάλιν M² σωθείσῃ P

Ετ. ἴσον φέρει νύξ, τοῖς δὲ τολμῶσιν πλέον.
Κρ. ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
Ετ. ἀλλ' ἀμφὶ δεῖπνον οὖσι προσβάλω δόρυ;
Κρ. ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
Ετ. βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
Κρ. ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
Ετ. τί δ', εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
Κρ. κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
Ετ. τί δῆτα δράσω; πολεμίοισι δῶ πόλιν;
Κρ. μὴ δῆτα· βουλεύου δ', ἐπείπερ εἶ σοφός.
Ετ. τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;
Κρ. ἑπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ . . .
Ετ. τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
Κρ. †λόχων ἀνάσσειν† ἑπτὰ προσκεῖσθαι πύλαις.
Ετ. τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
Κρ. ἕπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
Ετ. λόχων ἀνάσσειν ἢ μονοστόλου δορός;
Κρ. λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
Ετ. ξυνῆκ'· ἀμύνειν τειχέων προσαμβάσεις.
Κρ. καὶ ξυστρατήγους ⟨γ'⟩· εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
Ετ. θάρσει προκρίνας ἢ φρενῶν εὐβουλίᾳ;
Κρ. ἀμφότερον· ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
Ετ. ἔσται τάδ'· ἐλθὼν ἑπτάπυργον ἐς πόλιν
    τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,

728 *προσβάλλω* B 732 *ἀργεῖον* A 733 *πέφαρκται* Dindorf 734 *πολεμίοις δώσω* M A P et Σ in lemmate, sed *θέλεις οὖν προδῶ*; reddit Σ 735 *μὴ*] *οὐ* P 737 *αὐτοῖς* om. L : habuit Σ 738 *προστετάχθαι* M A B V P Σ : *προστέτακται* L et manus recentissima in V 739 cf. 742 : *λοχαγετοῦντας* Wecklein : *λείπει δ καί·* Σ 741 *πύλας* V 743 *λόγχων* A 744 *προσαμβάσεις* Σ et, ut videtur, P : *προσάμβάσεις* M B L : divisim A B² V versum post 745 collocat A 745 *ξυνστρατηγοὺς* M A V P *γ'* add. Kirchhoff *δ'* delet Polle 746–747 respicit Cram. Anecd. Par. iv. p. 344. 1 sed *εὐβουλίαν; ἐν γὰρ οὐδὲν θάτερον λελειμμένον* unde *ἀμφότερ'· ἓν οὐδὲν θατέρου λελειμμένον* Wecklein 746 *θάρσει*] *γρ. θράσει* M 748 *ἐλθὼν δ'* V *ἔσται τάδ' ἑπτάπυλον δ' ἐς πόλιν μολών* A *ἐς πόλιν*] *ἔξοδον* Wecklein, cl. Aesch. Sept. 271 : *ἐς κύκλον* Musgrave

ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν
καὶ ξυσταθέντα διὰ μάχης ἑλεῖν δορί.
[κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.]
γάμους δ' ἀδελφῆς Ἀντιγόνης παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν δ' ἐχέγγυον
τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
τρέφ' ἀξίως νιν σοῦ τε τήν τ' ἐμὴν χάριν.
πατὴρ δ' ἐς αὑτὸν ἀμαθίαν ὀφλισκάνει,
ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπῄνεσα·
ἡμᾶς δ' ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
ἓν δ' ἐστὶν ἡμῖν ἀργόν, εἴ τι θέσφατον
οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
τοῦδ' ἐκπυθέσθαι ταῦτ'· ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται,
ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
ἤδη πρὸς αὐτόν, ὥστε μοι μομφὰς ἔχειν.
πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·

750 ἀντιτιθείς M 751 διατριβὴ πολλὴ λέγειν A B V L P et, credo, Σ: διατριβὴν (voluit διατριβὴ) πολλὴ λέγειν M²: διατριβὴν πολλὴν ἔχει M 755 ἐλθεῖν B et γρ. M: μάχης ἔχειν δόρυ γρ. B 756 θ'] δ' A ἐμήν] ἐμοί B et in marg. γρ. φίλην versum del. Valckenaer cf. 1376 757 δ'] τ' M A 759 δ'] τ' M B: om. A 760 πρόσθεν L νῦν om. L ἐπ' om. M: add. M² 761 τ' ἀδελφὸς εἶ σύ· τί A δεῖ] δὴ primitus L 762 τὴν δ' M V 763 ἀμαθίαν] ἁμαρτίαν γρ. ἀμαθίαν M ὀφλισκάνοι Σ (αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίαν) 765 δ'] τ' A: quo recepto ἐς αὑτόν τ' v. 763 Wecklein κατακτενεῖ B V: κατακτανεῖ rell. 766 ἓν δ' ἡμῖν ἀργόν ἐστιν M A 767 ἔχει M sed ει in ras. 768 δὲ] δὴ P 769 αὔτ' ἐπώνυμον B V: ἀντεπώνυμον M² 774–777 suspecti Weckleinio: habuit Σ 774 σὺ M

ἥνπερ κρατήσῃ τἀμά, Πολυνείκους νέκυν
μήποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί,
θνῄσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
[σοὶ μὲν τάδ' εἶπον· προσπόλοις δ' ἐμοῖς λέγω·]
ἐκφέρετε τεύχη πάνοπλά τ' ἀμφιβλήματα,
ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
ὁρμώμεθ' ἤδη ξὺν δίκῃ νικηφόρῳ.
τῇ δ' Εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
προσευχόμεσθα τήνδε διασῷσαι πόλιν.

Χο. ὦ πολύμοχθος Ἄρης, τί ποθ' αἵματι [στρ.
καὶ θανάτῳ κατέχῃ Βρομίου παράμουσος ἑορταῖς;
οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας
βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπῃ
μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί,
ἀλλὰ σὺν ὁπλοφόροις στρατὸν Ἀργείων ἐπιπνεύσας
αἵματι Θήβας
κῶμον ἀναυλότατον προχορεύεις.
οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δίνᾳ,
ἅρμασι καὶ ψαλίων τετραβάμοσι μωνυχοπώλων
ἱππείαις ἐπὶ χεύμασι βαίνων
Ἰσμηνοῖο θοάζεις, Ἀργείοις ἐπιπνεύσας
Σπαρτῶν γένναν,

775 πολυνείκης V : corr. *v* 776 θηβαία suprascr. ων A 777 κἂν ᾖ τις φίλων L 778 μὲν om. L εἶπον] αὐδῶ M v. delet Kirchhoff, cf. Suppl. 1213 783 προσεύχομεσθα M (sed -εθα) : προσευξόμεσθα rell. (-εθα V P) διασῶσαι A B V L : διασώζειν M P 786 καλλιχώροις L : καλλιχωρίοις A ὥρας Σ : ὥραις codd. et Σ deterior 787 μέλπῃ rell. γρ. M : πέμπηι M 788 χοροποιοί Σ et M² : χαροποιοί M A B L P : μελοποιοί V γρ. M γρ. B 790 Θήβας codd. et Σ : θήβαις *v* et Σ deterior : σὺν ὁπλοφόρῳ . . . ἅλματι Θήβαις Wilamowitz 792 νευρίδων A V P δίνᾳ Hermann: δινεύεις codd. 793 super ἅρμασι scr. λείπει τὸ ἀλλά M : unde ἀλλ' ἅρματι P ψαλίων codd. (ψαλλίων A) et Σ (ἀντιπτώσεις δέ εἰσι· σὺν ἅρμασι καὶ ψαλίοις μονονύχων πώλων κτλ.) : ψαλίοις *v* τετραβάμοσι codd. et Σ : τετραβάμονα Hartung μωνυχοπώλων Weidgen : μώνυχα πώλων fere codd. (μώνυχα M B L P *v* Σ : μωνύχων A V πώλων M A B V L et puto Σ : πῶλον P *v* et Σ V) 793–794 ἱππείαις . . . Ἰσμηνοῖο scripsi : Ἰσμηνοῦ τ' . . . ἱππείαισι codd. (ἱππείαις A B V L) Ἀργείοις M et, ut videtur, Σ : ἀργείους rell. γένναν M Σ : γέννα V L P : γέννᾳ M² A B *v* Σ M Σ A

ἀσπιδοφέρμονα θίασον ἐνόπλιον,
ἀντίπαλον κατὰ λάινα τείχεα
χαλκῷ κοσμήσας.
ἦ δεινά τις Ἔρις θεός, ἃ τάδε
μήσατο πήματα γᾶς βασιλεῦσιν,
Λαβδακίδαις πολυμόχθοις.

ὦ ζαθέων πετάλων πολυθηρότα- [ἀντ.
τον νάπος, Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρών,
μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ' Ἰοκάστας,
ὤφελες Οἰδιπόδαν θρέψαι, βρέφος ἔκβολον οἴκων,
χρυσοδέτοις περόναις ἐπίσαμον·
μηδὲ τὸ παρθένιον πτερόν, οὔρειον τέρας, ἐλθεῖν
πένθεα γαίας
Σφιγγὸς ἀμουσοτάταισι σὺν ᾠδαῖς,
ἅ ποτε Καδμογενῆ τετραβάμοσι χαλαῖς
τείχεσι χριμπτομένα φέρεν αἰθέρος εἰς ἄβατον φῶς
γένναν, ἃν ὁ κατὰ χθονὸς Ἅιδας
Καδμείοις ἐπιπέμπει· δυσδαίμων δ' ἔρις ἄλλα
θάλλει παίδων
Οἰδιπόδα κατὰ δώματα καὶ πόλιν.
οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλόν,
οὐδ' οἱ μὴ νόμιμοι
†παῖδες ματρὶ λόχευμα, μίασμα πατρός·
ἣ δὲ συναίμονος ἐς λέχος ἦλθεν.†
. . . .

796 *ἐνόπλιον* nescio quis primus : *ἔνοπλον* codd. et Σ 797 *λαίνεα* P 799 *πήματα* om. M 802 *χιονότροφον* A L P 803 *μήποτε μήποτε* M P *Ἰοκάστης* V L 804 *Οἰδοπόδαν θρέψαι* A B : *οἰδιπόδ' ἀνθρέψαι* V : *οἰδιπόδα θρέψαι* M L P Σ 805 *χρυσοδέταις* P *ἐπίσημον* P *v* 806–807 *παρθένειον* L *οὐρεια* (sic) *γρ. οὔρειον* M *ἀμουσοτάταισιν ᾠδαῖς* A *γαίᾳ Σφίγγ' ἀπομουσοτάταισι* Nauck: Σ cum codd. congruit 808 *χαλαῖσι* vel *χηλαῖσι* codd. 810 *ἃν*] *τὰν* Triclinius *ἀΐδας* codd. 811 *Καδμείοισιν* L : *καδμεῖος* A *δ'* om. P *ἄλλῳ* V : corr. *v* 815 *μὴ* om. L : add. *l* *νόμιμον* Markland 816 manca responsio, cf. 798 817 *συναίμονος* M B V : *σύναιμον* A L P *γρ.* M post 817 videtur deesse v. qui v. 800 respondeat : fortasse *ἣ* omisit et *ἦλθον* habuit Σ

ἔτεκες, ὦ Γαῖ', ἔτεκές ποτε,
βάρβαρον ὡς ἀκοὰν ἐδάην ἐδάην ποτ' ἐν οἴκοις,
τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος·
Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
ἤλυθον οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας
τᾶς Ἀμφιονίας τε λύρας ὕπο πύργος ἀνέστα
διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον,
Δίρκα χλοεροτρόφον ᾇ πεδίον
πρόπαρ Ἰσμηνοῦ καταδεύει·
Ἰώ θ', ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο,
μυριάδας δ' ἀγαθῶν ἑτέροις ἑτέ-
ρας μεταμειβομένα πόλις ἅδ' ἐπ' ἄκροις ἕστακ'
Ἀρηΐοις στεφάνοισιν.

ΤΕΙΡΕΣΙΑΣ

ἡγοῦ πάροιθε, θύγατερ· ὡς τυφλῷ ποδὶ
ὀφθαλμὸς εἶ σύ, ναυβάταισιν ἄστρον ὥς·
δεῦρ' ἐς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμόν,
πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ·
κλήρους τέ μοι φύλασσε παρθένῳ χερί,
οὓς ἔλαβον οἰωνίσματ' ὀρνίθων μαθὼν
θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι
πόση τις ἡ 'πίλοιπος ἄστεως ὁδὸς

818 γᾶι M : γᾶ rell. 824 πύργος ἀνέστα L B et in ras. M : πύργος ἀνέσταν V P et primitus M : πύργοι ἀνέσταν A : et ἀνέσταν et ἀνέστα Σ 826 Δίρκα Schenkl : δίρκας codd. χλοερ|ότροφον M P ᾇ] ἃ πεδίον M P et fortasse L : ἀμπεδίον M² V *l* et Σ, sed deteriora 827 ἃ πρόπαρ V καταρδεύει B² (ταρ in ras.) 828 ἀ M L : ἁ M² rell. Σ προμάτων P 830 δ' om. L ἑτέρας ἑτέροις M P 831 ἀμειβομένα L : μετ suprascr. *l* 832 ἑστὰκ' M A² : ἕστακ' A V : ἕστηκ' B² P : ἕστ' B L ἀρηίοις codd. στεφάνοις V 834 προπάροιθε V 835 ναυβάταισιν A B et sine dubio L : ναβάταισιν V : ναύταισιν M P : ναυτίλοισιν *l* 836 κευρὸν P πεδίον codd. : corr. Barnes ἴχν**θεῖσ L : corr. *l* 837 πατήρ om. L : add. *l* 838 τέ μοι M : τ' ἐμοὶ rell. : utrumque Σ 839 μαθὼν] λαβών V, γρ. μαθών *v* 842 πόση] πρόσω L ἄστεως P *b* : ἄστεος P² rell.

πρὸς πατέρα τὸν σόν· ὡς ἐμὸν κάμνει γόνυ,
πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.
Κρ. θάρσει· πέλας γάρ, Τειρεσία, φίλοισι σοῖς
ἐξώρμισαι σὸν πόδα· λαβοῦ δ' αὐτοῦ, τέκνον·
ὡς πᾶσ' ἀπήνη πούς τε πρεσβύτου φιλεῖ
χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
Τε. εἶέν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;
Κρ. οὔπω λελήσμεθ'· ἀλλὰ σύλλεξαι σθένος
καὶ πνεῦμ' ἄθροισον, αἶπος ἐκβαλὼν ὁδοῦ.
Τε. κόπῳ παρεῖμαι γοῦν Ἐρεχθειδῶν ἄπο
δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας·
κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορός,
οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ·
καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω
λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
Κρ. οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σύ,
δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα,
τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.
Τε. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα
χρησμοὺς ἐπέσχον· σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν,
λέξω. νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,

843 τὸν om. L κάμνοι M P: corr. P² 846 ἐξώρμισαι L : ἐξόρμισαι A V: ἐξορμίσαι M B P *v* : cf. Σ ἀντὶ τοῦ ἐξώρμισαι, τὸ ō ἀντὶ τοῦ ω̄, ἐκβέβληκας· ἢ ἐξόρμισον προστακτικῶς ἀντὶ τοῦ στῆσον : ἔσθ' ὁρμίσαι Kvičala 847 πᾶσ' ἀπήνη etiam Σ : στᾶσ' ἀπήνη Munro : παῖς ἔτ' ἀπτὴν Hermann 849 Τε. notam om. A σπουδῇ om. A L : ἐν σπουδῇ H 850 σύλλεξον P 851 αἶπος V M² γρ. Σ : ἆπος B *v* et primitus M : κἄπος L : κάπος A : κᾶπος P Σ (vid. Schwartzium ad loc.) 852 παρεῖμαι γρ. Σ B Σ M : πάρειμι codd. γοῦν] γρ. *υ* M, h. e. γυῖ' : aut hoc aut γοῦν' Σ, qui τὰ γόνατα reddit 864 μάλιστα] κάλλιστα A *l*: utrumque V 865 ἂν om. B 866 σοὶ M Σ : σὺ rell. 867 πάλαι γῆ L

ἐξ οὗ 'τεκνώθη Λάιος βίᾳ θεῶν
πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν·
αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ
θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι.
ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
ἥμαρτον ἀμαθῶς· οὔτε γὰρ γέρα πατρὶ
οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
ἐξηγρίωσαν· ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
δεινάς, νοσῶν τε καὶ πρὸς ἠτιμασμένος.
ἁγὼ τί ⟨οὐ⟩ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη
ἐς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον·
πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες
Ἀργεῖα καὶ Καδμεῖα μείξαντες βέλη
πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
σύ τ' ὦ τάλαινα συγκατασκάπτῃ πόλι,
εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τὶς πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
μηδένα πολίτην μηδ' ἄνακτ' εἶναι χθονός,
ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
μί' ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ'—οὐ γὰρ εἰπεῖν οὔτ' ἐμοὶ τόδ' ἀσφαλὲς
πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις

869 *τ'*] *δ'* L   870 *αἵ θ'*] *ἔνθ'* V : corr. *v*: *αἵδ'* P   *αἱματοποιοι* V (sed *γρ. αἱματωποὶ v*) : rasura post *αἱματωποὶ* in M   871 *θεῶν σωφρόνισμα* Herwerden (*σόφισμα* Σ)   *κἀπόδειξις* M B P   874 *γέρα* A V L: *γέρας* M B P et, ut videtur, Σ   875 *ἀνδρί* suprascr. in M   878 *τί οὐ δρῶν, ποῖα δ'* Byzantini: cf. Σ *τὸ οὐ ἀπὸ κοινοῦ, τί οὐ δρῶν· γράφεται δὲ κἀγὼ τί μὴ δρῶν ποῖα δ'* : *τί δρῶν, ποῖα δ'* P : *τί δρῶν ὁποῖα δ'* rell. : *τί δρῶν οὐ, ποῖα δ'* alii Byzantini : lectio dubia : cf. ad Hel. 56   879 *ἔχθος*] *γρ. ὄχλον* Σ   881 *νεκροὺς* P   882 *μέλη* Earle   884 *τ'*] *δ'* V   *συγκατασκάψῃ* Herwerden et futuro reddit Σ   *πόλις* L et suprascr. A   885 *λόγοις* M   *τὶς* Verrall (‘*quidam*’) : *τις* V : *τίς* rell. (in ras. A) : *εἰ μὴ λόγοις τις τοῖς ἐμοῖσι* Porson   888 *κανατρέψοντας* P : *κἀνατρέψαντας* B : *κἀναστρέψοντας* M L : *κἀναστρέψαντας* V A   889 *ἐστὶ τὸ κακὸν* P   892 *τε*] *δὲ* L

πόλει παρασχεῖν φάρμακον σωτηρίας—
ἄπειμι. χαίρεθ'· εἷς γὰρ ὢν πολλῶν μέτα
τὸ μέλλον, εἰ χρή, πείσομαι· τί γὰρ πάθω;
Κρ. ἐπίσχες αὐτοῦ, πρέσβυ. Τε. μὴ 'πιλαμβάνου.
Κρ. μεῖνον, τί φεύγεις; Τε. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
Κρ. φράσον πολίταις καὶ πόλει σωτηρίαν.
Τε. βούλῃ σὺ μέντοι κοὐχὶ βουλήσῃ τάχα.
Κρ. καὶ πῶς πατρῴαν γαῖαν οὐ σῷσαι θέλω;
Τε. θέλεις ἀκοῦσαι δῆτα καὶ σπουδὴν ἔχεις;
Κρ. ἐς γὰρ τί μᾶλλον δεῖ προθυμίαν ἔχειν;
Τε. κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
ποῦ 'στιν Μενοικεύς, ὅς με δεῦρ' ἐπήγαγεν;
Κρ. ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δὲ σοῦ.
Τε. ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
Κρ. ἐμὸς πεφυκὼς παῖς ἃ δεῖ σιγήσεται.
Τε. βούλῃ παρόντος δῆτά σοι τούτου φράσω;
Κρ. κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
Τε. ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδόν·
[ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν]
σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας,
σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
Κρ. τί φῄς; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
Τε. ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σὲ δρᾶν.

894 γὰρ om. A 895 πεί**σομαι L 896 αὐτοῦ H πρεσβύτα A 897 notam Κρ. ex Τε. corr. A φεύγεις μ' Byzantini σ'] δ' V 899 τάχα] τάδε A L 900 θέλων A 902 μᾶλλον] μ' ἄλλο A V, ν suprascr. υ : Σ alter certe μᾶλλον, alter fortasse ἄλλο habuit 904 σάφα L 905 με om. A ἐπήγαγεν M B υ : ἀπήγαγεν V L : ἤγαγεν A P 906 ὧδ' B δέ που B V : corr. B² υ 907 νῦν M B L P : δὴ A V : corr. Porson 909 τούτου M L υ : τοῦτο A B V P (δῆτα τοῦτό σοι B) 911 δὴ νῦν codd. ὁδούς P 912 del. Kirchhoff, cf. v. 864 : σώσαιτε Musurus : μάλιστα σώσαιτε A B V L P : μάλιστα σώσαιμεν πόλιν καδμείων M 915 γρ. τί φῄς; ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις; Σ 916 πέφηνε Camper, tum σ' ὁρᾶν Wecklein : πέπηγε Valckenaer, cl. Σ qui πέπρωται reddit ταῦτ' ἀνάγκη L : corr. l

Κρ. ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
Τε. σοί γ', ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
Κρ. οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
Τε. ἁνὴρ ὅδ' οὐκέθ' αὑτός· ἐκνεύει πάλιν.
Κρ. χαίρων ἴθ'· οὐ γὰρ σῶν με δεῖ μαντευμάτων.
Τε. ἀπόλωλεν ἡ ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς;
Κρ. ὦ πρός σε γονάτων καὶ γερασμίου τριχὸς . . .
Τε. τί προσπίτνεις με; δυσφύλακτ' αἰτῇ κακά.
Κρ. σίγα· πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
Τε. ἀδικεῖν κελεύεις μ'· οὐ σιωπήσαιμεν ἄν.
Κρ. τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
Τε. ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
Κρ. ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
Τε. ὀρθῶς μ' ἐρωτᾷς κεἰς ἀγῶν' ἔρχῃ λόγων.
δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοὰς
Κάδμου, παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες σύμμαχον κτήσεσθ' Ἄρη.
χθὼν δ' ἀντὶ καρποῦ καρπὸν ἀντί θ' αἵματος
αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
γῆν, ἥ ποθ' ἡμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ', ὃς δράκοντος γέννος ἐκπέφυκε παῖς.
σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
σφαγὰς ἀπείργουσ'. οὐ γάρ ἐστιν ἤθεος·

917 χρόνῳ] λόγῳ Nauck 918 γ'] τ' A σ̄ρ̄ία M V 920 ἀνὴρ ὅδ' οὐκέτ' αὐτός codd. 921 θεσπισμάτων P 924 αἰνεῖ Elmsley 925 πολίταις τοῖσδε P 927 κατακτανεῖς L 931 θαλάμοις L 934 Κάδμου codd. et Σ: Κάδμῳ παλαιῶν Valckenaer 936 κτήσασθ' A V ἄρην V L P 939 ὑμῖν P 940 γένους codd. et Σ: λόγου Busche

κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.
οὗτος δὲ πῶλος τῇδ' ἀνειμένος πόλει
θανὼν πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
πικρὸν δ' Ἀδράστῳ νόστον Ἀργείοισί τε
θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλών,
κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
τὸν ἕτερον· ἢ γὰρ παῖδα σῷσον ἢ πόλιν.
τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
πικρὸς καθέστηχ' οἷς ἂν οἰωνοσκοπῇ·
ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων
ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.

Χο. Κρέον, τί σιγᾷς γῆρυν ἄφθογγον σχάσας;
κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.

Κρ. τί δ' ἄν τις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
ἐγὼ γὰρ οὔποτ' ἐς τόδ' εἶμι συμφορᾶς,
ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
αὐτὸς δ'—ἐν ὡραίῳ γὰρ ἕσταμεν βίου—
θνῄσκειν ἕτοιμος πατρίδος ἐκλυτήριον.
ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,

946 del. Valckenaer 951 τῶνδ' P δοιοῖν M 953 ἡμῖν P : ὧν πάντ' in rasura *l* 955–956 ἐχθρὰ . . . πικρὸς] πικρὰ . . . ἐχθρὸς Valckenaer 961 ἧττον codd. 963 ειμι M : εἰμι V (sic) 964 προθεῖναι P et fortasse primitus B et ut nunc est littera σ evanida M 966 αὐτοῦ codd. τίς A δοίη τις L 968 ἵσταμαι M² et γρ. B βίου Reiske et fortasse Σ : βίῳ codd. 969 ἕτοιμός εἰμι L 970 πᾶσαν om. M : add. M² 972 ἀπαλλαγεὶς A L et in ras. B²

[πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολών·]
κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·
ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.

ΜΕΝΟΙΚΕΥΣ

ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;
Κρ. ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.
Με. οὐκοῦν σὲ φράζειν εἰκός, ἐκπονεῖν δ' ἐμέ.
Κρ. Δελφοὺς περάσας . . . Με. ποῖ με χρή, πάτερ, μολεῖν;
Κρ. Αἰτωλίδ' ἐς γῆν. Με. ἐκ δὲ τῆσδε ποῖ περῶ;
Κρ. Θεσπρωτὸν οὖδας. Με. σεμνὰ Δωδώνης βάθρα;
Κρ. ἔγνως. Με. τί δὴ τόδ' ἔρυμά μοι γενήσεται;
Κρ. πόμπιμος ὁ δαίμων. Με. χρημάτων δὲ τίς πόρος;
Κρ. ἐγὼ πορεύσω χρυσόν. Με. εὖ λέγεις, πάτερ.
χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολών,
ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,
μητρὸς στερηθεὶς ὀρφανός τ' ἀποζυγείς—
[προσηγορήσων εἶμι καὶ σῴσων βίον.]
ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.—
γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν·
ὅς μ' ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
προδότην γενέσθαι πατρίδος ἥ μ' ἐγείνατο.
ὡς οὖν ἂν εἰδῆτ', εἶμι καὶ σῴσω πόλιν
ψυχήν τε δώσω τῆσδ' ὑπερθανεῖν χθονός.

974 πύλαις V versum περιττὸν dicit Σ, delet Wecklein 977 πῆ L ξένον A L 980 post περάσας addunt φεῦγε V L P B² supra : φεύγειν A πῆ L με om. A P πάτερ om. L : delet υ 981 πῆ L 982 θεσπρωτῶν A V suprascr. B² 983 δὴ τόδ' ἔρυμα Musgrave : δῆτ' ἔρυμα (ἔρυγμα V) codd. et Σ : δῆτα ῥῦμα Valckenaer : ἔρῦμα tuetur Wilamowitz 985 παρέξω P (πορεύσω Σ) 986 Κρ. χώρει νῦν ὡς P : Κρ. χώρει νῦν. Με. ὡς rell. : cf. 990 : corr. Musgrave 987 πρῶτον L 989 sic codd. et Σ (nisi προση**ρήσων primitus L) : v. del. Verrall : προσηγορήσᾱς et σώσω Kirchhoff 990 sqq. totum Creonti tribuunt codd., sequentes Menoeceo omnes praeter P qui notam ante 991 omisit : corr. Musgrave : cf. 987 991 ἐξῆλθον φόβον V 993 ἐκκομίζειν A 997 σώσων P

αἰσχρὸν γάρ· οἱ μὲν θεσφάτων ἐλεύθεροι
κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι
στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν,
πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·
ἐγὼ δέ, πατέρα καὶ κασίγνητον προδοὺς
πόλιν τ' ἐμαυτοῦ, δειλὸς ὣς ἔξω χθονὸς
ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρη τε φοίνιον,
ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
Σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
ἀλλ' εἶμι καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
ἐλευθερώσω γαῖαν· εἴρηται λόγος.
στείχω δέ, θανάτου δῶρον οὐκ αἰσχρὸν πόλει
δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.
εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο κἀς κοινὸν φέροι
πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

Χο. ἔβας ἔβας, [στρ.
ὦ πτεροῦσσα, γᾶς λόχευμα
νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγά,
πολύφθορος πολύστονος
μειξοπάρθενος,
δάιον τέρας,
φοιτάσι πτεροῖς

1002 πάτρης L 1005 κακῶς P 1006 οὐ· μὰ V ἄρη M B : ἄρην B² rell. 1007 γαίης A 1009 ἐξ ἐπάλξε in rasura *l* 1010 μελαμβαφῆ (vel μελανβαφῆ) M A P 1014 ἀπαλλάξαι A 1016 κεἰς codd. vv. 1017–1043 fragmenta exstant in Π : cf. v. 1064 1018 τὸ] καὶ τὸ A 1019 πτεροῦσσα B Π : πτεροῦσα rell. 1021 ἁρπαγα Π : ἁρπαγᾷ rell. Σ 1022 πολυφορος πολυστονος Π (sic) : πολύστονος πολύμοχθος P 1023 μιξοπάρθενος codd. 1024 φοιτασιν Π : φοιτᾶσι codd.

χαλαῖσί τ' ὠμοσίτοις·
Διρκαίων ἅ ποτ' ἐκ
τόπων νέους πεδαίρουσ'
ἄλυρον ἀμφὶ μοῦσαν
ὀλομέναν τ' Ἐρινὺν
ἔφερες ἔφερες ἄχεα πατρίδι
φόνια· φόνιος ἐκ θεῶν
ὃς τάδ' ἦν ὁ πράξας.
ἰάλεμοι δὲ ματέρων,
ἰάλεμοι δὲ παρθένων
ἐστέναζον οἴκοις·
ἰηιήιον βοάν,
ἰηιήιον μέλος,
ἄλλος ἄλλ' ἐπωτότυζε
διαδοχαῖς ἀνὰ πτόλιν.
βροντᾷ δὲ στεναγμὸς
ἀχά τ' ἦν ὅμοιος,
ὁπότε πόλεος ἀφανίσειεν
ἁ πτεροῦσσα παρθένος τιν' ἀνδρῶν.

χρόνῳ δ' ἔβα [ἀντ.
Πυθίαις ἀποστολαῖσιν
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
τότ' ἀσμένοις, πάλιν δ' ἄχη·

1026 ἅ M A: corr. M[2] 1027 *νέους* om. P *πόδ' αἴρουσ'* L 1028–1029 sic codd. et Π et, ut videtur, Σ 1033 *πατέρων* P 1033 et 1034 *ιαλεδεμοι δε* Π 1035 *ἐστέναξαν* Π *ἐν οἴκοις* L : corr. *l* 1036 et 1037 *ιηιηι . ηι . ον* Π sc. *ιηιηιον*, tertio *ηι* punctis utrimque positis deleto : cf. Σ V *εὑρίσκεται ἐν τοῖς ποιηταῖς οὕτως ἰὴ ἰή, ὡς τὸ ἰὼ ἰώ* : *ἰήιον* codd., quo recepto *βοὰν βοάν* et *μέλος μέλος* Grotius 1038 *ἄλλ'* Battier : *ἄλλον* codd. et Π *ἐπωτότυζε* B : *ἐπωτότυξε* Π : *ἐπετότυζε* M A V P suprascr. B : *ἐπεττότυζεν* L 1039 *βροντᾶ δὲ* in rasura *l* : *δὲ* om. M 1040 *ἀχά* Musgrave : *αχαι* Π : *ἰαχά* vel *ἰαχᾶ* (M P *v*) codd. 1041 *πολεος* Π : *πόλεως* codd. 1042 *ἁ*] *ἀ* M *πτεροῦσα* M V L P : corr. M[2] 1043 *Πυθίοις* Wecklein *ἀποσταλαῖσιν* M 1044 *γρ. ὁ τάλας* M 1046 *ἄσμενος* P verba *πάλιν δ' . . . τάλας* om. L : add. *l*

ματρὶ γὰρ γάμους
δυσγάμους τάλας
καλλίνικος ὢν
αἰνιγμάτων συνάπτει,
μιαίνει δὲ πτόλιν·
δι' αἱμάτων δ' ἀμείβει
μυσαρὸν εἰς ἀγῶνα
καταβαλὼν ἀραῖσι
τέκεα μέλεος. ἀγάμεθ' ἀγάμεθ',
ὃς ἐπὶ θάνατον οἴχεται
γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
τὰ δ' ἑπτάπυργα κλῇθρα γᾶς
καλλίνικα θήσων.
γενοίμεθ' ὧδε ματέρες
γενοίμεθ' εὔτεκνοι, φίλα
Παλλάς, ἃ δράκοντος αἷμα
λιθόβολον κατειργάσω,
Καδμείαν μέριμναν
ὁρμήσασ' ἐπ' ἔργον,
ὅθεν ἐπέσυτο τάνδε γαῖαν
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΑΓΓΕΛΟΣ

ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ'· ἐκπορεύετ' Ἰοκάστην δόμων.
ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μέν, ἀλλ' ὅμως
ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,

1047 *μητρὶ* M B V P *τάλας* King : *ὁ τάλας* codd. 1050 *μιάσει* A *πτόλιν* Triclinius et voluit *l* : *πόλιν* codd. 1053 *ἀρῶσι* A, sed *α* supra *ω* scripto 1058 *ἑπτάπυλα* L *κλῇθρα* B : *κλεῖθρα* rell. 1060 *μητέρες* A : *ματέρας* L : corr. *l* 1061 *φίλα* L *γρ.* M A : *φῖλα* P : *φίλαι* V 1063 *λιθοβόλον* V 1064 *καδμείων* B, sed *α* supra *ω* scripto 1065 *ἐπέσυτο* L : *ἐπέσσυτο* L² rell. *τᾶνδε* M *γαῖαν* Battier : *γᾶν* codd. 1067 ΑΓΓΕΛΟΣ notam om. A : ΘΕΡΑΠΩΝ Wecklein, cl. 1073 sq., 1213 1069 huic v. perperam adicit notam v. 1075 propriam Σ V : v. infra 1070 *κλεινὴ*] *γρ. κυδρὴ* M 1070 deleto 1071 *λήξεις* Bruhn

λήξασ᾽ ὀδυρμῶν πενθίμων τε δακρύων.
Ιο. ὦ φίλτατ᾽, οὔ που ξυμφορὰν ἥκεις φέρων
Ἐτεοκλέους θανόντος, οὗ παρ᾽ ἀσπίδα
βέβηκας αἰεὶ πολεμίων εἴργων βέλη;
[τί μοί ποθ᾽ ἥκεις καινὸν ἀγγελῶν ἔπος;]
τέθνηκεν ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
Αγ. ζῇ, μὴ τρέσῃς τόδ᾽, ὥς ⟨σ᾽⟩ ἀπαλλάξω φόβου.
Ιο. τί δ᾽; ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
Αγ. ἑστᾶσ᾽ ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
Ιο. ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
Αγ. ἀκμήν γ᾽ ἐπ᾽ αὐτήν· ἀλλ᾽ ὁ Καδμείων Ἄρης
κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
Ιο. ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ᾽· ὡς μέλει μοι καὶ τόδ᾽, εἰ λεύσσει φάος.
Αγ. ζῇ σοι ξυνωρὶς ἐς τόδ᾽ ἡμέρας τέκνων.
Ιο. εὐδαιμονοίης. πῶς γὰρ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσῳσμένης.
Αγ. ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν
πύργων ἐπ᾽ ἄκρων στὰς μελάνδετον ξίφος
λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,
λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
πύλας ἐφ᾽ ἑπτά, φύλακας Ἀργείου δορός,
σὸς παῖς, ἐφέδρους ⟨δ᾽⟩ ἱππότας μὲν ἱππόταις

1072 *οὔ που* Hartung : *ἦ που* codd. (*ἤ που* M) : cf. I. T. 930, Or. 844 1074 *αἰεὶ* B : *ἀεὶ* rell. *εἴργων* M B : corr. M² *βέλη*] *δόρυ* B : *βέλη* suprascr. B² 1075 *ἀγγελῶν* M A : *ἀγγέλων* V : *ἀγγέλλων* B L P suprascr. A versum del. Valckenaer cl. Σ V Σ B : *ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ φέρεται οὗτος ὁ στίχος* : cf. ad v. 1069 1077 *τόδ᾽* codd. et Σ : *τοῦδ᾽* Byzantini : *τρέσῃς· τοῦδ᾽ ὡς* Porson *σ᾽* om. codd. : add. *b* 1078 *ἑπτάπυλοι* L 1081 *ἐπ᾽*] *ἐς* B 1082 *κρεῖσσον* primitus M 1084 om. P *μέλλει μου* V : *μέλοι μοι* A *τόδ᾽*] *τοῦδ᾽* V L 1086 *Ἀργεῖον* Fix 1087 *ἐπεστήσασθε* L 1092 *λαιμῶν*] *λαιμὸν* L P et primitus, ut videtur, B : *πλοιῶν* A *τῆσδε γῆς* P 1095 om. A : *σὸς παῖς* om. V *δ᾽* add. Grotius : mavult Hermannus v. sequenti *τάξας* scribere

ἔταξ', ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
ἀλκὴ δι' ὀλίγου. περγάμων δ' ἀπ' ὀρθίων
λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα, καὶ τάφρου πέλας
δρόμῳ ξυνῆψαν ἄστυ Καδμείας χθονός.
παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
ἐκεῖθεν ἔκ τε τειχέων ἡμῶν πάρα.
καὶ πρῶτα μὲν προσῆγε Νηίταις πύλαις
λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα
ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
χειρουμένην Αἰτωλόν. ἐς δὲ Προιτίδας
πύλας ἐχώρει σφάγι' ἔχων ἐφ' ἅρματι
ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' ἐς πυλώμαθ' Ἱππομέδων ἄναξ
ἔστειχ' ἔχων σημεῖον ἐν μέσῳ σάκει
στικτοῖς Πανόπτην ὄμμασιν δεδορκότα,
τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
ὡς ὕστερον θανόντος εἰσορᾶν παρῆν.
Ὁμολωίσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεύς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδι
χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν ὡς πρήσων πόλιν.
ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις

1096 δ' om. P ἀσπιδηφόρους M A B P: corr. M² *b* 1098 ὀλίγων P 1099 ἀργεῖον A 1100 τευμησσὸν M : τελμησσὸν M² ἐκλείποντα V L 1101 ξυνῆψαν Π et Σ : συνῆψεν codd.: v. (et 1100) del. Kirchhoff 1104 νηίταις codd. et Σ : Νηίσταις Unger 1106 γόνος P 1113 δ'] θ' B 1114 ἔστηχ' M et η in rasura scripto V 1116 ξὺν P 1119 μολωίσι P 1120 τυδεύς in rasura *l* 1121 πεφρικὼς M P et primitus V δεξιὰ M L : corr. *l*

Ἄρη προσῆγε· Ποτνιάδες δ' ἐπ' ἀσπίδι
ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
πόρπαχ' ὑπ' αὐτόν, ὥστε μαίνεσθαι δοκεῖν.
ὁ δ' οὐκ ἔλασσον Ἄρεος ἐς μάχην φρονῶν
Καπανεὺς προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις·
σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
φέρων μοχλοῖσιν ἐξανασπάσας βάθρων,
ὑπόνοιαν ἡμῖν οἷα πείσεται πόλις.
ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ,
[ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν]
Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
παρῆν δ' ἑκάστου τῶνδέ μοι θεάματα
ξύνθημα παρφέροντι ποιμέσιν λόχων.
καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
ἐμαρνάμεσθα σφενδόναις θ' ἑκηβόλοις
πετρῶν τ' ἀραγμοῖς· ὡς δ' ἐνικῶμεν μάχῃ,
ἔκλαγξε Τυδεὺς καὶ σὸς ἐξαίφνης γόνος·
Ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
γυμνῆτες ἱππῆς ἁρμάτων τ' ἐπιστάται;
ἠχῆς δ' ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·
πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι,
ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας·

1124 ἄρην B² L et primitus A 1125 ἐπίσημοι L : corr. *l* 1130 τύποις] κύκλοις Π 1132 βάθρων Π et γρ. M : βίᾳ vel βίᾳ codd. 1134 δ' om. M A 1136 ὕδραν Π dittographiam v. antecedentis seclusi 1139 τῶνδ' ἐμοὶ A 1140 παρφέροντι B V L P : παραφέροντι M A suprascr. υ 1142 τ' ἑκηβόλοις M A B V 1143 πετρῶν codd. et Σ : πέτρων Wecklein 1144 καὶ ὁ σὸς M 1146 ἐμπίτνειν A¹ vel A² 1147 ἱππῆς M B: ἱππεῖς rell. et suprascr. B τ' om. V 1149 κρᾶτας θ' V 1150 ἤιδες B

ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
ὁ δ' Ἀρκάς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος
τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν βοᾷ
πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν·
ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς λᾶαν ἐμβαλὼν κάρᾳ
ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο·
ξανθὸν δὲ κρᾶτα διεπάλυνε καὶ ῥαφὰς
ἔρρηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
καθῃμάτωσεν· οὐδ' ἀποίσεται βίον
τῇ καλλιτόξῳ μητρὶ Μαινάλου κόρῃ.
ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
ἄλλας ἐπῄει παῖς σός, εἰπόμην δ' ἐγώ.
ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν
κυναγὸς ὡσεὶ παῖς σὸς ἐξαθροίζεται,
πύργοις δ' ἐπέστησ' αὖθις. ἐς δ' ἄλλας πύλας
ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διὸς
τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πετρούμενος
ἀνεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,

1154 ὅστις ἑ in rasura *l* 1155 δικέλλας M B V L Σ : δίκελλαν A P *l* 1158 om. M : add. M^2 in margine 1162 κόρῃ] γρ. χθόνα Σ 1164 σὸς παῖς V P 1165 καὶ om. M 1166 αἰτωλοῖσι (vel -σιν) A V 1168 ἐρίπνας M B Σ : ἐριπνὰς A V L P φυγάδας] φύλακας anonymus apud Valckenaerium 1170 πύργοις τ' Lenting 1171 παύσαντας L : corr. *l* 1172 δ' ὅπως A 1174 τόσον V 1175 εἰργάθειν codd. 1176 οὐ M B V A^2 *l* Σ : om. A L P 1177 πτερούμενος M 1178 εἰλίξας M B V

κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
χθών, ὥστε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
[ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη,
κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ' ἐς χθόνα,
χεῖρες δὲ καὶ κῶλ' ὡς κύκλωμ' Ἰξίονος]
εἱλίσσετ'· ἐς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
ἔξω τάφρου καθῖσεν Ἀργείων στρατόν.
οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
ἰδόντες ἐξήλαυνον ἁρμάτων ὄχους
ἱππῆς ὁπλῖται, κἀς μέσ' Ἀργείων ὅπλα
συνῆψαν ἔγχη· πάντα δ' ἦν ὁμοῦ κακά·
ἔθνῃσκον ἐξέπιπτον ἀντύγων ἄπο,
τροχοί τ' ἐπήδων ἄξονές τ' ἐπ' ἄξοσι,
νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
ἐς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει·
καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.

Χο. καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
γνώμην ἔχουσιν—εὐτυχὴς εἴην ἐγώ.

Ιο. καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
παῖδές τε γάρ μοι ζῶσι κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων

1183 om. A : add. A[1] in margine 1183-1185 del. Nauck 1184 κόμαι] πνοαὶ Naber 1186 ἑλίσσετ' (ἑλίσετ' M) codd. : corr. Heath 1188 καθῖσεν L. Dindorf : καθεῖσεν M A B V L : καθεῖκεν ex καθῆκεν fecit P 1189 τέρας Διὸς V 1190 ὄχας L, sed ου supra ας scripto : ὄχοι Musgrave 1191 ἱππῆς B : ἱππεῖς (ἱππεῖς θ' A) rell. et suprascr. B ὅπλων V : α suprascr. *v* ante et post 1191 singuli versus intercidisse videntur Weckleinio 1192 ξυνῆψαν P 1194 ἄξονές τ'] ἄξον' A 1199 habet M : in margine add. *l* : om. rell. 1200 ἀμείνον'] ἀμεῖνον primitus M : utrumque Σ 1201 ἔχοιεν V et γρ. M 1202 ἔχοι M 1203 κἀπέφευγε M A : καὶ πέφευγε B V P

τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
παιδὸς στερηθείς, τῇ πόλει μὲν εὐτυχῶς,
ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον.
Αγ. ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
Ιο. τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
Αγ. μεῖζον τί χρῄζεις παῖδας ἢ σεσῳσμένους;
Ιο. καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω κλύειν.
Αγ. μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
Ιο. κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.
Αγ. κοὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
Ιο. ἢν μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
Αγ. αἰαῖ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον, τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Ἀργείοισι Καδμείοισί τε
ἐς κοινὸν οἷον μήποτ' ὤφελον λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρῦξαι στρατῷ·
[ἔλεξε δ'· Ὦ γῆς Ἑλλάδος στρατηλάται]
Δαναῶν ἀριστῆς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαός, μήτε Πολυνείκους χάριν
ψυχὰς ἀπεμπολᾶτε μήθ' ἡμῶν ὕπερ.
ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς
μόνος συνάψω συγγόνῳ τὠμῷ μάχην·
κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος,

1208 ἐμὼ] ἐμὸν A P 1210 fortasse τοῦθ' ὡς κοὐκ V L 1211 τί A : τι rell. 1212 καὶ] κεὶ A τἀλοιπά P ὑπ' ἀσπιστοῦ M L 1215 κοὐκ] οὐκ F γε] τε B sed γε suprascr. B[2] σοῖς] σοι Reiske 1216 μή γε M V P : μή με A B L 1217 αἶ αἶ M B L P : αἷ αἷ A V *l* 1218 μηνῦσαι] σημᾶναι P 1223 ἐτεοκλῆς προϋπῆρξ' V (ἐτεοκλῆς etiam L) ἀπ'] ἐπ' B[2] 1225 οὐ φέρεται ἐν τοῖς πολλοῖς ἀντιγράφοις Σ λείπει τὸ ταῦτα λέγων Σ antiquior 1226 Δαναῶν τ' L ἀριστῆς (sic) A : ἀριστεῖς rell. et suprascr. A 1228 ὑμῶν M A et Σ unus 1229 τόν τε A 1231 οἰκήσας P

ἡσσώμενος δὲ τῷδε παραδώσω μόνῳ·
ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργεῖοι, χθόνα
νίσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε,
Σπαρτῶν τε λαὸς ἅλις ὅσος κεῖται νεκρός.
   τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.
πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε
Κάδμου τε λαὸς ὡς δίκαι' ἡγούμενοι.
ἐπὶ τοῖσδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάται.
   ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
δισσοὶ γέροντος Οἰδίπου νεανίαι·
φίλοι δ' ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς
Σπαρτῶν ἀριστῆς, τὸν δὲ Δαναϊδῶν ἄκροι.
ἔσταν δὲ λαμπρὼ χρῶμά τ' οὐκ ἠλλαξάτην
μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων
λόγοις ἐθάρσυνόν τε κἀξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
τρόπαιον Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον·
Ἐτεοκλέα δ' αὖ· Νῦν πόλεως ὑπερμαχεῖς,
νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
   τάδ' ἠγόρευον παρακαλοῦντες ἐς μάχην.
μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς

1232 μόνῳ A P B² l v : μόνος M B : δόμον L et γρ. v : μόνος πόλιν V : παραδοῦναι παρασκευάσω πόλιν reddit Σ   1233 ἀργείαν P   1234 νίσεσθε M B : νίσσεσθε rell.   βίον P   1235 ὅσος Byzantini : ὃς codd. : καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν αὐτάρκης reddit Σ   νεκρός] θανών P   malim ὅσον κεῖται νεκρῶν : versum del. Valckenaer   1237 τάξεως A   ὄρουσε M A : corr. A²   1238–1239 suspecti Weckleinio   1240 τοῖσδε δ' M B : τοῖσδ' A L P : τοῖσι δ' V   κἀν B P : καὶ rell.   1241 ἐμμενεῖν Σ : ἐμμένειν codd.   στρατηλάται L P v Σ : στρατηλάτας M A B et fortasse Σ : στρατηλάταις V γρ. Σ   1243 in margine γρ. οἵ τοι B   1244 πρόμον in lacuna addit L vel l   1245 ἀριστῆς A : ἀρίστης B : ἀριστεῖς rell.   τῶν A   1246 χρώματ' M A V   1248 δ' om. L: add. l   1249 λόγοισι θαρσύνοντες (θαρσύνοντε v) V P γρ. B   κἀξηύδων] προσηύδων P : κἄλεγον γρ. B   1251 τροπαῖον A P et primitus B : τρόπαιον rell. B²   τ'] δ' L   1252 πόλεως θ' L   1253 κρᾶ V : κράτει Nauck

ῥήξεις τ' ἐνώμων ὑγρότητ' ἐναντίαν
ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
νίκης τε σῆμα καὶ τὸ τῶν ἡσσωμένων.
ἀλλ', εἴ τιν' ἀλκὴν ἢ σοφοὺς ἔχεις λόγους
ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
δεινῆς ἁμίλλης· ὡς ὁ κίνδυνος μέγας·
κἄπαθλα δεινὰ δάκρυά σοι γενήσεται
δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.

Ιο. *ὦ τέκνον ἔξελθ' Ἀντιγόνη δόμων πάρος·*
οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι
νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις,
ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν
ἐς θάνατον ἐκνεύοντε κωλῦσαί σε δεῖ
ξὺν μητρὶ τῇ σῇ μὴ πρὸς ἀλλήλοιν θανεῖν.

Αν. *τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν*
φίλοις ἀυτεῖς τῶνδε δωμάτων πάρος;
Ιο. *ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.*
Αν. *πῶς εἶπας;* Ιο. *αἰχμὴν ἐς μίαν καθέστατον.*
Αν. *οἳ 'γώ, τί λέξεις, μῆτερ;* Ιο. *οὐ φίλ', ἀλλ' ἕπου.*
Αν. *ποῖ, παρθενῶνας ἐκλιποῦσ';* Ιο. *ἀνὰ στρατόν.*
Αν. *αἰδούμεθ' ὄχλον.* Ιο. *οὐκ ἐν αἰσχύνῃ τὰ σά.*
Αν. *δράσω δὲ δὴ τί;* Ιο. *συγγόνων λύσεις ἔριν.*
Αν. *τί δρῶσα, μῆτερ;* Ιο. *προσπίτνουσ' ἐμοῦ μέτα.*
Αν. *ἡγοῦ σὺ πρὸς μεταίχμι'· οὐ μελλητέον.*
Ιο. *ἔπειγ' ἔπειγε, θύγατερ· ὡς, ἢν μὲν φθάσω*
παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος·
θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

1258 *τὸ*] *τὰ* P 1261 *ὁ* om. M : add. M² 1262–1263 del. Valckenaer 1262 *κἄπαθλα* legisse Σ (*ἔπαθλον γὰρ ἑτέρῳ ἔσται ἡ τοῦ ἑτέρου ἀπωλεία*) vidit Porson : cf. 52 : *καὶ τἆθλα* codd. 1263 *στερήσῃ* codd. et Σ M, quo recepto *εἰ σοῖν* Valckenaer 1264 *πάρος δόμων* L 1265 *οὐδὲ* F : *οὐδ' ἐν* codd. 1266 *ἡ τῆς εἱμαρμένης παρουσία* reddit Σ, unde *δαίμονος* Hermann 1268 *σε* om. M 1274 *οἳ 'γὼ* P : *οἴ* (vel *οἵ*) *ἐγὼ* rell. *μᾶτερ* V P 1275 *πῆ* L 1277 *δή τι* A B 1279 *μεταίχμ'* M *μεληтέον* V L P : corr. *l* 1280 *ἤν γε* A post 1281 v. 976 *ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ* habent M A B V L : om. P et O : *ἐν πολλοῖς οὐ φέρεται* Σ B : eiecit Grotius

Χο. αἰαῖ αἰαῖ, τρομερὰν φρίκᾳ [στρ.
τρομερὰν φρέν᾽ ἔχω· διὰ σάρκα δ᾽ ἐμὰν
ἔλεος ἔλεος ἔμολε μα-
τέρος δειλαίας.
δίδυμα τέκεα πότερος ἄρα
πότερον αἱμάξει—
ἰώ μοι πόνων, ἰὼ Ζεῦ, ἰὼ γᾶ—
ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν
δι᾽ ἀσπίδων, δι᾽ αἱμάτων;
τάλαιν᾽ ἐγὼ τάλαινα, πό-
τερον ἄρα νέκυν ὀλόμενον ἰαχήσω;

φεῦ δᾶ φεῦ δᾶ, δίδυμοι θῆρες, [ἀντ.
φόνιαι ψυχαὶ δορὶ παλλόμεναι
πέσεα πέσεα δάι᾽ αὐ-
τίχ᾽ αἱμάξετον.
τάλανες, ὅ τι ποτὲ μονομάχον
ἐπὶ φρέν᾽ ἠλθέτην,
βοᾷ βαρβάρῳ στενακτὰν ἰαχὰν
μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.
σχεδὸν τύχα πέλας φόνου·
κρινεῖ φάος τὸ μέλλον. ἄ-
ποτμος ἄποτμος ὁ φόνος ἕνεκ᾽ Ἐρινύων.

1284 αἶ vel αἲ quater M A L: octies V: bis recentiores: ἓ ἓ P 1285 et φρίκᾳ et φρῖκα reddunt Σ 1286 sic A O: ante διὰ habent αἶ quater MBL: decies V: ἓ ἓ P σαρκὸς ἐμῆς suprascr. in B 1287 ματρὸς codd. (μρ̃ὸς A) 1288 πότερος] πότερον L ἆρα M 1292 δι᾽ ἀσπίδος δι᾽ εἱμάτων post Ilbergium Wecklein 1296 δὰ . . . δὰ M A *v* (qui etiam δᾶ scribit) 1297 θήρες (h. e. θήραις) M 1299 δάια A: δάιδ M L αἱμά***ον L: corr. *l* 1300 τάλαινες M A B V: τάλανες L P A² *b* ἐπὶ] στενακτὰν ἐπὶ L: vide ad v. 1302 1302 στενακτὰν ἰαχὰν Musurus: ἰαχὰν στενακτὰν P O F²: ἰαχὰν M A B V L sed vide ad v. 1300, et cf. Σ, qui τὴν ἐπιστένακτον βοὴν reddit et μελομέναν et μελομένα Σ 1303 νεκρῶν P 1305 κρίνει V L et primitus B φάος codd. et Σ: ξίφος Hermann 1306 ἄποτμος ἄποττος ὁ ut videtur B ἕνεκεν V

— ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας γόους.

Κρ. οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν ἢ πόλιν
στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
[τοιοῦτον ὥστε δι' Ἀχέροντος ἱέναι;]
ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανών,
τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί·
ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν
αὐτοσφαγῆ δύστηνος ἐκόμισ' ἐν χεροῖν,
βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μέτα
γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα χθόνιον εὐσεβεῖν θεόν.

Χο. βέβηκ' ἀδελφὴ σή, Κρέων, ἔξω δόμων
κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.

Κρ. ποῖ; κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.

Χο. ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
ἐς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.

Κρ. πῶς φῄς; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
οὐκ ἐς τόδ' ἦλθον ὥστε καὶ τάδ' εἰδέναι.

Χο. ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι·
δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.

Κρ. οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
σκυθρωπὸν ὄμμα καὶ πρόσωπον ἀγγέλου
στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

1307 *δεῦρο* om. L P 1309 *γόους*] *λόγους* V 1312 *τοσοῦτον* L *ἱέναι* L P et Σ (*διαπέμπεσθαι*) : *ἰέναι* rell. : v. del. Kirchhoff 1313 *γῆς* om. L : add. *l* 1315 *κρημνὸν* L *ἐκ δὲ* P 1317 *μέτα* L : *μετὰ* rell. 1318 *γέρων*] *στέλλων* L 1319 *λούσῃ*] *κλαύσῃ* L et *γρ.* M 1321 *εὐσεβεῖν* cf. Tro. 85 1322 *Κρέων* Brunck : *κρέον* codd. *δόμων ἔξω Κρέον* P 1324 *πῇ* L *ποίᾳ συμφορᾷ* F. G. Schmidt 1327 *παιδὸς* in rasura *l* 1334 *πᾶν*] *ἡμῖν* P

ΑΓΓΕΛΟΣ

ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον ἢ τίνας γόους;
Κρ. οἰχόμεσθ'· οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.
Αγ. ὦ τάλας, δισσῶς ἀυτῶ· μεγάλα γὰρ φέρω κακά.
Κρ. πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν. λέγεις δὲ τί;
Αγ. οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.
Κρ. αἰαῖ·
μεγάλα μοι θροεῖς πάθεα καὶ πόλει.
ὦ δώματ' εἰσηκούσατ' Οἰδίπου τάδε
παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;
Χο. ὥστ' ἂν δακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανεν.
Κρ. οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας,
[οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.]
Αγ. εἰ καὶ τὰ πρὸς τούτοισί γ' εἰδείης κακά.
Κρ. καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;
Αγ. τέθνηκ' ἀδελφὴ σὴ δυοῖν παίδοιν μέτα.
Χο. ἀνάγετ' ἀνάγετε κωκυ-
τόν, ἐπὶ κάρα τε λευκοπήχεις κτύπους χεροῖν.
Κρ. ὦ τλῆμον, οἷον τέρμον', Ἰοκάστη, βίου
γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
πῶς καὶ πέπρακται διπτύχων παίδων φόνος
ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
Αγ. τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς

1335 γόους Porson: λόγους codd., cf. 1309 1336 εὐπρόσωπος L ἀρχὴ M A V L *b* 1337 γὰρ om. A 1338 ἄλλοις om. P: ἄλλο *b* 1340 Κρ. L: Χο. rell. ἒ ἒ suprascr. M: ἒ ἒ P 1341 πάθεα] πένθεα L, fortasse recte 1342 Creonti tribuunt M A P: Nuntio V: nulla nota in L 1343 damnat Valckenaer 1344 ὥστ' ἂν δακρῦσαι Hartung (εἰ ἐφρόνει τὰ οἰκήματα ἐδάκρυσαν ἄν Σ): ὥστε δακρῦσαι A L: ὥστε δακρύσαι M B V: ὥστ' ἐκδακρῦσαι P ἐτύγχανεν M B: ἐτύγχανον A V L P *b* 1345 οἴμοι γε A: ὤ supra οἴ add. A[2] ξυμφορὰς M V βαρυποτμωτάτας M: βαρυποτμοτάτας rell. 1346 om. M B V L: in margine add. M B (vel M[2] B[2]) *v* ὤμοι P ὁ τάλας M *v* 1347 τούτοισιν εἰδείης P 1348 δυσποτμώτερα M A B: δυσποτμότερα M[2] V L P 1349 σῆι M μετά V P 1351 ἐπικρᾶτα γρ. M: ἐπὶ κράτα P χερῶν L 1352 τέρμ' A B[2] L P 1353 σφιγγὸς L sed γο in rasura scr. *l* · αἰνιγμοῖς Geel

οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί.
[ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.]
ἐπεὶ δὲ χαλκέοις σῶμ' ἐκοσμήσανθ' ὅπλοις
οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
ἔστησαν ἐλθόντ' ἐς μέσον μεταίχμιον
[δισσὼ στρατηγὼ καὶ διπλὼ στρατηλάτα]
ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός.
βλέψας δ' ἐπ' Ἄργος ἧκε Πολυνείκης ἀράς·
Ὦ πότνι' Ἥρα—σὸς γάρ εἰμ', ἐπεὶ γάμοις
ἔζευξ' Ἀδράστου παῖδα καὶ ναίω χθόνα—
δός μοι κτανεῖν ἀδελφόν, ἀντήρη δ' ἐμὴν
καθαιματῶσαι δεξιὰν νικηφόρον·—
[αἴσχιστον αἰτῶν στέφανον, ὁμογενῆ κτανεῖν.
πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης ὅση,
κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.]
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
βλέψας πρὸς οἶκον ηὔξατ'· Ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
ἐς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν
κτανεῖν θ' ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
ἐπεὶ δ' ἀφείθη πυρσὸς ὣς Τυρσηνικῆς
σάλπιγγος ἠχὴ σῆμα φοινίου μάχης,
ᾖξαν δράμημα δεινὸν ἀλλήλοις ἔπι·

1358 *δρώμεναι* M : corr. M² v. delevit Wecklein : *ὡς μὴ οὐχ* Donaldson, e Σ ut putabat, qui *ὥστε μὴ οὐχ* reddit, sed idem *λείπει τὸ μή* 1359 *χαλκοῖς σῶμ' ἐκόσμησαν* P (*ἐκόσμησαν θ'* M) 1360 cf. 1243 : v. delet Valckenaer *οἱ τοῦ*] *δισσοὶ* Hartung 1362 delet Barnes : *δισσώ τ' ἀδελφὼ* post Kingium Wecklein *καὶ δισσοὶ* L *στρατηλάται* primitus P 1363 *μονομάχου τ' γρ.* Σ in codd. deterioribus (idem voluit *υ, μονομάχου τὴν* suprascripto) : *μονομαχεῖν* M : *μονομαχοῦντ'* rell. : cf. Athen. p. 154 E 1364 *ἐπ'* M : *ἐς* B P : *εἰς* A V L : *ἐς* vel *εἰς* Σ 1369 *αἰτῶν* Canter (et codd. rec.) : *αἰτῶ* codd. et Σ 1369–1371 del. Valckenaer 1370 *τύχης* codd. et Σ : *εὐχῆς* Hermann *ὅσηι* M 1371 *διδόντες* A V L 1374 *ἐκ χερὸς* corruptum : *εὐστόχως* Wecklein 1376 om. cod. Thessalonicensis : cf. 756 *κτανεῖν*] *κτεῖναι γρ.* M 1378 *ἠχῆ* M *φονίου* M V L et primitus A 1379 om. M : add. M² *δρόμημα* codd. : corr. Cobet

κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν
ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
ἦσσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα, στόματι προφθῆναι θέλων.
ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
ὀφθαλμόν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ' ἱδρὼς
ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.
  Ἐτεοκλέης δὲ ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ' ἀπήντησεν δορί,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών,
κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ·
στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
ἐς δ' ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον
μέσον δ' ἄκοντ' ἔθραυσεν· ἐξ ἴσου δ' Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεὶρ' ἀπεστερημένοιν.
  ἔνθεν δὲ κώπας ἁρπάσαντε φασγάνων
ἐς ταὐτὸν ἦκον, συμβαλόντε δ' ἀσπίδας

1383 ἐξολισθάνοι Porson (et codd. recc. quidam): ἐξολισθαίνοι M A B L: ἐξολισθαίνη V P (sic) 1384 ὑπερσχὼν ἅτερος ἴτυος μάθη P 1386–1387 om. A: add. in margine 1386 κεγχρωμασιν codd. et Σ: κερχνώμασιν Valckenaer, cl. Hesych. (τὸν περὶ τὰς ἴτυς τῶν ἀσπίδων κόσμον) 1394 κνήμην V: κνήμης rell. διεπάρασσεν γρ. B (διεσπάρασσεν ut videtur O) 1395 ἀνήλαξε M δαναῶν V 1397 βίᾳ om. M 1398 κἀντέδωκεν Herwerden 1402 δ'] τ' noviciorum unus Kirchhoffii ἔθραυσ' M L 1403 ἀπεστερημένοιν Byzantini: ἀπεστερημένων O et sic reddit Σ: ἀπεστερημένοις codd. 1404 ἁρπάσαντε O: ἁρπάσαντες codd. cf. v. proximum 1405 ἦκον] τε ἦκον B συμβαλόντε P O: συμβάλλοντε M: συμβαλόντες A B V L

πολὺν ταραγμὸν ἀμφιβάντ᾽ εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς τὸ Θεσσαλὸν
ἐσήγαγεν σόφισμ᾽ ὁμιλίᾳ χθονός.
ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος,
προβὰς δὲ κῶλον δεξιὸν δι᾽ ὀμφαλοῦ
καθῆκεν ἔγχος σφονδύλοις τ᾽ ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.
ὃ δ᾽, ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν ἐσκύλευέ νιν
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ᾽· ἔτι γὰρ ἐμπνέων βραχύ,
σῴζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μέν, ἐξέτεινε δ᾽ εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
  γαῖαν δ᾽ ὀδὰξ ἑλόντες ἀλλήλων πέλας
πίπτουσιν ἄμφω κοὐ διώρισαν κράτος.
Χο. φεῦ φεῦ, κακῶν σῶν, Οἰδίπου, σ᾽ ὅσον στένω·
τὰς σὰς δ᾽ ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.
Αγ. ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ἐπεὶ τέκνω πεσόντ᾽ ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει
σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.

1407 θετταλὸν P 1410 ἀμφέρει V : ἀναφέρει rell. et voluit *v* ά supra έ scripto : cf. 297 1412 προσβὰς B : corr. *b* 1413 σπονδύλοις δ᾽ P 1414 πλευρὰ A B V et voluit *l* : πλευρὰν M L P : πλευρᾶν M² 1417 ἐς hic A P 1418 αὑτὸν Σ alter : αὐτὸν codd. et Σ 1422 del. Blaydes 1423 om. M : add. M² ἀλλήλοιν O 1425 Χο. om. L : τινὲς Κρέων Σ Οἰδίπου σ᾽ ὅσον στένω B² : οἰδίπου ὅσον στένω L P : Οἰδίπους, ὅσον στένω novicii quidam et γρ. ὅσον στένω M *v* : οἰδίπου σὸς ὢν στένω M A B V 1426 ἐκπλήσειν P 1427 δὴ νῦν codd. 1428 ἐλιπέτην M L ὡς γὰρ πεσόντε παῖδε λιπέτην βίον γρ. M : ὡς γὰρ τέκνω πεσόντε λιπέτην βίον γρ. B 1429 προσπίπτοι M 1430 del. Valckenaer

τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς
ᾤμωξεν· Ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι. προσπίτνουσα δ' ἐν μέρει τέκνα
ἔκλαι', ἐθρήνει, τὸν πολὺν μαστῶν πόνον
στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ·
Ὦ γηροβοσκὼ μητρός, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
φύσημ' ἀνεὶς δύσθνητον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρός, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὃ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν
γραῖάν τε μητέρ' εἶπε Πολυνείκης τάδε·
Ἀπωλόμεσθα, μῆτερ· οἰκτίρω δὲ σὲ
καὶ τήνδ' ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
θάψον δέ μ', ὦ τεκοῦσα, καὶ σύ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερί,
μῆτερ—τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι—
καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
  ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ', ὅπως ἐσεῖδε τήνδε συμφοράν,
ὑπερπαθήσασ', ἥρπασ' ἐκ νεκρῶν ξίφος
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος

1431 *καιρίους* M A B V : *καιρίας* L P   1433 *τέκνων* L   1434 *μαστῶν*] *μάτην* Nauck   1435 *θ'*] *δ'* A V   1437 *δ'*] *τ'* A   1438 *δύσθνητον* M : *δυσέκπνευστον* reddit Σ : *δύστλητον* rell.   1439 *ὑγρὰν* etiam Σ : *λυγρὰν* M² P   1440 *δ'* om. M   1442 *ὃ δ'* M B : *ὅδ'* B² rell.   1448 *πόλει θυμουμένη* V : corr. *v*   1449 *γοῦν*] *γρ. δὴ* Σ   1455 *ἐσεῖδε* hic M A V : *ἐπεῖδε* B   1456 *ἥρπασ' ἐκ νεκρῶν ξίφος* A V : *ἥρπασεν νεκρῶν ξίφος* M : *ἥρπασ' ἐκ νεκροῦ ξίφος* P et novicii nonnulli : *ἐκ νεκρῶν ξίφος ἥρπασε* L : *ἐκ νεκρῶν λάβε ξίφος* B

ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται περιβαλοῦσ᾽ ἀμφοῖν χέρας.
  ἀνῇξε δ᾽ ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
ἡμεῖς μὲν ὡς νικῶντα δεσπότην ἐμόν,
οἱ δ᾽ ὡς ἐκεῖνον. ἦν δ᾽ ἔρις στρατηλάταις,
οἱ μὲν πατάξαι πρόσθε Πολυνείκη δορί,
οἱ δ᾽ ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
  κἀν τῷδ᾽ ὑπεξῆλθ᾽ Ἀντιγόνη στρατοῦ δίχα.
οἱ δ᾽ εἰς ὅπλ᾽ ᾖσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ᾽ ἐξεπίμπλασαν
φεύγοντες, ἔρρει δ᾽ αἷμα μυρίων νεκρῶν
λόγχαις πιτνόντων. ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
οἱ μὲν Διὸς τροπαῖον ἵστασαν βρέτας,
οἱ δ᾽ ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν
σκυλεύματ᾽ εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ᾽ οἰκτίσαι φίλοις.
πόλει δ᾽ ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
τῇδ᾽ ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

Χο. οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία
δώματος ἥκει· πάρα γὰρ λεύσσειν
πτώματα νεκρῶν τρισσῶν ἤδη
τάδε πρὸς μελάθροις κοινῷ θανάτῳ
  σκοτίαν αἰῶνα λαχόντων.

1458 σὺν τέκνοις δὲ φιλτάτοις γρ. B 1459 ἄμφω τέκνα γρ. B 1460 ὀρθὸς] ὀρθῶς primitus V: ὀρθὸς ὁ L 1463 πολυνείκη B: πολυνείκην rell. 1464 πέλοι M A L v: πέλει B V P 1465 damnavit Valckenaer 1468 πεφαργμένον Dindorf 1473 τροπαῖον B²: τρόπαῖον A: τρόπαιον rell. 1477 φίλους L P 1478–1479 τῇ μὲν εὐτυχέστατοι οἵδ᾽ ἐξέβησαν, τῇ δὲ Kock e Σ, qui ὁ πόλεμος . . . πῇ μὲν εἰς καλὸν ἐκβέβηκεν αὐτῇ, πῇ δὲ εἰς τοὐναντίον 1482 σώματα γρ. V

Αν. οὐ προκαλυπτομένα βοτρυχώδεος
ἁβρὰ παρηίδος οὐδ᾽ ὑπὸ παρθενί-
ας τὸν ὑπὸ βλεφάροις φοίνικ᾽, ἐρύθημα προσώπου,
αἰδομένα φέρομαι βάκχα νεκύ-
ων, κράδεμνα δικοῦσα κόμας ἀπ᾽ ἐ-
μᾶς, στολίδος κροκόεσσαν ἀνεῖσα τρυφάν,
ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἰαῖ, ἰώ μοι.
ὦ Πολύνεικες, ἔφυς ἄρ᾽ ἐπώνυμος· ὤμοι μοι, Θῆβαι·
σὰ δ᾽ ἔρις—οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος—
Οἰδιπόδα δόμον ὤλεσε κρανθεῖσ᾽
αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα προσῳδὸν
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
δάκρυσι δάκρυσιν, ὦ δόμος, ὦ δόμος,
ἀγκαλέσωμαι,
τρισσὰ φέρουσα τάδ᾽ αἵματα σύγγονα,
ματέρα καὶ τέκνα, χάρματ᾽ Ἐρινύος;
ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε
δυσξυνέτου ξυνετὸν μέλος ἔγνω
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
ἰώ μοί μοι, πάτερ,
τίς Ἑλλὰς ἢ βάρβαρος ἢ

1485 *βοστρυχώδεος* codd. et Σ: corr. Byzantini 1488 *ἐρύθημα* del. Burges: habuit Σ 1489 *νεκρῶν* M 1491 *στολίδος . . . τρυφάν* Porson: *στολίδα . . . τρυφᾶς* (*τρυφάς* V: *τρυφῆς* L) codd. et Σ 1492 *αἰαῖ*] *αἶ αἶ αἶ αἶ* P 1494 *ὤμοι μοι*] *ὤμοι* M O *Θήβαις* Hermann 1495 *σὰ*] *σὺ* A (voluit *σὴ*) 1496 *κρανθεῖσ᾽* Σ: *κρανθείσ᾽* V: *κρανθεὶς* rell. et alter Σ 1497 sq. corrupti videntur 1498 *τίνα δὲ* P: *τίνα πρὸς ὠδόν* (*ὠδόν ἀντὶ τοῦ θρῆνον*) Σ unus: mirum metrum, sed cf. codd. 1501, 1557 ubi ditrochaei inter dactylos traditi 1500 *ὦ δόμος δόμος* P 1501 *ἀγκαλέσωμαι*] *ἀνακαλέσωμαι* v: *ἀνακαλέσομαι* codd. 1502 *τάδ᾽ αἵματα* Musgrave: *τάδε σώματα* codd. (*τάδε* om. A P): *φέρω τάδε σώματα* Wilamowitz 1503–1504 *ἐριννύων αἳ* L: corr. *l* 1504 *οἰδίποδος* B (et *οἰδίποδα* A V) *ὤλεσαν* L P: *αν* erasum in P 1506 *δυσξυνέτου* codd. (*ὰ* supra *ου* scr. M): *δυσξύνετον* Σ *ξυνετὸν* codd. et Σ: *ξυνετὸς* novicii quidam 1508 *μοί μοι*] *μοι* AP 1509 *Ἑλλὰς*] possis *Ἕλλαν* *ἢ βάρβαρος*] *τίς βάρβαρος* A

τῶν προπάροιθ' εὐγενετᾶν
ἕτερος ἔτλα κακῶν τοσῶνδ'
αἵματος ἁμερίου
τοιάδ' ἄχεα φανερά;
τάλαιν', ὡς ἐλελίζει—
τίς ἄρ' ὄρνις, ἢ δρυὸς ἢ
ἐλάτας ἀκροκόμοις ἀμφὶ κλάδοις ἑζομένα,
μονομάτορσιν ὀδυρμοῖς
ἐμοῖς ἄχεσι συνῳδός;
αἴλινον αἰάγμασιν ἃ
τοῖσδε προκλαίω μονάδ' αἰ-
ῶνα διάξουσα τὸν αἰεὶ χρόνον ἐν
λειβομένοισιν δάκρυσιν [ἰαχήσω].
τίν' ἐπὶ πρῶτον ἀπὸ χαί-
τας σπαραγμοῖς ἀπαρχὰς βάλω;
ματρὸς ἐμᾶς ἢ διδύμοι-
σι γάλακτος παρὰ μαστοῖς
ἢ πρὸς ἀδελ-
φῶν οὐλόμεν' αἰκίσματα νεκρῶν;

ὀτοτοτοῖ λεῖπε σοὺς

1510 *προπάροιθε* M : *προπάροιθεν* A B V P : *πάροιθεν* L *εὐγενετῶν* L 1511 *τοσῶνδ'*] *τόσων δι'* A B : corr. B² 1511–1513 lectio dubia 1512 *ἀμερίου* M V et primitus A 1514 *τάλαιν' ὡς ἐλελίζει τις ἄρ' ὄρνις . . . ἃ προκλαίω* interpungit Σ *ἀλαίνουσ' ἐλελιζομένα* Wecklein, h. v. in v. 1517 traiecto : sensus videtur : '*ut tremule canit—lusciniam, dico? immo quae tandem avium?*' 1515 *τίς τ' ἂρ* B 1515 sq. fortasse *ἢ κλάδοις . . . ἀμφ' ἐλάτας* : sed cf. Bac. 110, Hymn. Ven. 264 1516-1517 *μονομάτερος ὀδυρμοῖς ἀμφὶ κλάδοις ἑζομένα μονομάτορος ὀδυρμοῖς* A 1516 *ἀμφὶ* om. M 1517 *ἑζομένη* L : om. B, add. *b* *μονομάτορσιν* Wilamowitz : *μονομάτορος* L : *μονομάτερος* M B V P : pro nominativo habuit unus Σ 1519 *αἰλίνων* *b* : *αἴλίνων* (sic) *v* 1520 *προσκλαίω* P *μόνα δ'* M A B : corr. *b* 1522 *δακρύοισιν* novicii *ἰαχήσω* del. Burges 1524 *ἀπὸ*] *ἐπὶ* A P 1525 *σπαραγμοῖσιν* codd. (*σπαραγμοῖσιν ἀπαρχὰς* om. A) 1526 *ἢ* Wilamowitz : *ἐν* codd. 1527 *μαστοῖς* novicii : *μαστοῖσιν* codd. : *παγαῖς* Schenkl 1529 *νεκρῶν*] *δισσῶν* P et *γρ.* M 1530 *ὀττοτοῖ* semel L, bis V P : *ὀτυττοτοί* M : *ὀττοττυττοῖ* B : *ὀττυτοῖ ὀττυττοτοῖ* A *λίπε* A P : corr. A²

δόμους, ἀλαὸν ὄμμα φέρων,
πάτερ γεραιέ, δεῖξον,
Οἰδιπόδα, σὸν αἰῶνα μέλεον, ὃς †ἐπὶ
δώμασιν ἀέριον σκότον ὄμμασι†
σοῖσι βαλὼν ἕλκεις μακρόπνουν ζόαν.
κλύεις, ὦ κατ' αὐλὰν
ἀλαίνων γεραιὸν
πόδ' ἢ δεμνίοις δύ-
στανος ἰαύων;

ΟΙΔΙΠΟΥΣ

τί μ', ὦ παρθένε, βακτρεύμασι τυφλοῦ
ποδὸς ἐξάγαγες ἐς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων οἰκ-
τροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον ἢ
νέκυν ἔνερθεν ἢ
πτανὸν ὄνειρον;

Αν. δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ,
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος οὐδ' ἄλοχος, παραβάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
⟨ὦ⟩ πάτερ, ὤμοι.

Οι. ὤμοι ἐμῶν παθέων· πάρα γὰρ στενάχειν τάδ', ἀυτεῖν.
τρισσαὶ ψυχαί· ποίᾳ μοίρᾳ
πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.

1533 sq. fortasse ὃς ἐν δώμασιν . . . σκότον ἐπ' ὄμμασιν 1535 fortasse μακρόπνοον ζοάν V : ζωάν rell. 1537 πόδ' ἢ Schoene : πόδα codd. 1537–1538 δύστανον δεμνίοις P δύστανος L : δύστανον rell. 1540 ἐξήγαγες A B² P 1541 λεχήρει B : corr. B² 1542 δάκρυσι V 1543 αἰθέρος ἀφανὲς codd. et Σ : αἰθεροφανὲς Weil 1546 εἴσῃ Battier 1547 σοι] σῷ A 1548 παραβάκτροις O : παρὰ βάκτροις B P : ἃ παρὰ βάκτροις M A V : ἡ παρὰ βάκτροις L 1549 ἃ om. A γρ. τυφλὸν θεραπεύμασιν ἐμόχθει B 1550-1551 notam Οι. ante primum ὤμοι non ante alterum habent L P 1550 ὦ add. Hermann 1551 ὤμοι μοι ἐμῶν M B L : ὤ μοι ἐγὼ γρ. M : de V incert. τάδ' ἀυτῇ Wecklein : πάρα δ' ἄζειν Nauck 1553 ποίᾳ] γρ. μιᾷ B

Αν. οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπιχάρμασιν,
ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς,
ὦ πάτερ, ὤ μοι.
Οι. αἰαῖ. Αν. τί τάδε καταστένεις;
Οι. τέκνα. Αν. δι' ὀδύνας ἔβας·
εἰ δὲ τέθριππά γ' ἔθ' ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας—
Οι. τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν' ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;
Αν. δάκρυα γοερὰ
φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν ἔφερεν ἔφερεν
ἱκέτις ἱκέτιν ὀρομένα.
ηὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα λόγχαις,
κοινὸν ἐνυάλιον,
μάτηρ, ὥστε λέοντας ἐναύλους,
μαρναμένους ἐπὶ τραύμασιν, αἵματος
ἤδη ψυχρὰν λοιβὰν φονίαν,
ἂν ἔλαχ' Ἅιδας, ὤπασε δ' Ἄρης·
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φάσγανον εἴσω

1555 ὀνειδίσεσιν A ἐπὶ χάρμασιν A B 1556 σὸς Triclinius: ὁ σὸς codd. 1557 ξίφεσιν M: ξίφεσι rell. 1558 σχετλίαισι] φονίαισι γρ. B: φονίαις P 1559-1560 sic Hermann: ὦ πάτερ. Οι. ἰώ μοι, αἰαῖ fere codd. (ἰώ μοι bis A: ὤμοι ἐγὼ γρ. M) 1561 λείπει ἢ ἄν Σ: unde ἂν ἔβας novicii 1562 δὲ Wilamowitz: τὰ codd. ἔθ' Seidler: ἐς codd. 1566 μοι om. A 1567 φανερὰ γοερὰ P πᾶσι] παισὶ A 1569 ἱκέτιν (*tanquam feminam supplicem* M P): ἱκέτην A B L: ἱκέταν V ὀρομένα γρ. Σ: ὁρομένα M: ὁρωμένα A B v: αἰρομένα V B² Σ: αἰρομένα L P γρ. B γρ. M 1570 εὗρε codd. ἐν] ἐπ' Herwerden 1573 μῆρ L: μήτηρ P λέοντε συναύλω Porson 1575 φονίαν V L P: φοινίαν M A B v 1576 ἂν M: ἣν P ἀΐδας codd.

σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ᾽ ἀμφὶ τέκνοισι.
πάντα δ᾽ ἐν ἄματι τῷδε συνάγαγεν,
ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεὸς ὃς
τάδε τελευτᾷ.

Χο. πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
τόδ᾽ ἦμαρ· εἴη δ᾽ εὐτυχέστερος βίος.
Κρ. οἴκτων μὲν ἤδη λήγεθ᾽, ὡς ὥρα τάφου
μνήμην τίθεσθαι· τόνδε δ᾽, Οἰδίπου, λόγον
ἄκουσον· ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης παῖς σός, γάμων φερνὰς διδοὺς
Αἵμονι κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
οὐκ οὖν σ᾽ ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι·
σαφῶς γὰρ εἶπε Τειρεσίας οὐ μή ποτε
σοῦ τήνδε γῆν οἰκοῦντος εὖ πράξειν πόλιν.
ἀλλ᾽ ἐκκομίζου. καὶ τάδ᾽ οὐχ ὕβρει λέγω
οὐδ᾽ ἐχθρὸς ὢν σός, διὰ δὲ τοὺς ἀλάστορας
τοὺς σοὺς δεδοικὼς μή τι γῆ πάθῃ κακόν.
Οι. ὦ μοῖρ᾽, ἀπ᾽ ἀρχῆς ὥς μ᾽ ἔφυσας ἄθλιον
καὶ τλήμον᾽, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ·
ὃν καὶ πρὶν ἐς φῶς μητρὸς ἐκ γονῆς μολεῖν,
ἄγονον Ἀπόλλων Λαΐῳ μ᾽ ἐθέσπισεν
φονέα γενέσθαι πατρός· ὦ τάλας ἐγώ.
ἐπεὶ δ᾽ ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
κτείνει με νομίσας πολέμιον πεφυκέναι·

1578 ἔβαψεν P γρ. Σ: ἔβαλεν M: ἔπεμψεν A B V L ἄχει] ἄχ* M: ἄχη V: ἄγχι B² v 1579 ἄματι M: ἅματι V: ἤματι A B²: ἅμτι L: αἵματι P et fortasse primitus B nisi ἅματι habuit (ταύτῃ τῇ ἡμέρᾳ Σ) 1580 δώμασιν A V L 1582 inde ab hoc v. extrema pars fabulae suspecta Leidloffio, inde a 1643 Conradtio, inde a 1703 Verrallio, inde a 1723 Pollio, inde a 1740 Hartungio: cf. ad 1737 1582 ὑπῆρξεν Οἰδίπου κακῶν P οἰδιπόδου M δόμοις] δόμος V L: γρ. ἢ τέκνοις ἢ γένει Σ 1585 τόνδε δ᾽ . . . λόγον L: τῶνδε δ᾽ (τῶνδ᾽ V P) . . . λόγων rell. 1593 σός] σοι O 1597 μητρὸς om. L P: add. *l* post μολεῖν add. ποτε P 1598 Cf. Ar. Ran. 1184 1599 γρ. πατρὸς ὅς μ᾽ ἐγείνατο B: γρ. μητρί τ᾽ ἀναβῆναι λέχος idem in margine 1601 πεφυκέναι A P et γρ. Σ: δυσδαίμονα M B V L

χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ· πέμπει δέ με
μαστὸν ποθοῦντα θηρσὶν ἄθλιον βοράν·
οὗ σῳζόμεσθα—Ταρτάρου γὰρ ὤφελεν
ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
ὅς μ᾽ οὐ διώλεσ᾽, ἀλλὰ . . . . .
. . . . . . δουλεῦσαί τέ μοι
δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.
   κτανὼν δ᾽ ἐμαυτοῦ πατέρ᾽ ὁ δυσδαίμων ἐγὼ
ἐς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος,
παῖδάς τ᾽ ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
ἀρὰς παραλαβὼν Λαΐου καὶ παισὶ δούς.
οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ᾽ ἐγὼ
ὥστ᾽ εἰς ἔμ᾽ ὄμματ᾽ ἔς τ᾽ ἐμῶν παίδων βίον
ἄνευ θεῶν του ταῦτ᾽ ἐμηχανησάμην.
   εἶἑν· τί δράσω δῆθ᾽ ὁ δυσδαίμων ἐγώ;
τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
ἥδ᾽ ἡ θανοῦσα; ζῶσά γ᾽ ἂν σάφ᾽ οἶδ᾽ ὅτι.
ἀλλ᾽ εὔτεκνος ξυνωρίς; ἀλλ᾽ οὐκ ἔστι μοι.
ἀλλ᾽ ἔτι νεάζων αὐτὸς εὕροιμ᾽ ἂν βίον;
πόθεν; τί μ᾽ ἄρδην ὧδ᾽ ἀποκτείνεις, Κρέον;
ἀποκτενεῖς γάρ, εἴ με γῆς ἔξω βαλεῖς.
   οὐ μὴν ἑλίξας γ᾽ ἀμφὶ σὸν χεῖρας γόνυ
κακὸς φανοῦμαι· τὸ γὰρ ἐμόν ποτ᾽ εὐγενὲς
οὐκ ἂν προδοίην, οὐδέ περ πράσσων κακῶς.
Κρ. σοί τ᾽ εὖ λέλεκται γόνατα μὴ χρῴζειν ἐμά,
ἐγὼ δὲ ναίειν σ᾽ οὐκ ἐάσαιμ᾽ ἂν χθόνα.

1602 νιν om. M B   1606 ὥς μ᾽ M   μοι] με A   1606–1607 lacunam indicavi, cf. Σ ad loc.: δουλεύσοντά με Porson: ἀλλὰ δουλεῦσαι (τί μοι δαίμων;) ἔδωκε Bothe   1607 δέδωκε A   1608 δ᾽] θ᾽ B   1610 τ᾽] δ᾽ A   1613 ἐμὸν M   1614 του L: ἀντὶ τοῦ τινος Σ M Σ V: τοῦ M B V P (τοῦτ᾽ αὖ τ᾽ A)   1617 γ᾽ ἂν M V L P γρ. B: γὰρ A B   1618 ἔστ᾽ ἔτι Kirchhoff   1619 αὐτὸς om. V   1620 ἀποκτείνεις L P: ἀποκτενεῖς rell.   1621 del. Kirchhoff   1622 γ᾽ om. A V   χέρας Wecklein   1624 οὐδέ περ] καίπερ L   1625 Χο. praef. A: corr. A[2]   χρήζειν L   1626 ἐγώ τε V

νεκρῶν δὲ τῶνδε τὸν μὲν ἐς δόμους χρεὼν
ἤδη κομίζειν, τόνδε δ', ὃς πέρσων πόλιν
πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν
ἐκβάλετ' ἄθαπτον τῆσδ' ὅρων ἔξω χθονός.
κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ
ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
[ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς βοράν.]
σὺ δ' ἐκλιποῦσα τριπτύχους θρήνους νεκρῶν
κόμιζε σαυτήν, Ἀντιγόνη, δόμων ἔσω
καὶ παρθενεύου τὴν ἰοῦσαν ἡμέραν
μένουσ', ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.
Αν. ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἄθλιοι κακοῖς.
ὥς σε στενάζω τῶν τεθνηκότων πλέον·
οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ' οὐ βαρύ,
ἀλλ' εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
ἀτὰρ σ' ἐρωτῶ τὸν νεωστὶ κοίρανον·
τί τόνδ' ὑβρίζεις πατέρ' ἀποστέλλων χθονός;
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
Κρ. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε.
Αν. ἄφρονά γε, καὶ σὺ μῶρος ὃς ἐπίθου τάδε.
Κρ. πῶς; τἀντεταλμέν' οὐ δίκαιον ἐκπονεῖν;
Αν. οὔκ, ἢν πονηρά γ' ᾖ κακῶς τ' εἰρημένα.

1627 νεκρὼ δὲ τώδε Elmsley (νεκρῶν Σ) δὲ om. L 1628 ἤδη] δμῶας γρ. M γρ. v 1629 πολυνείκην χθόνα V et ους νέκυν in rasura P: κους et γρ. νέκυν v 1630 ἐκβάλλετ' L P 1631 κηρύξεται M B² et Σ M: κηρύξετε A V l: κηρύξατε B L P 1632 νεκρῶν L 1634 cf. Soph. Ant. 29: del. Valckenaer ἄκλαυτον L B: ἄκλαυστον rell. ἄθαπτον A P 1635 τριπτύχων νεκρῶν γόους γρ. M γρ. B θρήνους] τύπους A 1637 ἰοῦσαν l rasura facta: ἐπιοῦσαν B P: εἰσιοῦσαν M A V: τὴν ἑξῆς ἡμέραν Σ 1638 μένεῖ B P (sic) 1639 ἄθλιοι Barnes: ἀθλίοις codd.: ἀθέτοις H 1641 κακὸν primitus B 1643 αὐτὰρ M κοίρανον A B P et κοιρ in rasura scripto l: κοίραννον M: κύραννον V: τύραννον H 1647 μωρὸς M V ἐπίθου V L: ἐπείθου rell. 1648 τὰ τεταλμέν' P: corr. p οὐ] οὐχὶ L ἐκτελεῖν P 1649 Αν. om. V: add. v οὔ. ἢν πόνηρά γ' L

Κρ. τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
Αν. οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
Κρ. εἴπερ γε πόλεως ἐχθρὸς ἦν οὐκ ἐχθρὸς ὤν.
Αν. οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.
Κρ. καὶ τῷ τάφῳ νυν τὴν δίκην παρασχέτω.
Αν. τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
Κρ. ἄταφος ὅδ' ἀνήρ, ὡς μάθῃς, γενήσεται.
Αν. ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
Κρ. σαυτὴν ἄρ' ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
Αν. ἀλλ' εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
Κρ. λάζυσθε τήνδε κὰς δόμους κομίζετε.
Αν. οὐ δῆτ', ἐπεὶ τοῦδ' οὐ μεθήσομαι νεκροῦ.
Κρ. ἔκριν' ὁ δαίμων, παρθέν', οὐχ ἃ σοὶ δοκεῖ.
Αν. κἀκεῖνο κέκριται, μὴ ἐφυβρίζεσθαι νεκρούς.
Κρ. ὡς οὔτις ἀμφὶ τῷδ' ὑγρὰν θήσει κόνιν.
Αν. ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.
Κρ. μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.
Αν. σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα.
Κρ. ἓν τοῦτ' ἂν εἴη τῶν ἀπορρήτων πόλει.
Αν. ἀλλ' ἀμφὶ τραύματ' ἄγρια τελαμῶνας βαλεῖν.
Κρ. οὐκ ἔσθ' ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
Αν. ὦ φίλτατ', ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
Κρ. οὐ μὴ ἐς γάμους σοὺς συμφορὰν κτήσῃ γόοις.
Αν. ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
Κρ. πολλή σ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξῃ λέχος;
Αν. νὺξ ἆρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.
Κρ. εἶδες τὸ τόλμημ' οἷον ἐξωνείδισεν;

1650 ὅδε] ὅ γε B 1653 sic codd. et Σ 1654 νῦν codd. 1656 ἀνὴρ codd. μανθάνης A 1659 τοι] τι L P 1660 λάζοισθε M A² V κὰς] κεὶ M : κεὶς rell. 1662 ἃ] ὡς L 1663 κἀκεῖνο *l*, *o* in rasura 1667 λουτρὰ νεκρῷ A V 1668 ἓν ἂν τοῦτ' ἂν A 1671 στόμα γε] στόμα V : σῶμα cod. Thessal. σὸν] σῷ Verrall 1672 οὐ μὴ Kirchhoff : οὐκ codd. et Σ : σὺ δ' Wecklein γόου P 1673 σῷ παιδὶ P 1674 ποῖ φεύξῃ γὰρ ὁ λέχος H 1675 ἆρ' L : ἄρ' vel ἀρ rell. μ' om. A μία M V : corr. *v*

Αν. ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
Κρ. τί δ' ἐκπροθυμῇ τῶνδ' ἀπηλλάχθαι γάμων;
Αν. συμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
Κρ. γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
Αν. καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
Κρ. ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν, λίπε χθόνα.
Οι. ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
Αν. ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ;
Οι. μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
Αν. καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
Οι. πεσὼν ὅπου μοι μοῖρα κείσομαι πέδῳ.
Αν. ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα;
Οι. ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν.
Αν. οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
Οι. αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
Αν. οὔ, σωφρονούσῃ γ', ἀλλὰ γενναία, πάτερ.
Οι. προσάγαγέ νύν με, μητρὸς ὡς ψαύσω σέθεν.
Αν. ἰδού, γεραιᾶς φιλτάτης ψαῦσον χερί.
Οι. ὦ μῆτερ, ὦ ξυνάορ' ἀθλιωτάτη.
Αν. οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμοῦ κακά.
Οι. Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;
Αν. τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
Οι. πρόσθες τυφλὴν χεῖρ' ἐπὶ πρόσωπα δυστυχῆ.
Αν. ἰδού, θανόντων σῶν τέκνων ἅπτου χερί.
Οι. ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.

1682 λεῖπε V 1684 εἰ] ἢ B² δὲ om. P φεύγοις M et ut videtur Σ: φεύγεις rell. 1685 τἄμ' ἐγὼ rescr. *l*: τἀμὰ δὲ P 1687 ὅπα M πέδῳ M B V L: θανὼν A P O suprascr. V: de Σ non liquet 1688 ποῦ ex σοῦ corr. M 1689 ὄλωμ' M μ' om. A V *p*: habuit Σ ἓν δ'] ἦδ' γρ. Σ 1690 κἀμὲ δεῖ novicii: δεῖ κἀμὲ codd. 1691 αἰσχρὸν Valckenaer (αἰσχρὰ Σ) πατρὶ τυφλῷ V L P 1692 γ' rescr. vel corr. *l* γενναίαι M et primitus B: γενναῖον Valckenaer 1693 πρόσαγε P 1694 γεραιᾶς] παρειᾶς F. G. Schmidt 1695 ξυνάορ' M A P B² *v*: ξυνάορ B V L: ξυνᾶορ *l* 1697 πτῶμα] σῶμα suprascr. B² 1698 κείσθω primitus V P ἀλλήλων A 1699 χεῖρ' M B V P: χέρ' A L 1701 ἄθλι' om. et post πατρὸς add. τέκνα P

Αν. ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
Οι. νῦν χρησμός, ὦ παῖ, Λοξίου περαίνεται.
Αν. ὁ ποῖος; ἀλλ' ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
Οι. ἐν ταῖς 'Αθήναις κατθανεῖν μ' ἀλώμενον.
Αν. ποῦ; τίς σε πύργος 'Ατθίδος προσδέξεται;
Οι. ἱερὸς Κολωνός, δώμαθ' ἱππίου θεοῦ.
ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρί,
ἐπεὶ προθυμῇ τῆσδε κοινοῦσθαι φυγῆς.

Αν. ἴθ' ἐς φυγὰν τάλαιναν· ὄρεγε χέρα φίλαν,
πάτερ γεραιέ, πομπίμαν
ἔχων ἔμ' ὥστε ναυσίπομπον αὔραν.
Οι. ⟨ἰδοὺ⟩ ἰδού, πορεύομαι·
τέκνον, σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
Αν γενόμεθα γενόμεθ', ἄθλιαί
γε δῆτα Θηβαιᾶν μάλιστα παρθένων.
Οι. πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ', ὦ τέκνον.
Αν. τᾷδε τᾷδε βᾶθί μοι,
τᾷδε τᾷδε πόδα τιθείς,
ὥστ' ὄνειρον ἰσχύν.
Οι. ἰὼ ἰώ, δυστυχεστάτας φυγὰς
ἐλαύνων τὸν γέροντά μ' ἐκ πάτρας.

1702 δῆτ' ὄμμα Purgold 1705 μ' om. L ἀλώμενον M P et primitus L 1707 δῶμα θ' A P ἱππείου M B V L Σ 1708 τῷδ'] τῶι M πατρί] ποδί L 1710 χεῖρα codd. 1712 ἔχ' εμ P (sic) 1714 ἰδού duplicavi, metri causa 1715 σύ μοι A B et puto V : σύ μου M : σὺ L P ποδαγὸς] ποδηγὸς A B[2] : ποδαγωγὸς P[2] ἀθλίου L, sed α supra ου scripto 1716 γενόμεθα γενόμεθ' M B L : γενόμεσθα γενόμεσθ' V P et commendat ('Αττικῶς μετὰ τοῦ σ̄) Σ : γενόμεσθ' ἐγενόμεσθ' A ἄθλιαι codd. et Σ : ἄθλιοι Porson 1717 δῆτα om. P θηβαῖαν M : θηβαιὰν B : θηβαίων vel θηβαιῶν rell. παρθένων P O : παρθένων δή rell. 1718 γηραιὸν L 1721 sic (sed τίθει) M V : τᾷδε τᾷδε πόδα τίθει πάτερ A B : τᾷδε τᾷδε τίθει πόδα L : τᾷδε πόδα τίθει πάτερ P τιθείς scripsi ob synapheam : τίθει codd. 1722 Οι. praescr. V : corr. v ἰσχύν Hermann e Σ : ἰσχὺν ἔχων codd. (ἔχων ἰσχύν A) 1723 ἰὼ ἰὼ δεινᾶς P : cf. 1725 : ἰὼ δεινᾶς O φυγᾶς codd. 1724 ἐλαύνων] ἀλαίνειν Musgrave

ἰὼ ἰώ, δεινὰ δείν' ἐγὼ τλάς.
Αν. τί τλάς; τί τλάς; οὐχ ὁρᾷ Δίκα κακούς,
οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
Οι. ὅδ' εἰμὶ μοῦσαν ὃς ἐπὶ καλ-
λίνικον οὐράνιον ἔβαν
⟨μειξο⟩παρθένου κόρας
αἴνιγμ' ἀσύνετον εὑρών.
Αν. Σφιγγὸς ἀναφέρεις ὄνειδος.
ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
τάδε σ' ἐπέμενε μέλεα πάθεα
φυγάδα πατρίδος ἄπο γενόμενον,
ὦ πάτερ, θανεῖν που.

ποθεινὰ δάκρυα παρὰ φίλαισι παρθένοις
λιποῦσ' ἄπειμι πατρίδος ἀποπρὸ γαίας
ἀπαρθένευτ' ἀλωμένα.
φεῦ τὸ χρήσιμον φρενῶν
ἐς πατρός γε συμφορὰς
εὐκλεᾶ με θήσει·
τάλαιν' ἐγὼ ⟨σῶν⟩ συγγόνου θ' ὑβρισμάτων,
ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται
μέλεος, ὅν, εἴ με καὶ θανεῖν, πάτερ, χρεών,
σκότια γᾷ καλύψω.
Οι. πρὸς ἥλικας φάνηθι σάς.

1725 δεινὰ δεῖν' ἐγὼ τλάς P (sic): δεινὰ ἐγὼ τλάς M B V: ἐγὼ δεινὰ τλάς A L 1727 om. P 1729 οὐράνιον A P O: οὐράνιόν τ' rell. et suprascr. A 1730 μειξοπαρθένου Wilamowitz: παρθένου codd. κόρης A 1731 αἴνιγμα συνετὸν P 1734 τὰ δέ M V 1736 ποι P 1737–1763 dittographiam loci 1710–1736 seclusit Wilamowitz 1738 ἄποπρο vel ἀπόπρο vel ἄπο πρὸ codd. 1739 ἀλωμένα M ante 1740 Oed. et ante 1741 Ant. notas habent codd.: sed τινὲς καὶ τοῦτο (sc. 1740) τῆς Ἀντιγόνης Σ φεῦ] φεῦ φεῦ L 1741 εἰς mut. in εἰ A συμφορᾶς M 1742 με θήσει Σ (δόξαν ἀποίσομαι ὡς φρονίμη) et, ut videtur, A: μεθήσει M B V: με θήση L: με θήσειν P 1743 σῶν Matthiae e Σ (ἕνεκα τῶν σῶν κακῶν καὶ τῶν τοῦ ἀδελφοῦ Π. ὕβρεων): om. codd. 1744 ἄθαπτος οἴχεται νέκυς L: ἄθαπτος νέκυς οἴχεται P 1745 καὶ θανεῖν M A B V: κατθανεῖν L P χρέω M et suprascr. ν 1746 σκότια Hermann: σκοτία vel σκοτίᾳ codd. γῇ L 1747–1749 fortasse sic transponendi 1749, 1748, 1747

Αν. ἅλις ὀδυρμάτων ἐμῶν.
Οι. σὺ δ' ἀμφὶ βωμίους λιτὰς . . .
Αν. κόρον ἔχουσ' ἐμῶν κακῶν.
Οι. ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε σηκὸς
ἄβατος ὄρεσι μαινάδων.
Αν. Καδμείαν ᾧ νεβρίδα
στολιδωσαμένα ποτ' ἐγὼ Σεμέλας
θίασον ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
χάριν ἀχάριτον ἐς θεοὺς διδοῦσα;
Οι. ὦ πάτρας κλεινῆς πολῖται, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω καὶ μέγιστος ἦν ἀνήρ,
ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη,
νῦν ἄτιμος αὐτὸς οἰκτρὸς ἐξελαύνομαι χθονός.
ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.

Χο. ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

1749 Οι. add. vel rescr. M[2] ἀμφιβωμίοις λιταῖς Wecklein 1751 verba Οι. ἴθ' rasura deleta in P : Chorum non loqui monet Σ μαινάδος B : corr. B[2] 1753 Αν. om. L P καδμείων primitus B ᾧ] ὠ* M : corr. M[2] : *ῶ* B : ὠὴ L : ἰωὴ O : (ᾧ Σ) 1754 στολισαμένα A L P v 1755 σεμέλης L 1756 οὔρεσιν P 1757 ἀχάριστον codd. : corr. Elmsley 1758–1759 del. Valckenaer : cf. Soph. O. T. 1524 sq. 1758 Οι. om. L κλεινῆς novicii : κλεινοὶ codd. 1759 ἔγνω] ἔγνων V 1760 κατέσχον] κατέσχε P κατέσχον· ἐνίκησα ἢ ἔγνων Σ B κράτη] γρ. κάρα Σ B 1761 νῦν δ' P οἰκτρῶς novicii 1762 ἀλλὰ γὰρ P : ἀτὰρ rell. : ἀλλὰ supra ἀτὰρ scr. B[2] 1763 ἐκ θεῶν om. P 1764 Χο. om. M L : add. M[2] *l* 1766 καὶ om. L : erasum in P λόγοις primitus, ut videtur, B in fine εὐριπίδου φοίνισσαι M : τέλος εὐριπίδου φοινισσῶν A : τέλος τῶν φοινισσῶν εὐριπίδου B : τέλος φοινισσῶν εὐριπίδου P : subscriptio deest in V L : τέλος τοῦ τῶν φοινισσῶν δράματος εὐριπίδου ut videtur *l*

ΟΡΕΣΤΗΣ

ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ

Ὀρέστης τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν· μητροκτονῆσαι δὲ τολμήσας παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον Ἀργεῖοι κοινὴν ψῆφον ἐκφέρεσθαι περὶ τοῦ τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθεν. καὶ παρακαλούμενος ὑπ' Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. . . . ἐπαγγειλάμενος αὐτὸν ἐκ τοῦ βίου προΐεσθαι. συνὼν δὲ τούτοις ὁ Πυλάδης, φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ' αὐτῶν, ἐπεβάλλετο τὰ βασίλεια πορθεῖν· οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τὸν φόνον Ἄργους ἄρχειν. MABV

Argumenta om. L: primum om., alterum mutilum exhibet P. Minutias neglexi 1 μεταπορευόμενος καὶ ἐκδικῶν F: et ἐκδικῶν supra in margine habet B 5 τί δεῖ om. codd.: add. recc. τοὺς ἀσεβήσαντας M 7 sq. αὐτὸς δὲ μεθ' ἡμέραν εἰσῆλθε B 10 lacunam indicavit Porson: supplet ex. gr. ὃς τὴν καταδίκην παρῃτήσατο Paley: ἐπαγγειλάμενον ἑαυτὸν B (et F) 16 ἐπεβάλλετο M: ἐπεβάλετο B: ὑπεβάλετο A: ἐπέβαλε V 18 ὀρέστην MV 19 πυλάδην V ἠλέκτρα MV συνοικῆσαι codd.: corr. Brunck

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δειματούμενος καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην ἀνθ᾽ ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησε, διεκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ᾽ οὐδενὶ κεῖται ἡ μυθοποιία.

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα.

τὸ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματός ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτως γὰρ ἂν μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον προσκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς ⟨οὕτω⟩ διασκευάσαι· διηγέρθη γὰρ ἂν Ὀρέστης, ἄρτι καὶ μόγις καταδραθείς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησιν Ἠλέκτρα· ‘σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης’. πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως.

Τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι· πλὴν γὰρ Πυλάδου πάντες φαῦλοι ἦσαν. MABV[P]

Alterius argumenti verba Ὀρέστης . . . τὴν καταστροφήν habet P observationibus metricis mixta: cetera om. Ordinem codicis M habes: in V scripta sunt primo ἡ μὲν σκηνὴ . . . Ἠλέκτρα, tum reliqua: in B Ὀρέστης . . . μυθοποιία et τὸ δρᾶμα . . . διαθέσεως scholii instar in margine: in A Ὀρέστης . . . μυθοποιία omissa   1 ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις B: ἄλλως M: om. AVP   5 οὐδετέρῳ Dindorf μυθολογία MV   12 κάμνων ὑπὸ μανίας καὶ κείμενος Nauck   14 γὰρ ἂν post Nauckium Wecklein: δὲ codd.: cf. ad v. 16   15 πλησιέστερον B   προσκαθεζομένη A et Thessalonicensis: οὕτως προσκαθεζομένη MBV   16 οὕτω add. Wecklein   γὰρ ἂν MAB: δὲ V   17 πλησιέστερον B: ἐγγὺς V   18 σίγα σίγα λεκτὸν M: σίγα σίγα λευκὸν B: cf. ad Or. 140   22 φαῦλοί εἰσιν Nauck

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

Ηλεκτρα	Πυλαδης
Ελενη	Αγγελος
Χορος	Ερμιονη
Ορεστης	Φρυξ
Μενελαος	Απολλων
Τυνδαρεως	

Sic P : om. L : alium ordinem MAV :

ἠλέκτρα	πυλάδης	ἑλένη
ἄγγελος	χορός	ἑρμιόνη
ὀρέστης	φρύξ	μενέλαος
ἀπόλλων	τυνδάρεως	

Electrae nomen om. A

Acta anno A. C. 408 : vid. Σ ad v. 371 : iterum anno 341 : vid. CIA. ii. 973 vv. 13 et 18 παλαιᾷ· Νεοπτόλ[εμος] Ὀρέστῃ Εὐριπίδου : cf. ad Phoen. et Iph. Aul. initia : nonnulla interpolata videntur ab histrionibus. Codices M A B V L P : accedit vv. 338–344 Π itemque vv. 1062–1090 : raro memorantur H O F Haun. et cod. Thessalonicensis de quo egit Papageorgius in Athen. 1881. I. p. 286 sqq.

ΟΡΕΣΤΗΣ

ΗΛΕΚΤΡΑ

Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος
οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος—κοὐκ ὀνειδίζω τύχας—
Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται· καὶ τίνει ταύτην δίκην,
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν
κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
οὗτος φυτεύει Πέλοπα, τοῦ δ' Ἀτρεὺς ἔφυ,
ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ
ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
θέσθαι. τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ;
ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ἀτρεύς.
Ἀτρέως δέ· τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας·
ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.

Εὐριπίδου Ὀρέστης inscripta est haec fabula in M A B V: *εὐριπίδου Ἠλέκτρα* in L P, unde Electram vocat Schol. Aristidis iii. p. 603, 6
1 Electrae notam om. M: add. M² 2 *συμφορὰ θεήλατος* M² B² V² rell. (*ξυμφορὰ* L P) et *γρ.* Σ, cum plerisque qui hunc locum citant scriptoribus: *συμφορὰν θεήλατον* M B V Σ: *συμφορὰν δαιμόνιον* codd. Dionis Chrys. iv. p. 82: cf. Stob. fl. 98, 42 3 *ἀνθρώπων* M et Lucian. Ocyp. 167: *ἡ τῶν βροτῶν φύσις* Σ 6 *κορυφῆς*] *κεφαλῆς* Dio Chrys. vi. p. 55 7 *δίκην ταύτην* V 12–15 delet Klinkenberg, v. 17 *ἄναξ* pro *ἔφυ* scribens 13 *ἔριν*] *γρ.* *Ἔρις* Σ: fortasse *αἴρειν*, vv. 14, 15 deletis 15 *οὔ* M: *οὖ* B: corr. M² B² 18 *μενέλαος ἐκ κρήσσης τε μρς ἀερόπης* L: *κρήσσης τε μενέλαος μρς ἀερόπης ἄπο* P sed super *μενέλαος* β′ super *μρος* α′ scripto fortasse Μενέλας, cf. Hel. 131, Tro. 212, Rhes. 258

γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλαος Ἑλένην, ὁ δὲ Κλυταιμήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·
ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγώ,
ἄρσην δ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,
ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
ἔκτεινεν· ὧν δ' ἕκατι, παρθένῳ λέγειν
οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
πείθει δ' Ὀρέστην μητέρ' ἥ σφ' ἐγείνατο
κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
ὅμως δ' ἀπέκτειν' οὐκ ἀπειθήσας θεῷ·
κἀγὼ μετέσχον, οἷα δὴ γυνή, φόνου.
[Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.]
ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ [νοσεῖ]
τλήμων Ὀρέστης ὅδε πεσὼν ἐν δεμνίοις
κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
ἕκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς
θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας,
ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω
κρυφθείς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,

20 *μενέλαος* L P : *μενέλεως* M A B V : *Ἑλένην Μενέλεως* Hermann : cf. 1196 *Κλυταιμνήστρας* codd. : non notatur amplius 24 *δ'* Elmsley : *τ'* codd. 26 *ἔκτανεν* V *παρθένον* L P cum Alex. Rhet. viii. p. 540 Walz. 27 *ἐῶ τοῦτ'*] *ῶ τ* in rasura scr. M² 30 *φέρων* M : corr. M² : *φέρον* certe Σ, fortasse et *φέρων* (*οἱ μὲν γὰρ ἐπῄνουν αὐτὸν οἱ δ' οὔ*) 31 *ἀπιθήσας* M B : corr. M² : *ἀπιστήσας* anonymus 33 del. Herwerden 34 *σῶμα συντακεὶς νόσῳ* Wecklein : *ἀγρίῳ συντακεὶς νοσήματι* Hirzel : maluit *πεσών τ'* v. sequenti Reiske 35 *ὅδε* M² : *ὁ δὲ* M A B V : *οὐδὲ* L in rasura : *ὃς* P 38 *εὐμενίδας* scripsi, cf. Σ : volgo *Εὐμενίδας* : v. delet Nauck, omisit tum in ima pagina restituit P 39 *δὲ δὴ* om. L 40 *πῦρ* M : corr. M² *καθήγνισται* codd. et Σ : *καθήγισται* Scaliger 42 *χλανίδων* P

ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
πηδᾷ δρομαῖος, πῶλος ὣς ὑπὸ ζυγοῦ.
ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις,
μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινα
μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι.
[ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.]
ἐλπίδα δὲ δή τιν' ἔχομεν ὥστε μὴ θανεῖν·
ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ
ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθῃ βολάς,
προύπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
κλαίουσ' ἀδελφὴν συμφοράν τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδόν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

45 ὑπὸ Herwerden ex Athen. p. 108 B : ἀπὸ codd. et Σ 46 τόδε M : corr. M² 46, 47 verba μήθ' . . . δέχεσθαι om. A 47 μήτε] μηδὲ Elmsley (et A) 51 θήξαντ' L et Σ (δυικῶς τὸ θήξαντε) : θήξαντος M : θήξαντας M² rell. : v. del. Nauck 52 δὲ om. A δή om. M 53 Μενέλαος B Τροίης L 54 Ναυπλίειον A V L² : ναύπλιον M B L P 56 ἅλαισι B L P 58 ὑφιλίῳ M 59 πέτρῶν B : πετρῶν M L P ἔλθοι V 67 εἴσοδον codd. : corr. Musgrave 69 ὠχούμεθ' M

ΕΛΕΝΗ

ὦ παῖ Κλυταιμήστρας τε καὶ Ἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς
τλήμων Ὀρέστης μητρὸς ὅδε φονεὺς ἔχει;
προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
ἐς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένω γε τὸν Κλυταιμήστρας μόρον,
ἐμῆς ἀδελφῆς, ἥν, ἐπεὶ πρὸς Ἴλιον
ἔπλευσ' ὅπως ἔπλευσα θεομανεῖ πότμῳ,
οὐκ εἶδον, ἀπολειφθεῖσα δ' αἰάζω τύχας.

Ηλ. Ἑλένη, τί σοι λέγοιμ' ἂν ἅ γε παροῦσ' ὁρᾷς;
[ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος δόμον]
ἐγὼ μὲν ἄυπνος πάρεδρος ἀθλίῳ νεκρῷ
—νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς—
θάσσω· τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά.
σὺ δ' εἶ μακαρία μακάριός θ' ὁ σὸς πόσις.
[ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας]
Ελ. πόσον χρόνον δ' ἐν δεμνίοις πέπτωχ' ὅδε;
Ηλ. ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
Ελ. ὢ μέλεος· ἡ τεκοῦσά θ', ὡς διώλετο.
Ηλ. οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκεν κακοῖς.
Ελ. πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοί τι, παρθένε;
Ηλ. ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ.
Ελ. βούλῃ τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
Ηλ. μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;

71 κἀγαμέμνονος codd. 74 ἔχει Heath: ἔφυ codd.: v. delet Kirchhoff 79 ὅπως Σ (et B[2]): ὅπως δ' codd. 81 ἅ γε καὶ M A B 82 γόνον codd. et Σ (non antiquissimus): δόμον Kirchhoff: sed maluit v. delere 86 εἶ M A B L *v p* Σ, quo recepto v. 87 delet Wecklein: ἡ V P *l* 87 ἥκετον codd. et Σ: ἥκεις Eustath. Il. p. 146, 12, p. 809, 36, Od. p. 1856, 14 88 δ' ἐν Musgrave, cf. 35: δὲ codd. ὧδε M: corr. M[2] 89 in textu omissum in margine add. M 91 ἀπείρηκεν M et Σ: ἀπείρηκ' ἐν A B L P: ἀπείρηκα V 92 τι om. A 93 ὡς codd. et Σ: ὅσ' Herwerden προσεδρείᾳ V 94 κασιγνήτας A B: corr. B[2]

Ελ. κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσ' ἐμάς.
Ηλ. σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλων στείχειν τάφον;
Ελ. δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
Ηλ. ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
Ελ. ὀρθῶς ἔλεξας, οὐ φίλως δ' ἐμοὶ λέγεις.
Ηλ. αἰδὼς δὲ δὴ τίς σ' ἐς Μυκηναίους ἔχει;
Ελ. δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
Ηλ. δεινὸν γάρ· Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.
Ελ. σύ νυν χάριν μοι τὸν φόβον λύσασα δός.
Ηλ. οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.
Ελ. αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
Ηλ. τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
Ελ. ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
Ηλ. καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
Ελ. ὀρθῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη.
[καὶ πέμψομέν γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.]
ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος
καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν κόμας τ' ἐμάς·
ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμήστρας τάφον
μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην,
καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σόν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον. πρευμενῆ δ' ἄνωγέ νιν
ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν

96 ἐμᾶς L 97 σοι δ' οὐ A θεμιστὸν primitus M φίλων M² A B V L: φίλον M P *v l* 99 γε om. V 100 ὀρθῶς] σὺ δ' εὖ V δ' ἐμοὶ V et, ut videtur, Σ: δέ μοι rell. ὀρθῶς γε λέξασ' οὐ φίλως ἐμοὶ Porson 101 δὴ om. M A τίς] τί V: corr. *v* 103 τ' codd. et Σ: γ' Matthiae: Ἄργει καταβοᾷ Canter 104 λύσας M: corr. M² 107 τί δ' οὐ L 109 τεθνηκυίᾳ L *b*: τεθνηκυίῃ rell. 110 ὀρθῶς] καλῶς V 111 dittographiam del. Matthiae καὶ] ναί, Paley πέμψομεν M B V: πέμψομαι A L P *b v* θυγατέρα γ' V τοι om. A vv. 111, 112 paragraphi praepositi in L ut 88–110 112 πάρος δόμων L 115 ante γάλακτος littera erasa in M οἰνοπόν M B: corr. *b* ἄχνης V: corr. *v* 118 τὸ σὸν L 119 Ἀργείων M V P πρευμενῆ γρ. Σ: εὐμενῆ codd.

τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμέ,
ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
  ἴθ', ὦ τέκνον μοι, σπεῦδε καὶ χοὰς τάφῳ
δοῦσ' ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
Ηλ. ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακόν,
σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
εἴδετε παρ' ἄκρας ὡς ἀπέθρισεν τρίχας,
σῴζουσα κάλλος; ἔστι δ' ἡ πάλαι γυνή.
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας
καὶ τόνδε πᾶσάν θ' Ἑλλάδα.
  ὦ τάλαιν' ἐγώ·
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
  [ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
φιλία γὰρ ἡ σὴ πρευμενὴς μέν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι συμφορὰ γενήσεται.]

ΧΟΡΟΣ

σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης [στρ. α'
  τίθετε, μὴ κτυπεῖτ'.
Ηλ. ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.

121 τοῖνδ'] τοῖντ' primitus M : τοῖντ' δ' M[1] 122 ἐμέ L O : ἐμήν P, sed ην in rasura : ἐμήν M A B V : utrumque Σ 123 νερτέρων μειλίγματα Wecklein, cl. Aesch. Cho. 15 127 σωτήριος V 128 ἴδετε L et Σ Aesch. Ag. 541 παρ'] γὰρ Duport ἀπέθριξε L P et Σ Aesch. τρίχι A sed ας suprascripto 130 μισήσειεν M 136–139 dittographiam secl. Wilamowitz : non noverant ii qui 140 sqq. Electrae dabant 137 μὴ κτυπεῖτε V 140 Choro tribuunt codd., Electrae Dionys. de comp. verb. c. 11, Diog. L. vii. 172 ; cf. Argumentum alterum, v. 18 σῖγα σῖγα P : σίγα σίγα rell. λεπτὸν M A L P Σ : λευκὸν B V γρ. Σ fortasse recte 141 τίθετε Porson : τιθεῖτε M A B L P : ψοφεῖτε V κτυπεῖτ' Dionys. l. c. : κτυπεῖτε μηδ' ἔστω κτύπος codd. : cf. 137 : μὴ ψοφεῖτε μὴ 'στω κτύπος Elmsley : cf. v. antistrophicum 142 ἀπόπρο βᾶτ' V L P Σ : ἄπο προβᾶτ' rell.

Χο. ἰδού, πείθομαι.
Ηλ. ἆ ἆ σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
Χο. ἴδ', ἀτρεμαῖον ὡς ὑπόροφον φέρω
βοάν. Ηλ. ναί, οὕτως·
κάταγε κάταγε, πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθι·
λόγον ἀπόδος ἐφ' ὅ τι χρέος ἐμόλετέ ποτε.
χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται.

Χο. πῶς ἔχει; λόγου μετάδος, ὦ φίλα· [ἀντ. α′
τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
Ηλ. ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστένει.
Χο. τί φῄς; ὦ τάλας.
Ηλ. ὀλεῖς, εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χάριν.
Χο. μέλεος ἐχθίστων θεόθεν ἐργμάτων,
τάλας. Ηλ. φεῦ μόχθων.
ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν ἔλακεν, ἀπό-
φονον ὅτ' ἐπὶ τρίποδι Θέμιδος ἄρ' ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.

Χο. ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας. [στρ. β′
Ηλ. σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ' ἔβαλες ἐξ ὕπνου.
Χο. εὕδειν μὲν οὖν ἔδοξα.
Ηλ. οὐκ ἀφ' ἡμῶν, οὐκ ἀπ' οἴκων

145 ἆ ἆ V 147 ἀτρεμαῖον M B V^2 : ἀτρεμαῖαν M^2 A V L P *b* ὑπόροφον primitus L : ὑπώροφον L^2 rell. 148 βοάν] βάσιν Wecklein 150 λόγον δ' V 153 λόγον δ' ἀπόδος A 154 Ηλ. notam praef. codd., non ante 155 : corr. Seidler : cf. stropham τίνα δὲ συμφοράν ; delet Schenkl : cf. v. 141 155 ἀνασθμαίνει Musgrave 158 βλέφαρα] βλεφάρων suprascr. A 159 ὕπνου] ὕπνον suprascr. A χάριν A^2 : χαράν A rell. (τὸ βαθύτατον τοῦ ὕπνου Σ) 160, 161 ὦ μέλεος . . . ὦ τάλας codd. : corr. Byzantini 161 Ηλ. notam hic posuit Seidler : ante v. sequentem codd. 162 ἄδικος] ἆ ἄδικος A B : ὦ ἄδικος A^2 165 ὁ om. L P μητέρος M V 166 Χο. om. A 168 θωΰξασ'] γρ. ἐλάσασα Σ M (corrupte : voluit fortasse λακήσασα) 169 μὲν οὖν] νιν οὐκ Herwerden

πάλιν ἀνὰ πόδα σὸν εἰλίξεις
μεθεμένα κτύπου;
Χο. ὑπνώσσει. Ηλ. λέγεις εὖ.
πότνια, πότνια νύξ,
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι, μόλε μόλε κατάπτερος
τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεθ', οἰχόμεθα. κτύπον ἠγάγετ'· οὐχὶ σῖγα
σῖγα φυλασσομένα στόματος
ἄνα κέλαδον ἀπὸ λέχεος ἥ-
συχον ὕπνου χάριν παρέξεις, φίλα;

Χο. θρόει τίς κακῶν τελευτὰ μένει. [ἀντ. β'
Ηλ. θανεῖν ⟨θανεῖν⟩, τί δ' ἄλλο;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
Χο. πρόδηλος ἆρ' ὁ πότμος.
Ηλ. ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.
Χο. δίκᾳ μέν. Ηλ. καλῶς δ' οὔ.
ἔκανες ἔθανες, ὦ

171 ἐλίξεις L P 171, 172 μεθεμένα κτύπου πόδα σὸν εἰλίξεις; Porson 174 Choro tribuunt A B V L P: Electrae continuant M et Σ ὦ πότνια πότνια L 175 πολυστόνων H 179 ἀγαμεμνόνιον A²: ἀγαμεμνόνειον A rell. γρ. ἐπὶ δόμων M (corrupte, puto): γρ. γόνον v 181 διοιχόμεσθ' οἰχόμεσθα codd. ante κτύπον paragraphum habet L, Electrae notam A V B²: καὶ τοῦτο κατ' ἀναφώνησιν λέγει ἡ Ἠλέκτρα Σ M Σ B ante οὐχὶ Chori notam, ante σῖγα Electrae M² A P: idem voluit L, sed paragraphum ante σῖγα om.: cf. ad 174 185 διὰ στόματος L ἄνα (*retro*) scripsi: ἀνὰ fere codd.: ἀνακέλαδον uno verbo A V ἀπὸ vel ἄπο codd. et Σ: ἀποπρὸ Musgrave 186 χάριν fortasse Σ (τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν): χαράν codd. φίλα] ὦ φίλα codd. 188 θανεῖν bis Lachmann: semel codd. ἄλλο] ἄλλο γ' L B²: ἄλλο γ' εἴποις F 189 οὔτε M 190 ἆρ' L: ἄρ' vel ἀρ rell. 191 ἐξέθυσεν Φοῖβος King 193 ματέρος codd. 194 δίκᾳ Triclinius ob metrum: δίκαια codd. Ηλ.] hic Σ (ἐν δὲ τῷ ὑπομνήματι καὶ ταῦτα τῆς Ἠλέκτρας): non hic sed ante v. sequentem codd. 195 ἔκανες ὦ 'θανες P

τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ' αἵματος·
ὀλόμεθ' ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ' ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος ἐν στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ' ἐννυχίοις, ἄγαμος
[ἐπὶ δ'] ἄτεκνος ἅτε βίοτον ἁ
μέλεος ἐς τὸν αἰὲν ἕλκω χρόνον.

Χο. ὅρα παροῦσα, παρθέν' Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε·
οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες—ἐν δέοντί γε.
ὦ πότνια Λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
Ηλ. ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
βούλῃ θίγω σου κἀνακουφίσω δέμας;
Ορ. λαβοῦ λαβοῦ δῆτ', ἐκ δ' ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ' ἐμῶν.
Ηλ. ἰδού· τὸ δούλευμ' ἡδύ, κοὐκ ἀναίνομαι
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
Ορ. ὑπόβαλε πλευροῖς πλευρά, καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.

199 τε om. A L 200 ὀλόμεσθ' A ὀλόμεθ' ὀλόμεθ' ἶσον νέκυες V 201 τὸ δ' A 204 στοναχαῖσι τὲ καὶ γόοις A in margine; in textu omiserat: στοναχαῖς L . . γόοις codd. 205 om. P: add. *p* 206 ἐπὶ δ' L: ἔπιδ' rell.: secl. Wilamowitz, e Σ irrepsisse ratus 208 παροῦσ' Ἠλέκτρα παρθένε primitus M 211 νόσον A 212 γε codd.: τε Stob. fl. 100, 1 215 πῶς δ'] πῶς L 216 aut ante aut post τῶν πρὶν posse distingui monet Σ 217 εὔφρανας M[2] 218 κἀνακουφίζω suprascr. A 221 τὸ βούλευμ' L 222 ἀδέλφ' ἀδελφᾶ M 223 ὑπόβαλλε A πλευρὰν A P καὶ ἀχμώδη M: κἀχμώδη V 224 κόραις] νόσῳ γρ. Σ

Ηλ. ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
Ορ. κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι κἀσθενῶ μέλη.
Ηλ. ἰδού. φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
Ορ. αὖθίς μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.
Ηλ. ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
Ορ. μάλιστα· δόξαν γὰρ τόδ' ὑγιείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
Ηλ. ἄκουε δὴ νῦν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσιν εὖ φρονεῖν Ἐρινύες.
Ορ. λέξεις τι καινόν· κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ' ἐς βλάβην τιν', ἅλις ἔχω τὸ δυστυχεῖν.
Ηλ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.
Ορ. πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
Ηλ. ἥκει—τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου—
Ἑλένην ἀγόμενος Τρωικῶν ἐκ τειχέων.
Ορ. εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
Ηλ. ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ' ἀν' Ἑλλάδα.

227 ὅταν Heath : ὅταν μ' codd. 228 μανίας] μανιάς legi posse monet Σ ἔναρθρος L 229 τοι] τι V δέμνια Stob. fl. 100, 2 230 ὂν τὸ] μὲν τὸ Stob. : τὸ A : ὄντα Hermann, δέμνια legens 231 μ'] δ' Stob. κἀνακυκλεῖ P 232 Χο. notam praefigunt M B V² P : Ηλ. A L 233 Ηλ. om. V L : add. V² γαίης M V πόδα P 234 μεταβολὴ γὰρ V γλυκύ] ἡδύ P 236 δὲ] γὰρ L 238 ἐῶσιν εὖ M : ἐῶσιν σ' εὖ A : ἐῶσί σ' εὖ rell. : σ' ἐῶσιν εὖ Brunck 239 καὶ εἰ M V φέρει A 240 τὸ M B v : τῷ V : τοῦ A B² L P 242 ναυπλίῳ B² V L P 244 τε καὶ A V χάριτα M πατρί P 249 ἐπὶ ψόγῳ Wecklein (περισσὸν τὸ ἄρθρον Σ M)

Ορ. σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.
Ηλ. οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
Ορ. ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.
αὗται γὰρ αὗται πλησίον θρῴσκουσί μου.
Ηλ. μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις·
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.
Ορ. ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
γοργῶπες, ἐνέρων ἱέρεαι, δειναὶ θεαί.
Ηλ. οὔτοι μεθήσω· χεῖρα δ' ἐμπλέξασ' ἐμὴν
σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.
Ορ. μέθες· μί' οὖσα τῶν ἐμῶν Ἐρινύων
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.
Ηλ. οἳ 'γὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
Ορ. δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς,
εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.
βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί,
εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;

251 σὺ νῦν codd.: σύ τοι Plut. Mor. p. 88 C et Orion. Anth. i. 16 254 ταχὺ M^2 V ἀρτίως φρονῶν Diog. L. vii. p. 220 (σωφρονῶν Σ) 255 μου V: corr. v 256 αἱματωποὺς codd. et Σ sed πους ex aliis litteris fecit M^1: αἱματώδεις Sext. Emp. p. 299 257 del. Hartung: post 270 trai. Elmsley: habuit Σ, et adferunt De Sublim. 15, 2 et Plut. Mor. p. 901 A 258 ἀτρέμα L: ἀτρέμας rell. οἷς B: corr. B^2 259 σάφ' ἴσθ' ὅτι Matthiae 260–265 sic disponit 264–265, 262–263, 260–261 F. Gu. Schmidt 260 κυνώπιδ*ς primitus M: corr. M^1 261 ἱέριαι L Σ: ἱέρειαι rell. ει correpto, cf. Alc. 446, Hip. 1128, &c., sed etiam Bac. 1114 264 μ' ἰοῦσα Σ alter (ἄνες με τῆς μανίας ἀναχωρήσασα) 266 οἳ 'γὼ L P: οἳ ἐγὼ fere rell. 269 ἐπαμύνασθαι M: corr. M^2 270 ἐκφοβεῖεν L P 271 Ηλ. et 272 Ορ. praef. codd.: corr. Hartung: et ante 273 personae nota erasa in M 273 εἰσακούσετ' M B V: corr. B^2 V^2

ἆ ἆ·
τί δῆτα μέλλετ᾽; ἐξακρίζετ᾽ αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ᾽ αἰτιᾶσθε θέσφατα.
ἔα·
τί χρῆμ᾽ ἀλύω, πνεῦμ᾽ ἀνεὶς ἐκ πλευμόνων;
ποῖ ποῖ ποθ᾽ ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν᾽ ὁρῶ.
    σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ᾽ ἔσω πέπλων;
αἰσχύνομαί σε, μεταδιδοὺς πόνων ἐμῶν
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ᾽, εἴργασται δ᾽ ἐμοὶ
μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ᾽ ἐπάρας ἔργον ἀνοσιώτατον,
τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ᾽ ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ᾽ ὄμματα
ἐξιστόρουν νιν, μητέρ᾽ εἰ κτεῖναι χρεών,
πολλὰς γενείου τοῦδ᾽ ἂν ἐκτεῖναι λιτὰς
μήποτε τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ᾽ ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς,
ἐγώ θ᾽ ὁ τλήμων τοιάδ᾽ ἐκπλήσειν κακά.
καὶ νῦν ἀνακάλυπτ᾽, ὦ κασιγνήτη, κάρα,
ἐκ δακρύων τ᾽ ἄπελθε, κεἰ μάλ᾽ ἀθλίως
ἔχομεν. ὅταν δὲ τἄμ᾽ ἀθυμήσαντ᾽ ἴδῃς,

276 θέσφατα] φάσματα A 277 πνευμόνων codd., cf. Ion. 524, 766, Her. 1093 278 ποῖ semel A 279 αὖ om. M γαλήν᾽ M[2] B[2] L P : γάλην᾽ M : γαλῆν᾽ A B V : cf. Σ 280 Ηλ. praef. M[2] B[2] V P κλάεις A B : corr. B[2] κάρα P θεῖσ᾽ B L *v* : τιθεῖσ᾽ A : θεὶς M *b* V P 281 Ορ. praef. B[2] V P σε] σοι A[2] 282 παρέχων om. et παρθένων scrib. P ἐμοῖς (sed αις suprascr.) V 283 Ηλ. et 284 Ορ. praef. B 284 ἤνεσας τάδ᾽ Nauck δέ μοι A 286 ἐπ᾽ ἄρας *v* : post hunc v. lacunam statuit Kirchhoff : ἀναπείσας εἰς ἔργον reddit Σ 287 εὔφρανε M[2] A B ἔργοις M οὔ om. M : add. M[2] 289 κτεῖναι χρεών L : κτεῖναί με χρή rell. 291 μήποτε B L P Σ : μήπω M A V : μὴ τῆς novicii 292 εἰ] κ᾽ εἰ M ἤμελλε M A B V L 293 ἐγώ θ᾽ novicii : ἐγὼ δ᾽ codd. ἐκπλήσειν] ἐκπλήσσειν M : ἐκτλήσειν A[1] P[2] 294 κασιγνήτη, Brunck : κασίγνητον codd. et Σ

σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχναινε παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα·
ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
   ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω
ὕπνῳ τ' ἄυπνον βλέφαρον ἐκταθεῖσα δός,
σίτων τ' ὄρεξαι λουτρά τ' ἐπιβαλοῦ χροΐ.
εἰ γὰρ προλείψεις ἢ προσεδρείᾳ νόσον
κτήσῃ τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.
Ηλ. οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταὐτόν· ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι,
ἀνάδελφος ἀπάτωρ ἄφιλος; εἰ δὲ σοὶ δοκεῖ,
δρᾶν χρὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
ἄγαν ἀποδέχου, μένε δ' ἐπὶ στρωτοῦ λέχους.
κἂν μὴ νοσῇς γάρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
κάματος βροτοῖσιν ἀπορία τε γίγνεται.

Χο. αἰαῖ, [στρ.
δρομάδες ὦ πτεροφόροι
ποτνιάδες θεαί,
ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
δάκρυσι καὶ γόοις,
μελάγχρωτες εὐμενίδες, αἵτε τὸν

298 ἴσχναινε L P et γρ. M : ἴσχαινε B probante Porsono : ἴσχανε M A V et γρ. Σ   302 ἐνταθεῖσα P   303 σίτων M B : σῖτον B² rell. et, ut videtur, Σ : σίτου Hartung   λουτρά τ'] λούτρ' M   ἐπιβαλοῦ χροΐ Hermann : ἐπὶ χροΐ βάλε fere codd. (βάλλευ M, βάλεν primitus B)   304 προλείψεις μ' codd. et Σ : μ' delet Paley, cl. Hec. 438   προσεδρίᾳ recc. νόσου primitus L   307 σοὶ κατθανεῖν A V   309 συνθήσομαι V : corr. *v*   post 312 spatium unius versus in A   314 νοσῇς B V L P : νόσῃ A *b* et Callistratus apud Σ : νοσήσῃς M   δοξάζῃς M B L P : δοξάζεις V : δοξάζῃ suprascr. A et Callistratus (δοξάζει in textu A)   317 ὦ om. A   319, 320 ἐλάχετε δάκρυσι P   321 μελαγχρῶτες codd.   εὐμενίδες om. A

ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
τινύμεναι δίκαν, τινύμεναι φόνον,
καθικετεύομαι καθικετεύομαι,
τὸν Ἀγαμέμνονος
γόνον ἐάσατ' ἐκλαθέσθαι λύσσας
μανιάδος φοιταλέου. φεῦ μόχθων,
οἵων, ὦ τάλας, ὀρεχθεὶς ἔρρεις,
τρίποδος ἄπο φάτιν, ἂν ὁ Φοῖβος ἔλακε, δε-
ξάμενος ἀνὰ δάπεδον,
ἵνα μεσόμφαλοι λέγονται μυχοί.

ἰὼ Ζεῦ, [ἀντ.
τίς ἔλεος, τίς ὅδ' ἀγὼν
φόνιος ἔρχεται,
θοάζων σε τὸν μέλεον, ᾧ δάκρυα
δάκρυσι συμβάλλει
πορεύων τις ἐς δόμον ἀλαστόρων
ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει;
ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
καταλοφύρομαι καταλοφύρομαι. 339
ἀνὰ δὲ λαῖφος ὥς
τις ἀκάτου θοᾶς τινάξας δαίμων
κατέκλυσεν δεινῶν πόνων ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.

322 ἀμπάλεσθ' M L (ἀνὰ τὸν αἰθέρα πάλλεσθε Σ) 323 τιννύμεναι (bis) B² L P δίκην V φόνου B 327 μανιώδους V *p* μόχθων] ἐν ἄλλῳ γρ. μόχθων κακῶν A μανιάδος· φεῦ φεῦ φοιταλέων μόχθων Weil, sed φοιταλέου ᾱ producit, ut Aesch. Prom. 598 traditur 328 οἶν M² (ex οἵων factum) ὦ] ὁ A B V 329 ἄπο φάτιν] ἀπόφατιν A B P *v*: ἀπόφασιν V et suprascr. B: φάτιν L ὁ Φοῖβος om. M A 330 ἔλακε A L: ἔλακεν ἔλακε(ν) M B V P 331 λέγωνται M: corr. M² μυχοί Triclinius: μυχοί γᾶς codd. 332 ὦ Ζεῦ King 334 φοίνιος L 335 θωάζων M ᾧ δάκρυα om. M: add. M² 337 δόμον Triclinius: δόμους codd. et Σ 338 ματέρων A ὅ] ὃς L *v* et γρ. Σ 339 ante 338 habet Π: post 340 trai. Kirchhoff: cf. stropham 344 λαύροις A P ὀλεθρίοις A V L P ἐν] τε L

τίνα γὰρ ἔτι πάρος οἶκον ἕτερον ἢ τὸν ἀπὸ
θεογόνων γάμων,
τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;

— *καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει,*
Μενέλαος ἄναξ, πολλῇ ἁβροσύνῃ
δῆλος ὁρᾶσθαι
τῶν Ταντάλιδῶν ἐξ αἵματος ὤν.
ὦ χιλιόναυν στρατὸν ὁρμήσας
ἐς γῆν Ἀσίαν,
χαῖρ', εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
θεόθεν πράξας ἅπερ ηὔχου.

ΜΕΝΕΛΑΟΣ

ὦ δῶμα, τῇ μέν σ' ἡδέως προσδέρκομαι
Τροίαθεν ἐλθών, τῇ δ' ἰδὼν καταστένω·
κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίως κακοῖς
οὐπώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός,
ὅς μοι τόδ' εἶπεν ἐμφανῶς κατασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών,

345 sq. *οἶκον ἕτερον* M L : *οἶκον ἄλλον* A : *οἶκον ἄλλον ἕτερον* B V P 346 *τῶν* M : corr. M^2 347 *τὸν*] *τῶν* L *μ' ἐχρῆν* L 348 *ὧδε* M P *δὴ* om. L, add. aut ipse aut corrector supra *στείχει ποδὶ* P 349 *ἄναξ* om. codd. Dionis Chrys. ii. 42: habuit Σ *πολλῇ* recc. : *πολλὴ δ'* vel *πολλῇ δ'* M^2 B^2 rell. Σ : *πολὺ δ'* M B : *πολὺ δ'* et *πολλῇ γ'* et *πολὺ* codd. Dionis Chrys. : *ποδὸς* Kirchhoff (*τῇ τρυφῇ τοῦ βαδίσματος ἢ τῆς ὄψεως* Σ) 351 *τοῦ Ταντάλιδᾶν* Dio 352 *ὁρμίσας* M^2 A V P 356 *πῇ* P *v* 357 *πῇ* *v* : *ποῖ* P 358 *ἀθλίως* M^2 L : *ἄθλιος* M : *ἀθλίοις* rell. 360 *ἐπῃσθόμην* Heimsoeth 361 *ὤλεθ' ἑᾶς* V 362 *μαλέαν* primitus M 364 *Γλαῦκος*] *μάντις* M et *Γλαῦκος* in rasura habet B 365 *τόδ'* M A V L P : *τάδ'* B *l* fortasse *ἐμφανὴς* *κατασταθείς* M A B L P : *παρασταθείς* V *l*

λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις.
   δακρύων δ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός,
ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
   καὶ νῦν ὅπου 'στὶν εἴπατ', ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμήστρας χεροῖν,
ὅτ' ἐξέλειπον μέλαθρον ἐς Τροίαν ἰών,
ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.
Ορ. ὅδ' εἰμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τἀμὰ μηνύσω κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
ἱκέτης, ἀφύλλου στόματος ἐξάπτων λιτάς·
σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸς ἐς καιρὸν κακῶν.
Με. ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
Ορ. εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
Με. ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρόν, τάλας.
Ορ. οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
Με. δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
Ορ. τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' οὐ λέλοιπέ μοι.
Με. ὦ παρὰ λόγον μοι σὴ φανεῖσ' ἀμορφία.

367 *ἀρκυστάτοις* Nauck 368 *τε* om. A 370 *ἐξορμωμένοις* primitus M 372 *περιλαβεῖν* L: cf. Σ M *ἀντὶ τοῦ περιλαβεῖν* 373 *ἁλικτύπων* codd. et Σ M Σ B: corr. Byzantini 374 *παιδὸς*] *θυγατρὸς* V et *γρ.* M 378 *ἐξέλιπον* codd.: corr. Byzantini 380 *ὅδ'* L P A^2 B^2 *v*: *ὧδ'* M A B *γρ.* P (*ὧδ'* V) 381 *μηνύσω* M B L P: *σημανῶ* A V: *μηνύω* Wecklein 383 *ἀφύλλου* codd. et ut videtur Σ et Hesych. (*ἀφύλλου στόματος· Εὐριπίδης Ὀρέστῃ*): *ἀφύλλους* Σ V et inde *v* 384 *αὐτὸς* ('ipse quem speravimus') codd.: *αὐτὸν* Schaefer 389 *δεινόν τε* L 390 *ἐλλέλοιπε* Wecklein: cf. Σ *εἰς ὄνομα μόνον λείπεται τὰ ἐμά* *μοι* M V: *με* rell. 391 *παράλογον* fere codd. *σῇ* M B: corr. B^2

Ορ. ὅδ᾽ εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
Με. ἤκουσα, φείδου δ᾽· ὀλιγάκις λέγειν κακά.
Ορ. φειδόμεθ᾽· ὁ δαίμων δ᾽ ἐς ἐμὲ πλούσιος κακῶν.
Με. τί χρῆμα πάσχεις; τίς σ᾽ ἀπόλλυσιν νόσος;
Ορ. ἡ σύνεσις, ὅτι σύνοιδα δείν᾽ εἰργασμένος.
Με. πῶς φῄς; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
Ορ. λύπη μάλιστά γ᾽ ἡ διαφθείρουσά με—
Με. δεινὴ γὰρ ἡ θεός, ἀλλ᾽ ὅμως ἰάσιμος.
Ορ. μανίαι τε, μητρὸς αἵματος τιμωρίαι.
Με. ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ᾽ ἦν;
Ορ. ἐν ᾗ τάλαιναν μητέρ᾽ ἐξώγκουν τάφῳ.
Με. πότερα κατ᾽ οἴκους ἢ προσεδρεύων πυρᾷ;
Ορ. νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.
Με. παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
Ορ. Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
Με. ἐκ φασμάτων δὲ τάδε νοσεῖς· ποίων ὕπο;
Ορ. ἔδοξ᾽ ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
Με. οἶδ᾽ ἃς ἔλεξας, ὀνομάσαι δ᾽ οὐ βούλομαι.
Ορ. σεμναὶ γάρ· εὐπαίδευτα δ᾽ ἀπετρέπου λέγειν.
Με. αὗταί σε βακχεύουσι συγγενῆ φόνον;
Ορ. οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας.
Με. οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
Ορ. ἀλλ᾽ ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς.
Με. μὴ θάνατον εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.

393 ὀλιγάκις codd. et Σ (λείπει τὸ ὥστε): interpunxit Verrall 394 εἰς ἐμὲ codd.: cf. 736 395 Ὀρέστα τλῆμον, τίς σ᾽ Stob. fl. 24. 5 (nullius momenti) σ᾽ om. M L 397 τοι] τι M L P et primitus A 400 μητρὸς L P et, ni fallor, Σ: μητρός θ᾽ rell. τιμωρίαι codd. et Σ: τιμωρία fortasse Σ B 402 ταλαίνης μητρὸς ἐξώγκουν τάφον Σ itemque γρ. Σ, unde B[1] vel B[2] in textu 403 πυρᾷ] τάφῳ L 406 Πυλάδης γ᾽ Kirchhoff 407 ἐκ φασμάτων] φαντασμάτων O ὕπο] τινων vel τάλαν Reiske 408 ἔδειξ᾽ primitus M 410 εὐπαίδευτα] εὐπαίδευται V: ἀπαίδευτα B[2] V[2] L: et εὐπαίδευτα et ἀπαίδευτα Σ ἀπετρέπου Hermann: ἀποτρέπου codd. et Σ (δὲ λέγειν ἀποτρέπου L): ἀποτρέπῃ Musgrave et fortasse Σ (καλῶς ποιεῖς) et cod. Thessalon. 411 συγγενῆ φόνον Σ (λείπει ἡ διά, ἵν᾽ ᾖ διὰ τὸν συγγενῆ φόνον) et φόνον suprascr. M: συγγενεῖ φόνῳ codd. 415 θάνατον codd. et Σ μὲν om. P

Ορ. Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
Με. ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
Ορ. δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶν οἱ θεοί.
Με. κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
Ορ. μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
Με. πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
Ορ. ἕκτον τόδ' ἦμαρ· ἔτι πυρὰ θερμὴ τάφου.
Με. ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί.
Ορ. οὐ σοφός, ἀληθὴς δ' ἐς φίλους ⟨ἔφυν φίλος.⟩
Με. πατρὸς δὲ δή τι σ' ὠφελεῖ τιμωρία;
Ορ. οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
Με. τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις δράσας τάδε;
Ορ. μισούμεθ' οὕτως ὥστε μὴ προσεννέπειν.
Με. οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμον χεροῖν;
Ορ. ἐκκλῄομαι γὰρ δωμάτων ὅποι μόλω.
Με. τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
Ορ. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
Με. συνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνου.
Ορ. οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
Με. τίς δ' ἄλλος; ἦ που τῶν ἀπ' Αἰγίσθου φίλων;
Ορ. οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τὰ νῦν κλύει.
Με. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
Ορ. πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;

416 *πατρὸς* Hemsterhuys: sed cf. 1139 417 *γ'* om. P 418 *εἰσὶν οἱ θεοί* P: *εἰσὶ θεοί* rell. et Justin. de mon. i. p. 126 423 *μητρὸς αἱ* P: *μητρῷον* Nauck 424 *ἔφυν φίλος* Brunck: *ἔφυς κακός* codd.: tres versus hic quondam fuisse Ορ. ****** Με. *** *ἐς φίλους ἔφυς κακός.* Ορ. *οὐ σοφός ἀλήθης δ'* *** censet Kirchhoff 425 *τίς σ'* M A B 429 *σὸν . . . χεροῖν*] *σῶν . . . χερῶν* suprascr. B (*σὸν* Σ) *νόμον* M: *νόμους* rell. 430 *ἐκκλείομαι* M B L: *ἐγκλείομαι* A P: *ἐκβάλομαι* sed *βαλ* in rasura scripto V² *ὅποι* V: *ὅπῃ* rell. 431 *πολιτῶν δ'* B: *πολιτῶν σ'* Wecklein *σὲ γῆς* codd. et Σ: *στέγης* Wecklein: cf. 443 sq. 433 *φόνος* A P *v* 434 *οὗ γ' οὐ* L P: *ὅ γ' οὐ* M²: *οὔ γ' οὐ* M B: *οὐκ οὐ* A *b*: *οὔκουν* V *δι' ἑτέρων δ'* Madvig Weil 435 *ἦ*] *οὐ* Paley, cf. I. T. 930 *ἀπ'*] *ποτ'* Wecklein 436 *οὔτοι* M 437 *σ' ἔχειν ἡ πόλις* in rasura *b* 438 *πῶς εἴ τινες* A versum om. B: corr. B²

Με. τί δρῶντες ὅ τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
Ορ. ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
Με. φεύγειν πόλιν τήνδ'; ἢ θανεῖν ἢ μὴ θανεῖν;
Ορ. θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
Με. κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβαλὼν ὅρους;
Ορ. κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
Με. ἰδίᾳ πρὸς ἐχθρῶν ἢ πρὸς Ἀργείας χερός;
Ορ. πάντων πρὸς ἀστῶν, ὡς θάνω· βραχὺς λόγος.
Με. ὦ μέλεος, ἥκεις συμφορᾶς ἐς τοὔσχατον.
Ορ. ἐς σὲ ἐλπὶς ἡμὴ καταφυγὰς ἔχει κακῶν.
ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν
μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων ἐς οὓς σε δεῖ.
ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
Χο. καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος
κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.
Ορ. ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
ἐς ὄμματ' ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
καὶ γάρ μ' ἔθρεψε σμικρὸν ὄντα, πολλὰ δὲ
φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα,

439 ὅ τι καὶ] ἐὰν δὲ γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες; ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις; Σ corrupte ἔχεις εἰπεῖν L P: εἰπεῖν ἔχεις M A B V ἤ τι καὶ σαφῶς εἰπεῖν ἔχεις; Nauck 442 ἀστῶν in αὐτῶν correctum in A 443 ὑπερβάλλων A V 444 εἱλούμεσθα J. M. Gent: εἰργόμεσθα Wecklein 445 ἀργείων V γρ. χθονός Σ V 446 βραδὺς primitus M 448 ἡμὴ] ἢ γ ἢ (sed γ in rasura) M 453 ἐκτείνων A V P: corr. *v p* 458 τε om. A V 461 τοῖσιν ἡμαρτημένοις V 462 ἔθρεψα primitus M σμικρὸν A B L: μικρὸν rell. 463 ἐξέπλησσε primitus V 464 λήδαι B

τιμῶντέ μ' οὐδὲν ἧσσον ἢ Διοσκόρω·
οἷς, ὦ τάλαινα καρδία ψυχή τ' ἐμή,
ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς. τίνα σκότον
λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;

ΤΥΝΔΑΡΕΩΣ

ποῦ ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμήστρας τάφῳ
χοὰς χεόμενος ἔκλυον ὡς ἐς Ναυπλίαν
ἥκοι σὺν ἀλόχῳ πολυετὴς σεσῳσμένος.
ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
στὰς ἀσπάσασθαι, χρόνιος εἰσιδὼν φίλον.
Με. ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
Τυ. ὦ χαῖρε καὶ σύ, Μενέλεως, κήδευμ' ἐμόν.
ἔα· τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
στίλβει νοσώδεις ἀστραπάς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγῃ νιν, ἀνόσιον κάρα;
Με. τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
Τυ. κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
Με. πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.
Τυ. βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
Με. Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾶν ἀεί.
Τυ. καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
Με. πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.
Τυ. κέκτησό νυν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.

465 τιμῶντες μ' V: corr. *v*: τιμῶν τ' ἔμ' A διοσκόρους B²: διοσκόρω ω in rasura *b*: διοσκούρω* M 467 ἀποδέδωκ' L 472 χεύμενος M 473 ἥκει P 475 ἄσπασθαι V: ἀποσπάσασθαι P χρόνιος M et primitus B: χρόνιον A V L P B¹ vel B² 476 ὦ χαῖρε πρέσβυ Porson 478 κακὸν μὴ B versum del. ἔα solo relicto Wecklein 481 ἀκάθαρτον κάρα γρ. Σ 484 μισητέος suprascr. *v* 485 ἐν βαρβάροις] ἀφ' ἑλλάδος γρ. M *v* et Apollon. Ty. Epist. 34 486 τοι] τι A et in rasura P 487 τὸν in τῶν correctum V 488 πάντ' οὐξανάγκης M 489 νῦν codd.

Με. ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας οὐ σοφόν.
Τυ. πρὸς τόνδ' ἀγὼν τίς ἀσοφίας ἥκει πέρι;
εἰ τὰ καλὰ πᾶσι φανερὰ καὶ τὰ μὴ καλά,
τούτου τίς ἀνδρῶν ἐγένετ' ἀσυνετώτερος,
ὅστις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο
οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον;
ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον
†πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα†,
αἴσχιστον ἔργον—οὐ γὰρ αἰνέσω ποτέ—
χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην,
ὁσίαν διώκοντ', ἐκβαλεῖν τε δωμάτων
μητέρα· τὸ σῶφρόν τ' ἔλαβεν ἀντὶ συμφορᾶς
καὶ τοῦ νόμου τ' ἂν εἴχετ' εὐσεβής τ' ἂν ἦν.
νῦν δ' ἐς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
αὐτὸς κακίων μητέρ' ἐγένετο κτανών.
ἐρήσομαι δέ, Μενέλεως, τοσόνδε σε·
εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνή,
χὠ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον
λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι·
ἐς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν
οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυροῖ,
φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.

490 τὸ om. L 491 ἀγών τις codd. ἀγῶνα Greg. Cor. rhet. vii. p. 1272 Walz ἀσοφίας Bothe: σοφίας codd. Σ et Greg. Cor.: πρὸς τόνδε σοφίας τίς ἂν ἀγὼν ἥκοι πέρι; Porson 493 ἐγένετ' B² O: 'γένετ' P: γένετ' M A B V L: γέγονεν Nauck 497 πληγῆς A τῆς ἐμῆς θυγατρὸς M A: πληγαῖς Schaefer, cf. codd. El. 123 ὑπὲρ] ὕπ' ἐς Herwerden, idemque voluit *v* κάρα θυγατρὸς τῆς ἐμῆς πληγεὶς ὕπο Brunck 500 χρῆν δ' V 501 διώκειν τ' M 502 ἀντὶ L P Σ: ἂν τῆς M A B V *l* et Σ alter 504 μητρί L: corr. *l* 506 μητέρ' ἐγένετο Porson: ἐγένετο μητέρα fere codd. (γένετο V: 'γενετο P): γέγονε μητέρα Reisig 507 σε] γε L: σε *l* 511 δὴ L B²: δὲ B rell. ποῖ] πῆ L 514 κυρεῖ ex κυροῖ ut videtur factum A L 515 ὁσιοῦν M et Σ M: ὁσίουν V B: ὡσίουν M² A L P *b* *v* et Σ ἀνταποκτεῖναι V P

αἰεὶ γὰρ εἷς ἔμελλ' ἐνέξεσθαι φόνῳ,
τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν·
Ἑλένην τε, τὴν σὴν ἄλοχον, οὔποτ' αἰνέσω
οὐδ' ἂν προσείποιμ'· οὐδὲ σὲ ζηλῶ, κακῆς
γυναικὸς ἐλθόνθ' οὕνεκ' ἐς Τροίας πέδον.
ἀμυνῶ δ', ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε,
ὅτ' ἐξέβαλλε μαστὸν ἱκετεύουσά σε
μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακά,
δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
ἓν ⟨δ'⟩ οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ·
μισῇ γε πρὸς θεῶν καὶ τίνεις μητρὸς δίκας,
μανίαις ἀλαίνων καὶ φόβοις. τί μαρτύρων
ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;
ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων,
ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
θυγάτηρ δ' ἐμὴ θανοῦσ' ἔπραξεν ἔνδικα·
ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.
ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνήρ,
πλὴν ἐς θυγατέρας· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

516 ἔμελλ' ἐνέξεσθαι V : ἔμελλεν ἕξεσθαι rell. φόνῳ M B L P : φόνου A V B² 517 χεροῖν V L P : χερός M A B 519 ἣ M B (ἡ M²) κατέκτεινεν M V 520 τε] δὲ L 522 ἐλθόντ' οὕνεκ' M (sic) : οὕνεκ' ἐλθόντ' L ἐς hic A V 523 ἀμύνω codd. 527 ἐξέβαλε L 530 δ' οὖν Hermann : οὖν codd. : γ' οὖν Schaefer 531 γε om. P : σὺ recc. : τε Porson 532 καὶ om. L : add. *l* 535 τούτων M : corr. M² 536 sq. cf. 625 sq. : 537 del. Hermann : etiam 536 del. Brunck, sed cf. 564 537 πίβανε M 538 ἔνδικα sed κα in rasura M² : ἐνδίκως Kirchhoff 539 ἦν εἰκὸς L αὐτὴν om. P

Χο. ζηλωτὸς ὅστις εὐτύχησεν ἐς τέκνα
καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο.
Ορ. ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
ὅπου σὲ μέλλω σήν τε λυπήσειν φρένα.
ἐγῷδ', ἀνόσιός εἰμι μητέρα κτανών,
ὅσιος δέ γ' ἕτερον ὄνομα, τιμωρῶν πατρί.
ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
τὸ γῆρας ἡμῖν τὸ σόν, ὅ μ' ἐκπλήσσει λόγου,
καὶ καθ' ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα.
τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν·
πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς,
τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα·
ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.
ἐλογισάμην οὖν τῷ γένους ἀρχηγέτῃ
μᾶλλόν με φῦναι τῆς ὑποστάσης τροφάς.
ἡ σὴ δὲ θυγάτηρ—μητέρ' αἰδοῦμαι λέγειν—
ἰδίοισιν ὑμεναίοισι κοὐχὶ σώφροσιν
ἐς ἀνδρὸς ᾔει λέκτρ'· ἐμαυτόν, ἢν λέγω
κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ' ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
τοῦτον κατέκτειν', ἐπὶ δ' ἔθυσα μητέρα,
ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
ἐφ' οἷς δ' ἀπειλεῖς ὡς πετρωθῆναί με χρή,
ἄκουσον ὡς ἅπασαν Ἑλλάδ' ὠφελῶ.
εἰ γὰρ γυναῖκες ἐς τόδ' ἥξουσιν θράσους,
ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,

542 ηὐτύχησεν B V: εὐτύχηκεν M 542, 543 Diogeni (leg. Dicaeogeni) tribuit Stob. fl. 75, 10 legens ἐν τέκνοις | καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρετο 545 ὅπου γε μέλλω σήν τι Musgrave λυπῆσαι V 546 ἐγῷδ' Hermann: ἐγὼ δ' codd.: mavult 546 sq. post 550 traicere Hartung 547 δ' ἕτερον M V 551 δυοῖν] λόγω Nauck 556 μᾶλλόν με φῦναι Verrall: μᾶλλόν μ' ἀμῦναι (vel ἀμύναι) A B V: μᾶλλον ἀμῦναι (vel ἀμύναι) M L P: κάλλιον ἀμυνεῖν Kirchhoff 559 εἴη P 561 ὁ] οἱ Nauck 564 χρή] δεῖ V L 566 ἥκουσι V θράσος B V: corr. *b*

παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις
ἐπίκλημ' ἐχούσαις ὅ τι τύχοι. δράσας δ' ἐγὼ
δείν', ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
μισῶν δὲ μητέρ' ἐνδίκως ἀπώλεσα,
ἥτις μεθ' ὅπλων ἄνδρ' ἀπόντ' ἐκ δωμάτων
πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην
προὔδωκε κοὐκ ἔσῳσ' ἀκήρατον λέχος·
ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ', οὐχ αὑτῇ δίκην
ἐπέθηκεν, ἀλλ', ὡς μὴ δίκην δοίη πόσει,
ἐζημίωσε πατέρα κἀπέκτειν' ἐμόν.
πρὸς θεῶν—ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων· εἰ δὲ δὴ τὰ μητέρος
σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;
οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐρινύσιν;
ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,
τῷ δ' οὐ πάρεισι, μᾶλλον ἠδικημένῳ;
σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν
ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος
πατρὸς στερηθεὶς ἐγενόμην μητροκτόνος.
  ὁρᾷς, Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
μένει δ' ἐν οἴκοις ὑγιὲς εὐνατήριον.
  ὁρᾷς δ' Ἀπόλλων', ὃς μεσομφάλους ἕδρας
ναίων βροτοῖσι στόμα νέμει σαφέστατον,
ᾧ πειθόμεσθα πάνθ' ὅσ' ἂν κεῖνος λέγῃ·
τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.

569 παρ'] παρδ' M ἦν ἂν αὐταῖς V 573 ἀπόντα δωμάτων H 574 γῆν M 575 ἔσωσεν codd. 576 οὐκ αὐτῇ M 579 ἐν οὐ] οὐκ ἐν P 580 ματέρος M A 581 ὁ] οὐ M² 585 τοι om. M γέρων primitus P 586 τὸ γὰρ recc. : γὰρ τὸ codd. 588–590 del. Dindorf: citat Clem. Alex. Paed. 3, p. 279 588 οὐκ ἔκτανε P 589 πόσιν πόσει V 590 εὐναστήριον codd. 591 δ' om. M P Ἀπόλλων' M² A B L P: Ἀπόλλων M V 592 ναίει βροτοῖσιν εἰς στόμα νέμων σαφέστατα Clem. Alex. Protr. p. 65 corrupte 593 πειθόμεθα M ἐκεῖνος P λέγει L: corr. *l* versum om. Clemens, del. Nauck 594 τούτῳ] κείνῳ Clemens πειθόμενος codd. et Clemens

ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρῆν με δρᾶν;
ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
ἀλλ' ὡς μὲν οὐκ εὖ μὴ λέγ' εἴργασται τάδε,
ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
  γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.
Χο. αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.
Τυ. ἐπεὶ θρασύνῃ κοὐχ ὑποστέλλῃ λόγῳ,
οὕτω δ' ἀμείβῃ μ' ὥστε μ' ἀλγῆσαι φρένα,
μᾶλλόν μ' ἀνάξεις ἐπὶ σὸν ἐξελθεῖν φόνον·
καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων
ὧν εἵνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον.
μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον
ἑκοῦσαν οὐχ ἑκοῦσαν ἐπισείσω πόλιν
σοὶ σῇ τ' ἀδελφῇ, λεύσιμον δοῦναι δίκην.
μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐστ' ἀξία,
ἢ τῇ τεκούσῃ σ' ἠγρίωσ', ἐς οὖς ἀεὶ
πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέστερον,
ὀνείρατ' ἀγγέλλουσα τὰ Ἀγαμέμνονος,
καὶ τοῦθ'—ὃ μισήσειαν—Αἰγίσθου λέχος—
οἱ νέρτεροι θεοί· καὶ γὰρ ἐνθάδ' ἦν πικρόν·

595 κτείνατε Clemens 596 χρῆν B P: χρῆ M V: χρή A L: cf. 551 597 ἢ] εἰ M² 598 πῆ τις ἔτ' ἂν φύγη L: οὖν suprascr. *l* 602 ὅσοι L 603 συμπίπτουσιν V: πίτνουσιν codex A Stobaei fl. 69. 13 604 δυστυχῆ L 606 εἰς τὸ V δυσχερέστερον recc.: δυστυχέστατον Stob. fl. 73. 34 609 ἀνάξεις M A B V L Σ (παρορμήσεις): ἀνάψεις P εἰς σὸν V ἐλθεῖν H 611 εἵνεκ' V: οὕνεκ' rell. θυγατρὸς suprascr. B² 612 ὄχλον] χορὸν L 613 οὐχ ἑκοῦσαν Canter: οὐκ ἄκουσαν codd. ἀνασείσω V γρ. A: ἐκπείσω A 615 θανεῖν ἐπαξία Elmsley 616 σ' om. L: add. *l* 618 ἀπαγγέλλουσα M et Σ (κατὰ κοινοῦ τὸ ἀπαγγέλλουσα: fortasse ὄνειρ' ἀπαγγέλλουσα) 620 πικρά Paley

ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω δράσω τε πρός·
εἰ τοὐμὸν ἔχθος ἐναριθμῇ κῆδός τ' ἐμόν,
μὴ τῷδ' ἀμύνειν φόνον ἐναντίον θεοῖς·
ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
τοσαῦτ' ἀκούσας ἴσθι, μηδὲ δυσσεβεῖς
ἕλῃ, παρώσας εὐσεβεστέρους φίλους·
ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.

Ορ. στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,
διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;

Με. ἔασον· ἐν ἐμαυτῷ τι συννοούμενος
ὅποι τράπωμαι τῆς τύχης ἀμηχανῶ.

Ορ. μή νυν πέραινε τὴν δόκησιν, ἀλλ' ἐμοὺς
λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.

Με. λέγ'· εὖ γὰρ εἶπας· ἔστι δ' οὗ σιγὴ λόγου
κρείσσων γένοιτ' ἄν. ἔστι δ' οὗ σιγῆς λόγος.

Ορ. λέγοιμ' ἂν ἤδη. τὰ μακρὰ τῶν σμικρῶν λόγων
ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.
ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,
ἃ δ' ἔλαβες ἀπόδος πατρὸς ἐμοῦ λαβὼν πάρα.
—οὐ χρήματ' εἶπον· χρήματ', ἢν ψυχὴν ἐμὴν
σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.—
ἀδικῶ· λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
ἄδικόν τι παρὰ σοῦ· καὶ γὰρ 'Αγαμέμνων πατὴρ

622 δὲ om. A 624 ἄμυνε Wecklein 625 sq. cf. 536 sq. : 625 del. Kayser 629 ἡμεῖς L : ἡμᾶς *l* ἐπ' οἴκων ἄγεται τῶνδε πρόσπολος M : πρόσπολοι M² 630 οὑπιὼν V 632 ποῖ σὸν] ποίᾳ Wecklein κυκλοῖς primitus A et suprascr. V : κινεῖς L 635 ὅποι L P : ὅπῃ *l* rell. 636 μὴ νῦν codd. (μή.νυν Σ) 638 ἔστιν οὗ Kirchhoff ἔστι δ' οὗ σιγῇ λόγου in rasura M σιγῆς λόγος A 639 κρεῖττον P σιγῇ M : σιγῆς M² σιγὴ λόγου A 640 ἔνιοι ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον· οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα Σ

ἀδίκως ἀθροίσας Ἑλλάδ' ἦλθ' ὑπ' Ἴλιον,
οὐκ ἐξαμαρτὼν αὐτός, ἀλλ' ἁμαρτίαν
τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος.
ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
ἀπέδοτο δ', ὡς χρὴ τοὺς φίλοισι τοὺς φίλους,
τὸ σῶμ' ἀληθῶς, σοὶ παρ' ἀσπίδ' ἐκπονῶν,
ὅπως σὺ τὴν σὴν ἀπολάβοις ξυνάορον.
ἀπότεισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβών,
μίαν πονήσας ἡμέραν, ἡμῶν ὕπερ
σωτήριος στάς, μὴ δέκ' ἐκπλήσας ἔτη.
  ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνην μὴ κτεῖνε σύ.
δεῖ γάρ σ' ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν
πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ
κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
  ἐρεῖς· ἀδύνατον. αὐτὸ τοῦτο· τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.
φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
ταύτης ἱκνοῦμαί σ'—ὢ μέλεος ἐμῶν κακῶν,
ἐς οἷον ἥκω. τί δέ; ταλαιπωρεῖν με δεῖ·
ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.

648 ὑπ'] ἐς A : εἰς V : εἰς etiam L P, sed ει ex υ ut videtur facto : ἦλθεν Ἴλιον Lenting 651 δοῦναι] εἶναι V sed δοῦναι suprascr. χρῆν L : χρή *l* 652 ἀπέδο M 654 ἀπολάβης codd. 656 sq. μίαν πονήσας et σωτήριος στάς invicem permutat Nauck 659 ἕως M V : corr. M² *v* κτεῖναι M 660 δεῖ V et suprascr. B, item Aristot. Eth. Nic. x. 9, Mor. Magn. ii. 15, Plut. Mor. p. 68 E : cf. Σ δεῖ σε, φησίν, ἐμοῦ δυστυχοῦντος κτλ. : χρὴ rell. 669 ἕλλησι πᾶσι δάμαρτα L 670 κ' M : κοὐχ M² 671 μέλεε P ἐμῶν in rasura et κακῶν e κακόν fecit *v* : ἐγώ, κακὸν post Porsonum Wecklein : cf. Σ, δυστυχὴς ἐγὼ εἰς τοιοῦτον κακὸν ἐλθών 672 δεῖ] γρ. χρῆ M

ὦ πατρὸς ὅμαιμε θεῖε, τὸν κατὰ χθονὸς
θανόντ᾽ ἀκούειν τάδε δόκει, ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ ἐγὼ λέγω,
ταῦτ᾽ ἔς τε δάκρυα καὶ γόους καὶ συμφοράς.
εἴρηκα κἀπήτηκα τὴν σωτηρίαν,
θηρῶν ὃ πάντες κοὐκ ἐγὼ ζητῶ μόνος.
Χο. κἀγώ σ᾽ ἱκνοῦμαι καὶ γυνή περ οὖσ᾽ ὅμως
τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ᾽ εἶ.
Με. Ὀρέστ᾽, ἐγώ τοι σὸν καταιδοῦμαι κάρα
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι·
καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
ξυνεκκομίζειν, δύναμιν ἣν διδῷ θεός,
θνῄσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους·
τὸ δ᾽ αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν.
ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ σὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ᾽, ἐνταῦθ᾽ ἐλπίδος προσήκομεν.
σμικροῖσι μὲν γὰρ μεγάλα πῶς ἕλοι τις ἄν;
[πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.]
ὅταν γὰρ ἡβᾷ δῆμος εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον·
εἰ δ᾽ ἡσύχως τις αὑτὸν ἐντείνοντι μὲν

676 ἃ ἐγὼ M : ἁγὼ rell. 677 ταῦτ᾽ codd. 678 εἴρηκ᾽ ἀπῄτηκα M 679 ζητῶ om. M : add. M² 680 Χο. Canter : Ηλ. codd. 681 γρ. ὅσος τέ δ᾽ εἶ υ : voluit, puto, ὅσον τε δεῖ : τε δεῖ primitus V 682 ἐγὼ τὸ V 685 ξυνεκκομίζειν L : συνεκκομίζειν rell. 687 τὸ M A B V : τοῦ L P 690 σμικρὰ M 693 δυναίμεσθ᾽ ἐνταῦτ᾽ ἐλπίδος προήκομεν V : fortasse ἐλπίδας προσηκάμην 694 μὲν γὰρ Brunck : μὲν τὰ A : μὲν γὰρ τὰ rell. 695 om. A et nisi fallor Σ antiquior : del. Brunck : habuit alter Σ καὶ] γὰρ καὶ M L 696 ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ Stob. fl. 46. 5 : ὀργᾷ δῆμος εἰς θυμὸν πεσών Naber 697 ὅμοιος O fortasse recte 698 τις αὑτὸν B : τις αὐτὸν M L primitus B : τις αὐτῷ A : τις αὐτῶ γ᾽ P : de V incertum : τις αὐτὸς O 698 sq. αὐτῷ τις ἐκτείνοντι μὲν κάλων Wecklein

χαλῶν ὑπείκοι καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσειεν· ἢν δ' ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις.
ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.
ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι
πόλιν τε πεῖσαι τῷ λίαν χρῆσθαι καλῶς.
καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ
ἔβαψεν, ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
μισοῦσι δ' ἀστοί· δεῖ δέ μ'—οὐκ ἄλλως λέγω—
σῴζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
ἀλκῇ δέ σ' οὐκ ἄν, ᾗ σὺ δοξάζεις ἴσως,
σῴσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
στῆσαι τροπαῖα τῶν κακῶν ἅ σοι πάρα.
οὐ γάρ ποτ' Ἄργους γαῖαν ἐς τὸ μαλθακὸν
προσηγόμεσθα· νῦν δ' ἀναγκαίως ἔχει.
[δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης]

Ορ. ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν
τἄλλ' οὐδέν, ὦ κάκιστε τιμωρεῖν φίλοις,
φεύγεις ἀποστραφείς με, τὰ δ' Ἀγαμέμνονος
φροῦδ'; ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράσσων κακῶς.
οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
ὅποι τραπόμενος θάνατον Ἀργείων φύγω·
οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν

699 ὑπείκει L et primitus P 700 ἢν Nauck : ὅταν codd. : ὅτε Kirchhoff 702 ἔνεστιν οἶκτος B, fortasse recte ἔστι δὲ καὶ A 704 τυνδάρεω V L σοί τε L ἐλθὼν γὰρ ἐγώ σοί Τυνδάρεων πειράσομαι Σ M 705 πόλιν . . . τῷ] πόλει . . . τὸ V : corr. *v* πεῖσαι] πείθων Weil λεῖαν M : corr. M² (μετρίως χρῆσθαι τῷ λίαν reddit Σ) 710 κρειττόνων L 714 γρ. καὶ χωρὶς τοῦ σ̄, Ἄργου γαῖαν· Ἀριστοφάνης δὲ μετὰ τοῦ σ̄ Σ 715 προσηγόμεσθ' ἄν Schaefer : sensus est: '*nunquam sane solebamus Argivos ad lenitatem adducere*' 716 del. Dindorf 718 τἄλλα δ' οὐδὲν M L 721 ἄρ' om. V : add. *v* 723 ὅποι L : ὅπῃ *l* rell. 724 σωτηρίας] τῆς συμφορᾶς Taurinensis et συμφορὰς γρ. M : συμφορᾶς suprascr. *v* : σωτήριος F

Πυλάδην δρόμῳ στείχοντα Φωκέων ἄπο,
ἡδεῖαν ὄψιν· πιστὸς ἐν κακοῖς ἀνὴρ
κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

ΠΥΛΑΔΗΣ

θᾶσσον ᾗ με χρῆν προβαίνων ἱκόμην δι' ἄστεως,
σύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
ἐπὶ σὲ σύγγονόν τε τὴν σήν, ὡς κτενοῦντας αὐτίκα.
τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
καὶ φίλων καὶ συγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.
Ορ. οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
Πυ. συγκατασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.
Ορ. Μενέλεως κάκιστος ἐς ἐμὲ καὶ κασιγνήτην ἐμήν.
Πυ. εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.
Ορ. ὥσπερ οὐκ ἐλθὼν ἔμοιγε ταὐτὸν ἀπέδωκεν μολών.
Πυ. ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
Ορ. χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
Πυ. καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
Ορ. οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
Πυ. ποῦ 'στιν ἣ πλείστους 'Αχαιῶν ὤλεσεν γυνὴ μία;
Ορ. ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
Πυ. σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
Ορ. μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν καὶ κασιγνήτην ἐμήν.
Πυ. πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
Ορ. εὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
Πυ. σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
Ορ. οὗτος ἦλθ', ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ.

729 ᾗ Bruhn : ἢ codd. με χρῆν M : μ' ἐχρῆν rell. δι' ἄστεος A B V L P : προάστεος M 730 τὸν δ' εἶδον primitus B τόνδ', ἰδών τ' Hartung 731 κτανοῦντας primitus V 732 φίλτατ' ἡλίκων M : φίλτατ' ἀνθρώπων omisso ἐμοὶ V 734 σοι om. L : add. *l* 736 εἰς ἐμὲ A B V L P : εἰς 'με M 737 εἰκότως] εἰκὸς ἦν Hermann γενέσθαι in γίνεσθαι mutatum B 738 ὅσπερ M² 740 χρόνιος om. P 741 ναυστολήσων P 744 δόμοισι τοῖς ἐμοῖσιν P 747 τοῦτο γὰρ εἰδέναι ποθῶ V 748 εὐλαβεῖθ'] ηὐλαβεῖθ' B² : εὐλαβεῖσθ' B V : εὐλαβοῖθ' primitus P 749 ἐς hic M μαθεῖν M et suprascr. V 750 σπείρας πατήρ] γρ. κεκτημένος Σ

Πυ. Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος;
Ορ. αἰσθάνῃ. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ' ἢ πατρός.
Πυ. κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;
Ορ. οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
Πυ. ἐν κακοῖς ἄρ' εἶ μεγίστοις· καί σ' ἀναγκαῖον θανεῖν;
Ορ. ψῆφον ἀμφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
Πυ. ἣ κρινεῖ τί χρῆμα; λέξον· διὰ φόβου γὰρ ἔρχομαι.
Ορ. ἢ θανεῖν ἢ ζῆν· ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.
Πυ. φεῦγέ νυν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
Ορ. οὐχ ὁρᾷς; φυλασσόμεσθα φρουρίοισι πανταχῇ.
Πυ. εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας.
Ορ. ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν σῶμα πυργηρούμεθα.
Πυ. κἀμὲ νῦν ἐροῦ τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.
Ορ. πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
Πυ. Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
Ορ. ἴδιον ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
Πυ. ὅτι συνηράμην φόνον σοι μητρός, ἀνόσιον λέγων.
Ορ. ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
Πυ. οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'· οἰστέον τάδε.
Ορ. οὐ φοβῇ μή σ' Ἄργος ὥσπερ κἄμ' ἀποκτεῖναι θέλῃ;
Πυ. οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ γῆ.
Ορ. δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
Πυ. ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
Ορ. εἶἑν. ἐς κοινὸν λέγειν χρή.
Πυ. τίνος ἀναγκαίου πέρι;

751 *θυγατέρας* M: corr. M²: *θυγατέρος τέρος* in rasura scripto *l*: *θυγατρὸς* P 752 *τὸ τοῦδε*] *τοῦδε* L: *τούτου δὲ* V 755 *ἄρ'*] *γὰρ* M *εἶ*] *ἦ* P *φθάνειν* Hennig 756 *ἀμφ'* M B P: *καθ'* A V: *ὑπερθ'* L 757 *κρίνει* M B: corr. *b* *τί λέξον χρῆμα* V 758 *μῦθος* V P: *μῦθος δ'* M A B L 759 *νῦν* M *μέλαθρον* V 760 *φρουρίοις* M A et fortasse V *ἁπανταχῇ* A: *πανταχοῦ* V P 761 *ἄστεως* L: *ἄστεος* rell. *ἀγυὰς* A 762 *ὥσπερ* V *πυργηρούμεθα· ἐντὸς ἐσμὲν τῶν πύργων . . . γρ. δὲ πυργιούμεθα* Hesychius 765 *ἤλασσέ* L *ἀπ' οἴκων* om. V: add. *v* *θυμωδεὶς* M: corr. M² 767 *σοι φόνον* M P 770 *θέλοι* L *b*: *θέλει* A: *γρ. βίαν* M (voluit *ἀποκτείνῃ βίᾳ*) 771 *προσῆκον με* V: corr. *v* 773 *βουλεύωσ'* L: *βουλεύουσι δή* Vitelli (*ἀεί* non reddit Σ)

Ορ. εἰ λέγοιμ' ἀστοῖσιν ἐλθὼν . . . .
Πυ. ὡς ἔδρασας ἔνδικα;
Ορ. πατρὶ τιμωρῶν ἐμαυτοῦ;
Πυ. μὴ λάβωσί σ' ἄσμενοι.
Ορ. ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;
Πυ. δειλὸν τόδε.
Ορ. πῶς ἂν οὖν δρῴην;
Πυ. ἔχεις τιν', ἢν μένῃς, σωτηρίαν;
Ορ. οὐκ ἔχω.
Πυ. μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;
Ορ. εἰ τύχοι, γένοιτ' ἄν.
Πυ. οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
Ορ. ἀλλὰ δῆτ' ἔλθω.
Πυ. θανὼν γοῦν ὧδε κάλλιον θανῇ.
Ορ. εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε.
Πυ. μᾶλλον ἢ μένων.
Ορ. καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι.
Πυ. τῷ Δοκεῖν εὔχου μόνον.
Ορ. καί τις ἄν γέ μ' οἰκτίσειε . . . .
Πυ. μέγα γὰρ ἡ εὐγένειά σου.
Ορ. θάνατον ἀσχάλλων πατρῷον.
Πυ. πάντα ταῦτ' ἐν ὄμμασιν.
Ορ. ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν.
Πυ. αἰνῶ τάδε.
Ορ. ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ;
Πυ. μὴ πρὸς θεῶν.

775 ὡς ἔπραξας V L 776 τιμωρὸν primitus V τιμωρῶν γ' Kirchhoff sine interrogationis nota 777 δεινὸν τόδε A B 778–786 Orestae notas om. L 778 οὖν ἂν A L μένῃς] μένεις M: corr. M²: μείνῃς L 779 μολόντα recc. ἐστιν ἐκβῆναι V 781 θανῇ] θανεῖν L 782, 783 trai. Morell 782 πρᾶγμά γ' recc.: πρᾶγμ' codd.: πρᾶγος Weil τῷ Δοκεῖν scripsi: cf. Σ qui citat τὸ Δοκεῖν καὶ τὰν 'Αλάθειαν βιᾶται: τῷ δοκεῖν L: τὸ δοκεῖν rell. et Σ: τόδε δοκεῖν Paley: τῳ (*'cuidam'*) δοκεῖν Verrall: v. del. Nauck 783 καὶ μᾶλλον A P 784 γ' ἔμ' A ἄν μ' ἐποικτίσειε Hermann ἡὑγένεια B: ἡ εὐγένεια rell. σοι V 785 ἀσχάλων codd.: corr. *l* ταῦθ' M 786 κατθανεῖν L: τὸ κατθανεῖν rell. Πυ. om. L 787 λέγομεν M

Ορ. δάκρυα γοῦν γένοιτ' ἄν.
Πυ. οὐκοῦν οὗτος οἰωνὸς μέγας.
Ορ. δηλαδὴ σιγᾶν ἄμεινον.
Πυ. τῷ χρόνῳ δὲ κερδανεῖς.
Ορ. κεῖνό μοι μόνον πρόσαντες.
Πυ. τί τόδε καινὸν αὖ λέγεις;
Ορ. μὴ θεαί μ' οἴστρῳ κατάσχωσι.
Πυ. ἀλλὰ κηδεύσω σ' ἐγώ.
Ορ. δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός.
Πυ. οὐκ ἔμοιγε σοῦ.
Ορ. εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς.
Πυ. τόδ' οὖν ἴτω.
Ορ. οὐκ ἄρ' ὀκνήσεις;
Πυ. ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
Ορ. ἕρπε νυν οἴαξ ποδός μοι.
Πυ. φίλα γ' ἔχων κηδεύματα.
Ορ. καί με πρὸς τύμβον πόρευσον πατρός.
Πυ. ὡς τί δὴ τόδε;
Ορ. ὥς νιν ἱκετεύσω με σῶσαι.
Πυ. τό γε δίκαιον ὧδ' ἔχει.
Ορ. μητέρος δὲ μηδ' ἴδοιμι μνῆμα.
Πυ. πολεμία γὰρ ἦν.
ἀλλ' ἔπειγ', ὡς μή σε πρόσθε ψῆφος Ἀργείων ἕλῃ,
περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ·
ὡς ἐγὼ δι' ἄστεώς σε, σμικρὰ φροντίζων ὄχλου,
οὐδὲν αἰσχυνθεὶς ὀχήσω. ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;

788 γοῦν] γ' ἂν V: γὰρ anonymus 789 δὲ] γε V: γὰρ B 790 καινὸν ἀγγελεῖς recc. 791 ὕστρῳ P κατάσχωσιν fere codd. (κατάσχωσι V) 795 νῦν codd. φίλ' ἔχων P 797 ἱκετεύσωμεν σῶσαι P γε] δὲ V 798 μητρὸς codd. (μ͠ρς A) δὲ om. B, sed in Σ lemmate idem μ͠ρς δὲ μηδ' habet μηδ'] μήτ' V: μὴ εἰσίδοιμι F. Gu. Schmidt Πυ. om. M: add. M² 799 ἔπειγ'] ἔλ' V, suprascr. ἔλαυνε *v* 800 πλευρὰ] πλευρὰν A V L νόσον mut. in νόσῳ L 801 ἄστεως L et fortasse V: ἄστεος rell. *v l* μικρὰ A 802 ποῦ] πῆ L 803 μὴ 'ν A P: μ' ην B: μὴ rell.

Ορ. τοῦτ' ἐκεῖνο, κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
ὡς ἀνὴρ ὅστις τρόποισι συντακῇ, θυραῖος ὢν
μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

Χο. ὁ μέγας ὄλβος ἅ τ' ἀρετὰ [στρ.
μέγα φρονοῦσ' ἀν' Ἑλλάδα καὶ
παρὰ Σιμουντίοις ὀχετοῖς
πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ἀτρείδαις
πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
ὁπότε χρυσείας ἔρις ἀρνὸς
ἤλυθε Ταντλίδαις,
οἰκτρότατα θοινάματα καὶ
σφάγια γενναίων τεκέων·
ὅθεν φόνῳ φόνος ἐξαμεί-
βων δι' αἵματος οὐ προλεί-
πει δισσοῖσιν Ἀτρείδαις.

τὸ καλὸν οὐ καλόν, τοκέων [ἀντ.
πυριγενεῖ τεμεῖν παλάμᾳ
χρόα μελάνδετον δὲ φόνῳ
ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι·
τὸ δ' εὖ κακουργεῖν ἀσέβεια ποικίλα

804 Ορ. om. M: add. M[2] 805 ὡς codd. et Σ: εἷς Paley, cl. I. A. 1394 συντακεῖ V 806 ὁμαίμων M A B V: ὁμαιμόνων L P *b v* 810 ἐς δυστυχίαν ἀρχαίαν reddit Σ, unde ἐς δυστυχίας Bergk: sed nihil aliud habuit Σ quam codd. nisi fortasse ἐξ omissum cum εἰς τὸ ἐναντίον τῆς εὐδαιμονίας reddit ἀτρειδῶν suprascr. B[2] 811 πάλαι] πάλιν Hartung 812 χρυσείας Porson: χρυσέας M A B L P: χρυσοῦς οὖς in rasura *v* 813 ὕπερ ἦλθε Hermann ταντλίδαισιν L, vid. ad 825 metrum v. antistrophico non respondet 814 οἰκτρότατ' ἐς Weil θοινήματα L et suprascr. B 815 τέκνων L: corr. *l* 816 ὅθεν] om. A: ἔνθεν Triclinius ἀμείβων L 818 δισσοῖς B 819 τεκέων M B 820 τεμεῖν Porson (et sic Σ): τέμνειν codd. παλαμία V L 821 χρόαι ut videtur M δὲ om. A 822 ἐς hic L 823 εὖ Bothe: cf. Σ τὸ μετὰ λόγου καὶ πιθανότητος ἐπιχειρεῖν: αὖ codd. et Σ alius κακουργεῖν codd. et Σ: γρ. κακοῦργον Σ V Σ Taurinensis: τόδ' αὖ κακούργων Weil, puncto post χρόα non post δεῖξαι posito ποικίλα Σ (οὐχ ἁπλῆ) et γρ. M: μεγάληι M: μεγάλη rell.: μαινόλις Hermann et Porson

κακοφρόνων τ' ἀνδρῶν παράνοια.
θανάτου γὰρ ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάχησε τάλαι-
να· Τέκνον, οὐ τολμᾷς ὅσια
κτείνων σὰν ματέρα· μὴ πατρῴ-
αν τιμῶν χάριν ἐξανά-
ψῃ δύσκλειαν ἐς αἰεί.

τίς νόσος ἢ τίνα δάκρυα καὶ
τίς ἔλεος μείζων κατὰ γᾶν
ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
οἷον ἔργον τελέσας
βεβάκχευται μανίαις,
Εὐμενίσι θήραμα, φόνον
δρομάσι δινεύων βλεφάροις,
Ἀγαμεμνόνιος παῖς.
ὢ μέλεος, ματρὸς ὅτε
χρυσεοπηνήτων φαρέων
μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν
σφάγιον ἔθετο ματέρα, πατρῴ-
ων παθέων ἀμοιβάν.

Ηλ. γυναῖκες, ἦ που τῶνδ' ἀφώρμηται δόμων
τλήμων Ὀρέστης θεομανεῖ λύσσῃ δαμείς;
Χο. ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεών,
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.

825 *θανάτου* codd. (*θάνατον* V: corr. *v*) et Σ: possis *ἀμφὶ φόβῳ θανάτου γὰρ*, cf. 813 *φόνῳ* primitus A 828 *κτείνων*] *ὅρα* suprascr. A 831 *καὶ*] *ἢ* P 832 *γᾶν*] *γῆν* suprascr. B²: *γαῖαν* V 833 *χειρὶ* B L: *χερὶ* rell. 834 *οἷον οἷον* M V *ἔργον* ex *ἄργος* fortasse factum in P 836 *φόνον* Wilamowitz: *φόνῳ* codd. 838 *ἀγαμεμνόνειος* A: *ἀγαμέμνονος* L et rasura facta P² 840 *χρυσεοπηνίτων* A M² *b*: *χρυσοπηνήτων* Hermann 841 *εἰσιδὼν* P 844 *οὔ που* Hermann: cf. I. T. 930 *ἀφόρμηται* V: corr. *v* 846 δ' om. L 848 *δώσων* fortasse sanum, cf. *περιδίδομαι*: *θεύσων* Reiske, forma vix tragica: *θευσόμενος ᾧ* Weil ex Chr. Pat. 416 et 442 (*ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι δραμούμενον* et *τρέχοντος*) *ἡμᾶς* primitus V: *ὑμᾶς v*: v. del. Kirchhoff

Ηλ. οἴμοι· τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;
Χο. Πυλάδης· ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
λέξειν τὰ κεῖθεν σοῦ κασιγνήτου πέρι.

ΑΓΓΕΛΟΣ

ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
ἄκουσον οὕς σοι δυστυχεῖς ἥκω φέρων.
Ηλ. αἰαῖ, διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.
Αγ. ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν
καὶ σέ, ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.
Ηλ. οἴμοι· προσῆλθεν ἐλπίς, ἣν φοβουμένη
πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
ἀτὰρ τίς ἀγών, τίνες ἐν Ἀργείοις λόγοι
καθεῖλον ἡμᾶς κἀπεκύρωσαν θανεῖν;
λέγ', ὦ γεραιέ· πότερα λευσίμῳ χερὶ
ἢ διὰ σιδήρου πνεῦμ' ἀπορρῆξαί με δεῖ,
κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
Αγ. ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ
τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
ἀεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμος
πένητα μέν, χρῆσθαι δὲ γενναῖον φίλοις.
ὁρῶ δ' ὄχλον στείχοντα καὶ θάσσοντ' ἄκραν,
οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
διδόντ' ἀθροῖσαι λαὸν ἐς κοινὰς ἕδρας.
ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδών·
Τί καινὸν Ἄργει; μῶν τι πολεμίων πάρα
ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;

849 ἔπειγε primitus ut videtur P 852 τλήμων M 852–854 suspecti Verrallio 853 πότν' A 855 λόγων primitus L 856 ἔοικας V ἄγγελ** M, corr. M²: v. del. Kirchhoff 861 ἀγών codd. ἐν om. A P et rasura facta B ἀργείων A B 864 χρὴ V 865 συμφορὰς ἀδελφῷ L κεκτημένη M 872 φασι] suprascr. φησὶ M 875 τί om. M 876 ἀνεπτέρωσε primitus P πόλιν] γρ. ὄχλον M

ὁ δ' εἶπ'· Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μήποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχονθ' ὁμοῦ,
τὸν μὲν κατηφῆ καὶ παρειμένον νόσῳ,
τὸν δ' ὥστ' ἀδελφὸν ἶσα φίλῳ λυπούμενον,
νόσημα κηδεύοντα παιδαγωγίᾳ.
ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
κῆρυξ ἀναστὰς εἶπε· Τίς χρῄζει λέγειν,
πότερον Ὀρέστην κατθανεῖν ἢ μὴ χρεών,
μητροκτονοῦντα;
κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
ἔλεξε δ', ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεί,
διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλοὺς κακοὺς
λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους
ἐς τοὺς τεκόντας οὐ καλούς· τὸ δ' ὄμμ' ἀεὶ
φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
τὸ γὰρ γένος τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
ὃς ἂν δύνηται πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
οὗτος κτανεῖν μὲν οὔτε σὲ οὔτε σύγγονον
εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
ἐπερρόθησαν δ' οἳ μὲν ὡς καλῶς λέγοι,
οἳ δ' οὐκ ἐπῄνουν.
κἀπὶ τῷδ' ἀνίσταται

879 ἄελπον M φάσμ'] θαῦμ' V 880 δὲ καὶ L 882 φίλῳ] φίλον M 884 γένετ' A 888 συνεπόρθη V 889 τοῖς om. A δυναμένοις P 891 καλοὺς Hartung : καλοῖς codd. 893 ἐς] εἰ M : εἰς M² 896 ὅδαυτοῖς L 897 πόλεος M A B : πόλεως V L P *b* 898 τῷδε δ'] τῷδ' L ἠγόρευσε V 899 σ' οὐδὲ M 900 εἶαι B 901 λαοὶ δ' ἐπερρόθησαν B L, cf. Hec. 553 δ' οἳ μὲν A P M² : οἱ μὲν M V λέγοι] λέγει V L : corr. *v* 902 κἀπὶ] ἐπὶ δὲ V

ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος,
θορύβῳ τε πίσυνος κἀμαθεῖ παρρησίᾳ,
πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι·
[ὅταν γὰρ ἡδύς τις λόγοις φρονῶν κακῶς
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί,
κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι
πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
ἰδόνθ'· ὅμοιον γὰρ τὸ χρῆμα γίγνεται
τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ.]
ὃς εἶπ' Ὀρέστην καὶ σὲ ἀποκτεῖναι πέτροις
βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.
ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία,
μορφῇ μὲν οὐκ εὐωπός, ἀνδρεῖος δ' ἀνήρ,
ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
αὐτουργός—οἵπερ καὶ μόνοι σῴζουσι γῆν—
ξυνετὸς δέ, χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
ἀκέραιος, ἀνεπίπληκτον ἠσκηκὼς βίον·
ὃς εἶπ' Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρί,
κακὴν γυναῖκα κἄθεον κατακτανών,
ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα
μήτε στρατεύειν ἐκλιπόντα δώματα,

905 *κἀμαθῆ* L 906 *πιθανὸς*] *ἱκανὸς* Heimsoeth *ἔτ'*] *ὥστ'* L *αὐτοὺς* codd. et Σ : *ἀστοὺς* Valckenaer 907–913 Euripideos quidem esse sed non hic suam sedem habere statuit Kirchhoff 907 *ἡδὺς τοῖς* codd. : corr. Musgrave 909 *συνῷ* M : corr. M² 912 *ἰδόνθ'* suspectum *ὁμοῖσιν* primitus M ut videtur 913 damnaverat Hermann : habuit Σ (‘*nihil de re curat is qui verba facit et praemia accipit*’ : Verrall) 914 *ἀποκτείνειν* V : corr. *v* : *ἀποκτενεῖν* L 916 *κατακτείναντι* V L et sine dubio P *τοιοῦτος* primitus M : v. delevit Weil : habuit Σ 918 *εὔοπτος γρ.* Σ 919 *κἀγοραῖς* V : corr. *v* 922 *ἀκέραιον* L P *ἀνεπίπληκτον* codd. et Σ et Chr. Pat. 394 : *ἀνεπίπλεκτον* B² : *ἀνεπίληπτον* recc., cf. Hesych. *ἀνεπίληπτον· ἄμεμπτον ἀκατάγνωστον* *ἐσχηκὼς* V 926 *ὑφήρει* L *χέρας* V

εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
φθείρουσιν, ἀνδρῶν εὐνίδας λωβώμενοι.
καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο.
  κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος,
ἔλεξε δ'· Ὦ γῆν Ἰνάχου κεκτημένοι,
[πάλαι Πελασγοί, Δαναΐδαι δεύτερον,]
ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ
ἔκτεινα μητέρ'. εἰ γὰρ ἀρσένων φόνος
ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
θνῄσκοντες, ἢ γυναιξὶ δουλεύειν χρεών·
τοὐναντίον δὲ δράσετ' ἢ δρᾶσαι χρεών.
νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς
τέθνηκεν· εἰ δὲ δὴ κατακτενεῖτ' ἐμέ,
ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνῄσκων τις ἄν·
ὡς τῆς γε τόλμης οὐ σπάνις γενήσεται.
  ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
ὃς ἠγόρευσε σύγγονον σέ τε κτανεῖν.
μόλις δ' ἔπεισε μὴ πετρουμένους θανεῖν
τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
σὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων· σὺν δ' ὁμαρτοῦσιν φίλοι
κλαίοντες, οἰκτίροντες· ἔρχεται δέ σοι
πικρὸν θέαμα καὶ πρόσοψις ἀθλία.
  ἀλλ' εὐτρέπιζε φάσγαν' ἢ βρόχον δέρῃ·
ὡς δεῖ λιπεῖν σε φέγγος· ἡ εὐγένεια δὲ

929 φθεροῦσιν Wecklein 931 κοὐδεὶς δ' V ἐπῆλθε in rasura *l* 933 τινὲς ἐς τὸ π ά λ α ι στίζουσιν Σ Δαναΐδαι δὲ recc.: δαναοὶ δὲ P: v. e Σ textui inductum del. Musgrave 936 φθάνοιτ' ἔτ' ἂν L P: φθάνοιτέ τ' ἂν A B V: φθάνοιτε τἂν M 938 δράσατ' L 940 δεῖ V: corr. *v* κατακτενεῖτε μέ V: κατακτανεῖτέ με rell.: corr. Porson 941 ὁ om. L φθάνει V 944 λέγων] χερῶν Wecklein 945 ἠγόρευσε V L P: ἠγόρευε M A B 946 πετρούμενος M 953 εὐπρέπιζε M: corr. M[2] 954 λυπεῖν L ὡς οὔ σ' ὁρᾶν δεῖ φέγγος γρ. Σ ηὑγένεια fere codd.: εὐγένεια V

οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.
[Χο. ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
πρόσωπον εἰς γῆν σὸν βαλοῦσ' ἄφθογγος εἶ,
ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη.]

Ηλ. κατάρχομαι στεναγμόν, ὦ Πελασγία, [στρ.
τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων,
αἱματηρὸν ἄταν,
κτύπον τε κρατός, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς
νερτέρων Περσέφασσα καλλίπαις θεά.
ἰαχείτω δὲ γᾶ Κυκλωπία,
σίδαρον ἐπὶ κάρα τιθεῖσα κούριμον,
πήματ' οἴκων.
ἔλεος ἔλεος ὅδ' ἔρχεται
τῶν θανουμένων ὕπερ,
στρατηλατᾶν Ἑλλάδος ποτ' ὄντων.

βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων [ἀντ.
πρόπασα γέννα Πέλοπος ὅ τ' ἐπὶ μακαρίοις
ζῆλος ὢν ποτ' οἴκοις·
φθόνος νιν εἷλε θεόθεν, ἅ τε δυσμενὴς
φοινία ψῆφος ἐν πολίταις.
ἰὼ ἰώ, πανδάκρυτ' ἐφαμέρων

956 τρίποδος V 957–959 ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι· πῶς γὰρ οὐκ ἔμελλε στυγνάζειν; Σ 959 ὡς εἰ M 960 Ηλ.] Χο. Weil στεναγμὸν recc.: στεναγμῶν codd. 961 λευκῶν Hartung 962 ἄτα* M: ἄταν M² 963 ἁ] ἡ L et suprascr. M² 964 περσέφασα L καλλίπαις] γρ. καλὴ παῖς Σ, v. corruptus: cf. 975: pro Περσέφασσα coni. κλέμμα Weil: νερτέρων καλλίπαις ἄνασσα Heimsoeth 965 κυκλωπεία L P 966 κάρα] κρᾶτα A B L: κράτα V 967 πήματ' οἴκων Musgrave, cf. 978: τῶν ἀτρειδᾶν πήματα οἴκων fere codd. (ἀτρειδῶν B L P: πήματ' L P): πήματ' οἴκων τῶν ἀτρειδῶν recc. quidam: διὰ τὰ πήματα τῶν Ἀτρειδῶν reddit Σ 968 ἔλεγος ἔλεγος F. Marx (ἔλεος Σ) 970 στρατηλατᾶν M V: στρατηλατῶν rell. 971 βέβακεν γὰρ L 973 ζῆλος . . . οἴκοις Musgrave: ζηλωτὸς . . . οἶκος codd. et Σ 974 νιν om. V: add. *v* εἷλε om. L: add. *l* 975 φοινία P: φονεία V: φονία rell. 976 ἰώ, ὦ Hartung: sed etiam ἰὼ ἰώ bacchium efficit

ἔθνη πολύπονα, λεύσσεθ', ὡς παρ' ἐλπίδας
μοῖρα βαίνει.
ἕτερα δ' ἕτερος ἀμείβεται
πήματ' ἐν χρόνῳ μακρῷ·
βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.

μόλοιμι τὰν οὐρανοῦ
μέσον χθονός ⟨τε⟩ τεταμέναν
αἰωρήμασι πέτραν,
ἁλύσεσιν χρυσέαισι φερομέναν δίναισι,
βῶλον ἐξ Ὀλύμπου,
ἵν' ἐν θρήνοισιν ἀναβοάσω
γέροντι πατρὶ Ταντάλῳ
ὃς ἔτεκεν ἔτεκε γενέτορας ἐμέθεν δόμων,
οἳ κατεῖδον ἄτας,
ποτανὸν μὲν δίωγμα πώλων
τεθριπποβάμονι στόλῳ Πέλοψ ὅτε
πελάγεσι διεδίφρευσε, Μυρτίλου φόνον
δικὼν ἐς οἶδμα πόντου,
λευκοκύμοσιν
πρὸς Γεραιστίαις
ποντίων σάλων
ᾐόσιν ἁρματεύσας.
ὅθεν δόμοισι τοῖς ἐμοῖς
ἦλθ' ἀρὰ πολύστονος,
λόχευμα ποιμνίοισι Μαιάδος τόκου,

979 ἕτερος Porson: ἑτέροις codd. et Σ 981 θνητῶν δ' V 983 τε add. Hermann: τε κρεμαμέναν Wecklein (τεταμένην etiam Σ) αἰωρήμασιν V verba τεταμέναν αἰωρήμασιν πέτραν et φερομέναν δίναισιν βῶλον varias lectiones esse censet Wilamowitz: ambas habuit Σ ἁλύσεσι (ἁλύσαισι V) χρυσέαισι codd. δίνεσι M: δίναισιν L: δίναισι M² rell. 984 ἀμβοάσω Dindorf 985 πατέρι A B V 986 ἔτεκε semel L 988 ποτανὸν Porson: τὸ πτανὸν codd. γρ. πώλω B 989 τεθριπποβάμωνι M ὁπότε L² vel *l* 990 πελάγεσσι M B P: πελάγαισι L 991 οἶδμα θαλάσσης V, sed πόντου in margine adscr. 992 λευκοκύμασι M V 993 γεραστίαις A B 994 ἠϊόσιν M A B V 997 τόκου om. V: add. *v* v. post 1000 trai. Wecklein

τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ'
ἐγένετο τέρας ὀλοὸν ὀλοὸν
'Ατρέος ἱπποβώτα·
ὅθεν Ἔρις τό τε πτερωτὸν
ἁλίου μετέβαλεν ἅρμα,
τὰν πρὸς ἑσπέραν κέλευθον
οὐρανοῦ προσαρμόσα-
σα μονόπωλον ἐς 'Αῶ,
ἑπταπόρου τε δράμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει,
τῶνδέ τ' ἀμείβει . . . θανάτους θανά-
των τά τ' ἐπώνυμα δεῖπνα Θυέστου
λέκτρα τε Κρήσσας 'Αερόπας δολί-
ας δολίοισι γάμοις· τὰ πανύστατα δ'
εἰς ἐμὲ καὶ γενέταν ἐμὸν ἤλυθε
δόμων πολυπόνοις ἀνάγκαις.

Χο. καὶ μὴν ὅδε σὸς σύγγονος ἕρπει
ψήφῳ θανάτου κατακυρωθείς,
ὅ τε πιστότατος πάντων Πυλάδης,
ἰσάδελφος ἀνήρ, ἰθύνων
νοσερὸν κῶλον ['Ορέστου],

998 χρυσομάλον A V ὁπότε γένετο A V L P 999 ὀλοὸν semel codd. : bis recc. 1000 'Ατρέος Porson : ἀτρέως codd. ἱπποβώτα Dindorf : ἱπποβάτα L : ἱπποβότα rell. 1001 τό τε πτερωτὸν M A L P : τὸ τέτρωρον B et γρ. Σ : τὸ πτερωτὸν V 1002 ἀελίου codd. 1003 ἑσπέραν M A V P : ἕσπερον B L : cf. Hesych. ἕσπερον κέλευθον· τὴν ⟨πρὸς vel ἐφ'⟩ ἑσπέραν ὁδόν, Phot. ἕσπερον κέλευθον· ἑσπέριον, ἐπὶ δυσμὰς ὁδόν : unde τάν ποθ' ἕσπερον Weil 1004 προσαρμόσασα V^2 vel *v* : προσαρμόσας (πρὸς ἁρμόσας A) codd. etiam *v* nunc tertium correctus : προσαρμόσασ' οἰόπωλον Weil 1005 δράμημα A B : δραμήματα M : δρόμημα rell. Πελειάδος Eustath. Od. p. 1713. 7 : πλειάδος codd. et Σ 1006 ἄλλην M A L P 1007 videtur deesse nescio quid : ἀμείβονται θάνατοι Wecklein 1009 κρήσσης V 1011 γενέταν V : γενέτην rell. ἦλθε V fortasse recte, nisi ἤλυθεν οἴκων leg. 1012 δόμων σὺν L B^2 *v* πολυστόνοις B 1013 ὅδε] ὧδε M A : ὧδε V 1015 ἐξιθύνων Elmsley : πέλας ἰθύνων Hermann 1016 post κῶλον add. 'Ορέστου codd. : del. Hermann : cf. Med. 110

ποδὶ κηδοσύνῳ παράσειρος.
Ηλ. οἲ ἐγώ· πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω,
ἀδελφέ, καὶ πάροιθε νερτέρου πυρᾶς.
οἲ ἐγὼ μάλ' αὖθις· ὥς σ' ἰδοῦσ' ἐν ὄμμασιν
πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν.

Ορ. οὐ σῖγ' ἀφεῖσα τοὺς γυναικείους γόους
στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
[φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας].
Ηλ. καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ
τόδ' οὐκέθ' ἡμῖν τοῖς ταλαιπώροις μέτα.
Ορ. σὺ μή μ' ἀπόκτειν'· ἅλις ὑπ' Ἀργείας χερὸς
τέθνηχ' ὁ τλήμων· τὰ δὲ παρόντ' ἔα κακά.
Ηλ. ὢ μέλεος ἥβης σῆς, Ὀρέστα, καὶ πότμου
θανάτου τ' ἀώρου. ζῆν ἐχρῆν σ', ὅτ' οὐκέτ' εἶ.
Ορ. μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
ἐς δάκρυα πορθμεύουσ' ὑπομνήσει κακῶν.
Ηλ. θανούμεθ'· οὐχ οἷόν τε μὴ στένειν κακά.
πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.
Ορ. τόδ' ἦμαρ ἡμῖν κύριον· δεῖ δ' ἢ βρόχους
ἅπτειν κρεμαστοὺς ἢ ξίφος θήγειν χερί.
Ηλ. σύ νύν μ', ἀδελφέ, μή τις Ἀργείων κτάνῃ
ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.

1018 σ' om. A 1019 νερτέρου M A B V P: νερτέρας L: νερτέρων b 1020 ὥς σ' ἰδοῦσ' ἐν Porson: ὡς ἰδοῦσά σ' ἐν M B L: ὡς ἰδοῦσά σ' V γρ. M B: ὡς ἰδοῦσ' ἐν A P 1022 γόους γρ. M B: λόγους codd. 1023 κρανθέντ' A B M²: κραθέντ' M V L P τάδ' om. P 1024 non habuit Σ, qui λείπει τὸ δεῖ φέρειν. τινὲς δὲ γράφουσιν οἰκτρὰ μὲν ἀλλ' ὅμως φέρε 1026 τόδ'] ὅτ' Musgrave 1027 σὺ μή] μὴ σύ L ὑπ' recc. et ut videtur Σ (ἅλις ὁ ὑπὸ τῆς Ἀργείας χερὸς θάνατος): ἀπ' codd. 1028 τλάμων L 1030 ζῆν σ' ἐχρῆν F: ζῆν σε χρῆν Wecklein γρ. ὅτ' οὐκέτι M, et sic videtur legisse Σ (ὅτ' οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ Ἕλληνες) 1031 μοι] μου M περιβάλεις V ἀνανδρία M 1032 ὑπομνήσει Musgrave: ὑπόμνησιν codd. et Σ 1033 μὴ] μὴ οὐ Herwerden 1036 θίγειν M 1037 σὺ νῦν codd. μ' om. A 1038 τὸν] τὴν Hermann γόνον] γρ. δόμον M V Σ (οὕτως γοῦν Καλλίστρατός φησιν Ἀριστοφάνη γράφειν) quod in B γρ. μὴ ἐνυβρίσῃς σὺ τῷ Ἀγαμέμνονος γόνῳ corrupte scriptum est, vide apud Schwartzium

Ορ. ἅλις τὸ μητρὸς αἷμ᾽ ἔχω· σὲ δ᾽ οὐ κτενῶ,
ἀλλ᾽ αὐτόχειρι θνῆσχ᾽ ὅτῳ βούλῃ τρόπῳ.
Ηλ. ἔσται τάδ᾽· οὐδὲν σοῦ ξίφους λελείψομαι.
ἀλλ᾽ ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
Ορ. τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε
θανάτου πέλας βεβῶσι, περιβαλεῖν χέρας.
Ηλ. ὦ φίλτατ᾽, ὦ ποθεινὸν ἥδιστόν τ᾽ ἔχων
τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν.
Ορ. ἔκ τοί με τήξεις· καί σ᾽ ἀμείψασθαι θέλω
φιλότητι χειρῶν. τί γὰρ ἔτ᾽ αἰδοῦμαι τάλας;
ὦ στέρν᾽ ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ᾽ ἐμόν,
τάδ᾽ ἀντὶ παίδων καὶ γαμηλίου λέχους . . .
[προσφθέγματ᾽ ἀμφοῖν τοῖς ταλαιπώροις πάρα].
Ηλ. φεῦ·
πῶς ἂν ξίφος νὼ ταὐτόν, εἰ θέμις, κτάνοι
καὶ μνῆμα δέξαιθ᾽ ἕν, κέδρου τεχνάσματα;
Ορ. ἥδιστ᾽ ἂν εἴη ταῦθ᾽· ὁρᾷς δὲ δὴ φίλων
ὡς ἐσπανίσμεθ᾽, ὥστε κοινωνεῖν τάφου.
Ηλ. οὐδ᾽ εἶφ᾽ ὑπὲρ σοῦ, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακός, ὁ προδότης τοὐμοῦ πατρός;
Ορ. οὐδ᾽ ὄμμ᾽ ἔδειξεν, ἀλλ᾽ ἐπὶ σκήπτροις ἔχων
τὴν ἐλπίδ᾽, εὐλαβεῖτο μὴ σῴζειν φίλους.
ἀλλ᾽ εἶ᾽ ὅπως γενναῖα καὶ Ἀγαμέμνονος
δράσαντε κατθανούμεθ᾽ ἀξιώτατα.
κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ᾽ αὖ χρεὼν
ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασιν.

1039 κτανῶ codd. 1040 αὐτόχειρ V: corr. *v* 1047 μ᾽ ἔτηξας Bothe 1048 χειρῶν A² P: χερῶν rell. 1049 πρόπτυγμ᾽ M ἐμόν] ἐμοί Nauck 1050 τίδ᾽ M: corr. M² λέγχους A 1051 προσφέγματ᾽ M: corr. M² ἀμφοῖν Lobeck: ἀμφὶ codd. πάρα A L M² *b v*: ἄρα M B V: μέτα P γρ. M v. del. Nauck, cl. 1026 1056 θάνοις Nauck 1059 ηὐλαβεῖτο V 1061 γρ. δεξιώτατα M 1062–1090 exstant fragmenta in Π 1062 ἀποδεῖξαι M: corr. M² πόλει] γρ. πατρός M B 1064 βουλεύμασιν Π V

Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεύς,
καὶ κατθανόντοιν εὖ περίστειλον δέμας
θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.
καὶ χαῖρ'· ἐπ' ἔργον δ', ὡς ὁρᾷς, πορεύομαι.
Πυ. ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἤλπισας.
Ορ. τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
Πυ. ἤρου; τί δὲ ζῆν σῆς ἑταιρίας ἄτερ;
Ορ. οὐκ ἔκτανες σὴν μητέρ', ὡς ἐγὼ τάλας.
Πυ. σὺν σοί γε κοινῇ· ταὐτὰ καὶ πάσχειν με δεῖ.
Ορ. ἀπόδος τὸ σῶμα πατρί, μὴ σύνθνῃσκέ μοι.
σοὶ μὲν γὰρ ἔστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δή,
καὶ δῶμα πατρὸς καὶ μέγας πλούτου λιμήν.
γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
ἥν σοι κατηγγύησ' ἑταιρίαν σέβων·
σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβών,
κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ' ἔστι δή.
ἀλλ', ὦ ποθεινὸν ὄμμ' ὁμιλίας ἐμῆς,
χαῖρ'· οὐ γὰρ ἡμῖν ἔστι τοῦτο, σοί γε μήν·
οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.
Πυ. ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθήρ, εἴ σ' ἐγὼ προδούς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμι σέ.
καὶ συγκατέκτανον γάρ, οὐκ ἀρνήσομαι,

1066 *κατθανόντος* primitus L 1067 *τε*] *δὲ* V 1068 *χαῖρ'* in rasura scr. M² *πορ*εύομαι* et in margine *γρ. πορεύομαι* B : potest fuissc *πορθμεύομαι* 1069 *πρῶτον* L 1072 *εἴρου* primitus M *ἑταιρείας* Π A B : corr. A² B² 1073 *σὴν*] *σὺ* Hermann e cod. rec. : *σὴν* habuit Σ ad v. 1074 1074 *ταὐτὰ* B : *ταῦτα* rell. 1075 *πατρὶ* codd. et Π 1076 *ἔσται . . . ἔσται* V *οὐκέτι δὴ* A 1078 *γάμου* V 1079 *ἑταιρείαν* Π A et primitus B 1081 *κῆδός τε* Π A L P *ἔσται* V 1082 *ὄμμ'* Π V L : *ὄνομ'* rell. post h. v. spatium unius v. vacuum in A 1085 *πολὺ* M² V : *που* M rell. 1086 *μὴ σῶμά μου* Jortin duce, ut putabat, Σ : cf. Hip. 1031 1087 *μὴ*] *μήτε* V : corr. *υ* *αἰθὴρ πνεῦμ', ἐγὼ εἰ* Weil 1088 *ἀπολείποιμι* M B L

ὁ μητροφόντης δ' οὐ καλῇ ταύτην κτανών,
ἀλλ' ἀπολιπὼν τοῦτ' ἐπὶ τὸ βέλτιον πεσῇ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
οὐ δεῖ ποτ', οὐ δεῖ, Μενέλεων μὲν εὐτυχεῖν,
τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν,
μητέρα τε . . . ἐῶ τοῦτ'· οὐ γὰρ εὐπρεπὲς λέγειν—
δόμους δ' ἔχειν σοὺς δι' Ἀγαμέμνονος δόρυ
λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
ἢν μὴ 'π' ἐκείνῃ φάσγανον σπασώμεθα.
ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
ἑνὸς γὰρ οὐ σφαλέντες ἕξομεν κλέος,
καλῶς θανόντες ἢ καλῶς σεσῳσμένοι.

Χο. πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.

Ορ. φεῦ·
οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.
σὺ γὰρ τά τ' εἰς Αἴγισθον ἐξηῦρες κακὰ
καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί,
νῦν τ' αὖ δίδως μοι πολεμίων τιμωρίαν
κοὐκ ἐκποδὼν εἶ . . . παύσομαί σ' αἰνῶν, ἐπεὶ
βάρος τι κἀν τῷδ' ἐστίν, αἰνεῖσθαι λίαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν
δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,

1140 ὁ om. L : add. *l* 1142 γενόμενος V 1143 ποτ'] γὰρ Paley 1144 τὸν om. L : add. *l* 1145 τοῦτο L 1146 δ'] τ' V 1148 'πι κείνῃ V L ('κείνῃ V) σπασώμεθα Kirchhoff : σπασόμεθα V : σπάσω μέλαν rell. 1149 εἰ δ' οὖν P : ἢν δ' αὖ F 1154 γένος] λέχος V 1155 σαφής] ἀντὶ ἀληθής B : γρ. καὶ ἀληθής M : ἀληθής in textu H 1158 ἐξεῦρες codd. 1159 παρίστα V κινδύνων ἐμοί] κακὸν ἐμόν H 1160 τ'] δ' P 1161 ἐμποδὼν P, sed μ punctis infra positis delevit σ'] δ' Porson (et αἰνῶν σ') 1162 κἀν τῷδ' codd. et Σ : καὶ τόδ' Stob. fl. 14. 6 1164 ἐμοὺς om. B : add. *b*

ἵν' ἀνταναλώσω μὲν οἵ με προύδοσαν,
στένωσι δ' οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
'Αγαμέμνονός τοι παῖς πέφυχ', ὃς 'Ελλάδος
ἦρξ' ἀξιωθείς, οὐ τύραννος, ἀλλ' ὅμως
ῥώμην θεοῦ τιν' ἔσχε· ὃν οὐ καταισχυνῶ
δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
ψυχὴν ἀφήσω, Μενέλεων δὲ τείσομαι.
ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
κτανοῦσι μὴ θανοῦσιν· εὔχομαι τάδε.
ὃ βούλομαι γάρ, ἡδὺ καὶ διὰ στόμα
πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.

Ηλ. ἐγώ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
σωτηρίαν σοὶ τῷδέ τ' ἐκ τρίτων τ' ἐμοί.
Ορ. θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.
Ηλ. ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.
Ορ. λέγ'· ὡς τὸ μέλλειν ἀγάθ' ἔχει τιν' ἡδονήν.
Ηλ. 'Ελένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.
Ορ. οἶδ', ἣν ἔθρεψεν 'Ερμιόνην μήτηρ ἐμή.
Ηλ. αὕτη βέβηκε πρὸς Κλυταιμήστρας τάφον.
Ορ. τί χρῆμα δράσουσ'; ὑποτίθης τίν' ἐλπίδα;
Ηλ. χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφῳ.
Ορ. καὶ δὴ τί μοι τοῦτ' εἶπας ἐς σωτηρίαν;
Ηλ. ξυλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.

1165 *ἀνταναλώσω μὲν* A *v*: *ἀνταναλώσομεν* V rell. sed *ἀντανέλωμεν* reddit Σ M 1169 *ἔσχεν* codd. (*ἔσχον* H): unde *οὐ* om. Porson (*οὐ* habuit Σ) 1172 v. delet, *φεῦ* eius loco scribit, Bruhn 1174 *κτανοῦσιν οὐ* V *l* fortasse *εὐχαὶ μὲν τάδε* 1175 *οὐ βούλομαι* alter Σ, alter cum codd. congruit 1176 *τέρψω* (*τερψαι v*) *φρένας* V 1178 *τῷδέ γ'* V *τὲ τρίτον ἐμοί* A: *τε τρίτον τ' ἐμοί* L P 1179 *λέγοις* A 1180 *παρών* P 1181 *δὴ νῦν* codd. 1182 *μέλλειν*] *λέγειν* L^2 P 1184 *ἐμοὶ* P 1186 *ὑποτίθης* P *l*: *ὑποτίθεις* B V L^2: *ὑποτιθεῖς* M^2: *ὑποτιθεὶς* M L: *ὑποτιθεῖσα* A 1187 *κατασπείσασ'* V *τάφῳ* A B P: *τάφου* M V: *τάφον* L 1188 *εἶπες* A L *v* 1189 *ξυλλάβεθ'* L: *συλλάβεθ'* rell.

Ορ. τίνος τάδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;
Ηλ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ
ἢ τόνδε κἀμέ—πᾶν γὰρ ἓν φίλον τόδε—
λέγ' ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
κἂν μέν σε σῴζῃ μὴ θανεῖν χρῄζων κόρην
Ἑλένης Μενέλεως πτῶμ' ἰδὼν ἐν αἵματι,
μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
ἢν δ' ὀξυθύμου μὴ κρατῶν φρονήματος
κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν σπλάγχνον· οὔτε γὰρ θρασὺς
οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.
Ορ. ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσῃ τάλας
γυναικὸς ἢ ζῶν μακάριον κτήσῃ λέχος.
Πυ. εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
Ορ. ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.
Ηλ. καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·

1190 τίνος M : τίν' δὴ M² (voluit τί δὴ) εἶπες L 1192 πᾶν γὰρ ἓν φίλον M B V : πᾶν γὰρ ἐν φίλοις in margine B : πᾶν γὰρ ἓν φίλοις A : πᾶσι γὰρ φίλον L P (πᾶν γὰρ ἓν certe Σ : φίλον puto Σ) 1193 φονεύσης V P 1196 Μενέλεως ἑλένης (ἑλένην primitus M) codd. : trai. Hermann : Μενέλαος ἑλένης Brubachiana : alia res est v. 20 : versum del. Nauck 1197 πεπτᾶσθαι M : corr. M² 1198 ἢν δ'] κἂν δ' V : corr. *v* 1199 σφάξε P 1200 παρῇ] παρῆν B : ῥυῇ Nauck (ἢν πολὺς ἔλθῃ Σ) 1201 μαλάξει M A 1204 ἄρσενος *l* et Stob. fl. 67. 7 post v. 1204 evulsis foliis octo periere vv. 1205–1505 in V 1207 ἄρ' vel ἂρ codd. 1208 om. P : add. *p* ἢ M : ᾗ vel ἦ M² A B L P 1213 κάλλιστ' M A L

τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
Ορ. καλῶς· σὺ μέν νυν, σύγγον' Ἠλέκτρα, δόμων
πάρος μένουσα παρθένου δέχου πόδα,
φύλασσε δ' ἥν τις, πρὶν τελευτηθῇ φόνος,
ἢ ξύμμαχός τις ἢ κασίγνητος πατρός,
ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' ἐς δόμους,
ἢ σανίδα παίσασ' ἢ λόγους πέμψασ' ἔσω·
ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
[Πυλάδη· σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.]
ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
καλεῖ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖν
τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας
ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν,
δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.
Ηλ. ὦ πάτερ, ἱκοῦ δῆτ', εἰ κλύεις ἔσω χθονὸς
τέκνων καλούντων, οἳ σέθεν θνῄσκουσ' ὕπερ.
Πυ. ὦ συγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτάς,
Ἀγάμεμνον, εἰσάκουσον· ἔκσωσον τέκνα.
Ορ. ἔκτεινα μητέρα . . . Ηλ. ἡψάμην δ' ἐγὼ ξίφους . . .
Πυ. ἐγὼ δ' †ἐπεβούλευσα† κἀπέλυσ' ὄκνου . . .
Ορ. σοί, πάτερ, ἀρήγων. Ηλ. οὐδ' ἐγὼ προύδωκά σε.
Πυ. οὔκουν ὀνείδη τάδε κλύων ῥύσῃ τέκνα;

1215 αὐτῇ L 1216 μὲν νῦν codd. 1219 del. Herwerden 1220 τ'] δ' B ἐν δόμοις M L et fortasse Σ: ἐκ δόμων primitus A 1221 σανίδας A B L 1223 ὁπλιζόμεσθα A: ὁπλιζόμεθα M: ὁπλιζώμεθα P 1223, 1224 inverso ordine leguntur in F: 1224 del. Hermann 1226 καλῶ Cobet 1227-1230 ἐν τῷ ἀντιγράφῳ οὐ φέρονται οὗτοι οἱ δ' ἴαμβοι, [καὶ] ἐν ἄλλῳ δέ Σ ad v. 1229 1231 εἰ κλύεις] ἐγκλύεις L 1232 θνῄσκουσ' hic M 1233 καὶ ἐμᾶς (ἑμᾶς M) λιτᾶς M L 1234 ἄκουσον P 1235 μητέρα (sic) M L P Ηλ. M[2]: Πυ. M rell. 1236 Πυ. M[2]: Ηλ. M rell. δ' ἐπεβούλευσα M A L P: fortasse δὲ προεβούλευσα: δ' ἐπεκέλευσα B: δέ γ' ἐπεκέλευσα Porson: δ' ἐπενεκέλευσα Nauck, cf. El. 1224: cf. Σ ὅ ἐστι· συνήνεσα τῷ φόνῳ 1237 Ηλ.] Πυ. L 1238 Πυ.] Ορ. L ῥῦσαι L P (et sic Σ: cf. I. A. 528)

Ορ. δακρύοις κατασπένδω σε. Ηλ. ἐγὼ δ' οἴκτοισί γε.
Πυ. παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραί,
κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε καὶ Δίκης σέβας,
δότ' εὐτυχῆσαι τῷδ' ἐμοί τε τῇδέ τε·
τρισσοῖς φίλοις γὰρ εἷς ἀγών, δίκη μία,
ἢ ζῆν ἅπασιν ἢ—θανεῖν ὀφείλεται.

Ηλ. Μυκηνίδες ὦ φίλαι, [στρ.
τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.
Χο. τίνα θροεῖς αὐδάν, πότνια; παραμένει
γὰρ ἔτι σοι τόδ' ἐν Δαναϊδῶν πόλει.
Ηλ. στῆθ' αἳ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἳ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.
Χο. τί δέ με τόδε χρέος ἀπύεις;
ἔνεπέ μοι, φίλα.
Ηλ. φόβος ἔχει με μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φοίνιον αἷμα
πήματα πήμασιν ἐξεύρῃ.
Ημ. χωρεῖτ', ἐπειγώμεσθ'· ἐγὼ μὲν οὖν τρίβον
τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.
Ημ. καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.
Ηλ. δόχμιά νυν κόρας διάφερ' ὀμμάτων.
Χο. ἐκεῖθεν ἐνθάδ', εἶτα παλινσκοπιὰν
ἔχομεν, ὡς θροεῖς.

1239 Ορ. et Ηλ. notas om. L: Ηλ. et Ορ. F. Gu. Schmidt cum 1238 Oresti tribuit 1240 ἐξωρμώμεθα M: corr. M^2: ἐξομώμεθα A 1241 γῆς εἴσω γῆς P 1242 Ζεῦ om. P δίκας L P: corr. P^2 1243 δὸς L 1245 aut sic distinguendus aut cum Nauckio delendus 1246 φίλιαι Hermann: cf. 1266 1247 πρῶτ' ἀνὰ Hartung (κατὰ etiam Σ) ἔδον L: corr. *l* 1251 τήνδ' L 1254 ἔννεπε codd. 1255 δώματι L 1256 ταθεὶς L: corr. *l* φόνιον codd.: corr. Triclinius 1258 Χο. praef. M^2, notam omiserat M ἐπειγόμεσθ' L: om. M A 1259 τόνδε φυλάξω L: τόνδ' ἐκφυλάσσω primitus A 1260 τόνδ'] τὸν L 1261 Ηλ. om. L δόχμια νῦν codd. 1262 Χο. praef. Wilamowitz, 1263 codd.: cf. ad 1284 1264 εἶτα παλινσκοπίαν M: εἶτα πάλιν σκοπιάν A B: εἶτ' ἐπ' ἄλλην σκοπιάν A^2 B^2 L P

Ηλ. ἑλίσσετέ νυν βλέφαρα, [ἀντ.
κόραισι δίδοτε πάντα διὰ βοστρύχων.
Ημ. ὅδε τις ἐν τρίβῳ [προσέρχεται]. τίς ὅδ' ἄρ' ἀμ-
φὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;
Ηλ. ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι· κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖσιν φανεῖ.
Ημ. ἄφοβος ἔχε· κενός, ὦ φίλα,
στίβος ὃν οὐ δοκεῖς.
Ηλ. τί δέ; τὸ σὸν βέβαιον ἔτι μοι μένει;
δὸς ἀγγελίαν ἀγαθάν τιν',
εἰ τάδ' ἔρημα τὰ πρόσθ' αὐλᾶς.
Ημ. καλῶς τά γ' ἐνθένδ'. ἀλλὰ τἀπὶ σοῦ σκόπει·
ὡς οὔτις ἡμῖν Δαναΐδῶν πελάζεται.
Ημ. ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.
Ηλ. φέρε νυν ἐν πύλαισιν ἀκοὰν βάλω.
Χο. τί μέλλεθ' οἱ κατ' οἶκον ἐν ἡσυχίᾳ
σφάγια φοινίσσειν;

Ηλ. οὐκ εἰσακούουσ'· ὦ τάλαιν' ἐγὼ κακῶν.
ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφηται ξίφη;

1266 Ηλ. om. M L ἑλίσσετε νῦν codd. βλέφαρα recc.: βλέφαρον M A B L P 1267 κόρας διάδοτε Canter διὰ βοστρύχων πάντη (πάντα L) codd. et Σ alter: trai. Triclinius: cf. Σ alterum πάντα τόπον τῇ θέᾳ δίδοτε: διὰ βοτρύχων πάντη Dindorf, cl. Phoen. 1485 1269 post τρίβῳ glossema προσέρχεται habent codd.: cf. v. 1249: πρόσεχε Seidler: τίς ὅδε Hermann: πότνια Wecklein 1271 ἀπολόμεθ' M ἄρ' L: ἂρ M B: ἂν A P κεκρυμένας primitus M 1272 ἐχθροῖσιν] ἐχθροῖσι M: ἐχθροῖς εἶ (ἦν A²) A L: ἐχθροῖσιν εἶ P: ἐχθρὸς mut. in ἐχθροῖς B φανῇ A L et primitus B 1273 Χο. praef. L 1274 οὐ M B Σ: σὺ A L P 1276 τιν' Triclinius: τινά μοι codd.: cf. 1256 1278 Χο. praef. M B L: ἡμιχ. B² ἐνθένδ' recc.: ἔνθεν M A B L P τἀπίσω M² B: τἀπὶ σῶ L 1279 Ηλ. praef. L 1280 Χο. praef. L 1281 ante v. personae nota erasa in A νῦν codd. 1284 Χο. praef. Wilamowitz, cf. 1262: Electrae continuant codd. sed vide ad 1286 1285 γρ. σφαγίδα φοινίσσειν Σ 1286 Ηλ. praef., ut videtur, M P: om. A B L εἰσακούσουσ' M² 1287 ἆρ' ἐς] ἂρ εἰ M ἐκκεκώφηται M A B L P γρ. Σ: ἐκκεκώφηνται Clem. Strom. ii. p. 175 et γρ. Σ: ἐκκεκώφωται F: ἐκκεκώφωνται Aristophanes ap. Σ et suprascr. B², cf. Athen. v. p. 188 C πρὸς τὸ περιβόητον ἐκκεκωφωμένοι κάλλος

τάχα τις Ἀργείων ἔνοπλος ὁρμήσας
ποδὶ βοηδρόμῳ μέλαθρα προσμείξει.
σκέψασθέ νυν ἄμεινον· οὐχ ἕδρας ἀγών·
ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.
Χο. ἀμείβω κέλευθον σκοποῦσα πάντῃ.

Ελ. ⟨ἔνδοθεν⟩ ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.
Χο. — ἠκούσαθ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ.
— Ἑλένης τὸ κώκυμ' ἐστίν, ὡς ἀπεικάσαι.
Ηλ ὦ Διός, ὦ Διὸς ἀέναον κράτος,
ἔλθ' ἐπίκουρος ἐμοῖς φίλοισι πάντως.
Ελ. ⟨ἔνδοθεν⟩ Μενέλαε, θνῄσκω· σὺ δὲ παρὼν μ' οὐκ ὠφελεῖς.
Ηλ. φονεύετε, καίνετε,
ὄλλυτε, δίπτυχα δίστομα φάσγανα
ἐκ χερὸς ἱέμενοι
τὰν λιποπάτορα λιπόγαμον, ἃ
πλείστους ἔκανεν Ἑλλάνων
δορὶ παρὰ ποταμὸν ὀλομένους,
ὅθι δάκρυα δάκρυσιν ἔπεσεν
σιδαρέοισι βέλεσιν ἀμ-
φὶ τὰς Σκαμάνδρου δίνας.

1289 ἔνοπλος recc. : ἐν ὅπλοις M A B L P 1291 σκέψασθαι M[2] νῦν L P 1295 σκοποῦσα πάντα M A B L P : σκοπεύουσ' ἁπάντᾳ Nauck ex gramm. Ambros. (in Append. Lex. Vindob. p. 285, Studemund Anecdota 226) qui h. v. ut bacchiacum adfert : ibi corrupte σκοπεὺς ἀπατᾷ legitur 1296 πελασγῶν P 1297 Ημιχ., 1298 Ημιχ., 1299 Ηλ. praef. Hermann : 1297 Ηλ. (ex Χο. mutatam B) M A B L P : 1298 nullam notam M A B L P : 1299 Ημιχ. M A B : Χο. P : nullam notam L 1297 ἠκούσατ'; οἱ ἄνδρες B[2] : ἠκούσατ' ἄνδρες M A L P 1298 κώκυσμ' P 1299 ἀένναον M B P 1300 ἐπίκουρος M[c] : ἐπίκουρον A B L P ἐμοῖς recc. : ἐμοῖσι codd. 1301 μ' om. L 1302 Ηλ.] Ημιχ. B καίνυτε M : καίνετ' L 1303 ὄλλυτε] ἀπόλλυτε Wecklein φάσγανα A L P : φάσγανα πέμπετε M B : γρ. καὶ θείνετε M 1304 χειρὸς P : videtur hos vv. Choro tribuisse Σ (ἁπλούστερον ὡς γυναῖκες εἶπον) 1305 εἰς ante v. scr. B[2] τὰν l : om. M A B L P λειποπάτορα λειπόγαμον A L λιπόγαμόν θ' Hermann dochmios efficiens 1306 ἔκτανεν M L 1308 ὀλλομένους P 1309 δάκρυσιν ἔπεσε M B (ἀντὶ τοῦ συνέπεσε Σ) : δάκρυσι συνέπεσε L : δάκρυσι συνέπεσεν ἔπεσε A P 1309 βέλεσσιν L 1310 τὰς] τὰ M

Χο. σιγᾶτε σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
κέλευθον ἐσπεσόντος ἀμφὶ δώματα.
Ηλ. ὦ φίλταται γυναῖκες, ἐς μέσον φόνον
ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
στείχει γὰρ ἐσπεσοῦσα δικτύων βρόχους.
καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
χρόᾳ δ' ἀδήλῳ τῶν δεδραμένων πέρι·
κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.

ὦ παρθέν', ἥκεις τὸν Κλυταιμήστρας τάφον
στέψασα καὶ σπείσασα νερτέροις χοάς;

ΕΡΜΙΟΝΗ

ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά μοι
φόβος τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις
τηλουρὸς οὖσα δωμάτων κλύω βοήν.
Ηλ. τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.
Ερ. εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;
Ηλ. θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.
Ερ. μὴ δῆτ', ἐμοῦ γε συγγενεῖς πεφυκότας.
Ηλ. ἄραρ'· ἀνάγκης δ' ἐς ζυγὸν καθέσταμεν.
Ερ. ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;
Ηλ. ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ . . .
Ερ. τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
Ηλ. τλήμων Ὀρέστης· μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.
Ερ. ἐπ' ἀξίοισί τἄρ' ἀνευφημεῖ δόμος.
Ηλ. περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;

1311 Χο.] ὅλος ὁ χορός praef. A 1315 ἐσπεσοῦσα] ἐσπαίσουσα Wecklein, cl. Rhes. 560 1318 χρόᾳ A P : χρόα M B : χροιᾶ vel χροιᾷ L M² *b* δ' Porson : τ' codd. 1322 νερτέρων O 1324 ἐν δόμοις] ἔνδοθεν Hartung 1328 καί μ' A 1329 ἐμοῦ M L : ἐμούς A B P γε om. L : add. *l* 1330 ἀνάγγης εἰς A ἐς hic L P 1332 προσπεσὸν M : corr. M² 1333 οὐδὲν] οὐ γὰρ M ἢν μὴ σὺ L 1335 ἀξίοισι τ' ἆρ' A : ἀξίοισιν ἆρ' L B² : ἀξίοις τ' ἄρ' P : ἀξίοισιν γὰρ M B δόμους primitus B et ut videtur M

ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ', ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
οἴκτιρον ἡμᾶς κἀπικούφισον κακῶν.
ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.
Ερ. ἰδού, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.
σώθηθ' ὅσον γε τοὐπ' ἐμέ.
Ηλ. ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;
Ερ. οἲ ἐγώ· τίνας τούσδ' εἰσορῶ;
Ορ. σιγᾶν χρεών·
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.
Ηλ. ἔχεσθ' ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
βάλλοντες ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακούς,
εὑρὼν ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.

Χο.— ἰὼ ἰὼ φίλαι, [στρ.
κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν
πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοις κείμενον,
ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·

1337 καὶ om. L 1341 κἀποκούφισον F 1342 ἐγὼ διηγήσομαι A 1345 γε om. A ἐμέ] ἔμ' Triclinius: ἐμοὶ codd. 1346 φίλοι] ἄνδρες F 1347 οἲ . . . εἰσορῶ om. M: add. in margine Ορ.] Ηλ. Lachmann 1348 ἥκεις om. M: add. M² 1349 δέρην P 1350 βάλλοντες M L: βαλόντες A B P 1352 in textu om., add. in margine inferiore A 1353 Χο. notam M, nunc erasam: om. A B L P: vide ad 1361 1355 ἐμβάλλει M 1356 δόμους] οἴκους A L 1359 λόγων P του] τοῦ L P et τοῦ ante v. habet A πυθόμεθα M: corr. M²

τὰ μὲν γὰρ οἶδα συμφορᾶς, τὰ δ' οὐ σαφῶς.

— διὰ δίκας ἔβα θεῶν
νέμεσις ἐς Ἑλέναν.
δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
διὰ τὸν ὀλόμενον ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.

— [ἀλλὰ κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,
σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.]

ΦΡΥΞ

Ἀργέϊον ξίφος ἐκ θανάτου πέφευγα
βαρβάροις ἐν εὐμάρι-
σιν, κεδρωτὰ παστάδων ὑπὲρ τέραμνα
Δωρικάς τε τριγλύφους,
φροῦδα φροῦδα, γᾶ γᾶ,
βαρβάροισι δρασμοῖς.
αἰαῖ·
πᾷ φύγω, ξέναι, πολιὸν αἰθέρ' ἀμ-
πτάμενος ἢ πόντον, Ὠκεανὸς ὃν
ταυρόκρανος ἀγκάλαις
ἑλίσσων κυκλοῖ χθόνα;

Χο. τί δ' ἔστιν, Ἑλένης πρόσπολ'. Ἰδαῖον κάρα;

Φρ. Ἴλιον Ἴλιον, ὤμοι μοι,
Φρύγιον ἄστυ καὶ καλλίβωλον Ἴ-

1360 τὰ μὲν . . . τὰ δ' M (et, ni fallor, Σ) sed primitus τὰς . . . τὰς habuit: τὰς . . . τὰς M² A B L P συμφορὰς M² A B L P : om. M : corr. Wecklein 1361 Χο. praef. M A B L P 1363 ἅπασαν A B L : ἅπαν M : πάσαν M² (sic) πᾶσαν ἑλλάδ' P 1365 ἤγαγ' L 1366–1368 non Euripidis sed histrionum esse contendit Σ, ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι, cl. 1371 sq. 1366 κλῇθρα M¹ B : κλεῖθρα M M² A L P 1368 πευσόμεθα L P et fortasse M 1369 ἀργεῖον codd. 1370 βαρβάροισιν M ἐν om. A (habuit Etym. Magn. p. 393. 18) 1371 τέρεμνα A L P 1375 ξένοι suprascr. in M 1377 ὠκεανὸν L 1378 ἀγκάλαισι A¹ vel A² 1379 κυκλοῖ A L : κυκλεῖ M B P 1380 ἔστ' vel ἔσθ' codd. 1382 καὶ M : om. A B L P καλλίβολον M

δας ὄρος ἱερόν, ὥς σ' ὀλόμενον στένω
[ἁρμάτειον ἁρμάτειον μέλος]
βαρβάρῳ βοᾷ δι' ὀρνιθόγονον
ὄμμα κυκνοπτέρου καλλοσύνας, Λήδας
σκύμνου, δυσελένας
δυσελένας,
ξεστῶν περγάμων Ἀπολλωνίων
ἐρινύν· ὀττοτοῖ·
ἰαλέμων ἰαλέμων
Δαρδανία τλᾶμον Γανυμήδεος
ἱπποσύνᾳ, Διὸς εὐνέτα.

Χο. σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις.
[τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.]

Φρ. αἴλινον αἴλινον ἀρχὰν θανάτου
βάρβαροι λέγουσιν, αἰαῖ,
Ἀσιάδι φωνᾷ, βασιλέων
ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
σιδαρέοισιν Ἅιδα.
ἦλθον ἐς δόμους, ἵν' αὔθ' ἕ-
καστά σοι λέγω, λέοντες
Ἕλλανες δύο διδύμω·
τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζεθ',
ὁ δὲ παῖς Στροφίου, κακόμητις ἀνήρ,
οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,

1383 ὅς M : ὥς M² 1384 ἁρμάτειον μέλος seclusi, cf. Σ: Ἀπολλώνιος ὁ Κυρηναῖος παρεπιγραφὴν λέγει εἶναι . . . εἰ δὲ ἦν παρεπιγραφή, ἅπαξ ἂν ἐπεγράφετο: ubi v. Schwartz 1385 διὰ τὸ τᾶς ὀρνιθόγονον codd. : corr. Porson 1386 κυκνόπτερον codd. : corr. Barnes 1387 σκύμνου recc. : σκύμνον codd. 1387 sq. δυσελένας semel F: δυσελέναν Kirchhoff 1389 ἐρινῦν M B : ἐριννῦν A : ἐριννύν L ὀτοτοί F 1391 τλάμων A L et primitus M B γαννυμήδεος L P ἱπποσύνα codd. 1393 αὖθ' ἕκαστ' ἂν M : corr. M² 1393 sq. ἕκαστα συμβαλοῦσ' A, verbis τἀν . . . εὔγνωστα omissis 1394 ἐν πολλοῖς ἀντιγράφοις οὐ γράφεται Σ M 1398 βαλήνων Wecklein 1399 ἅϊδαο L 1400 εἰς del. Hermann senarium efficiens 1401 δύω B 1402 ἐκληΐζετο codd. 1403 κακομήτας codd. : corr. Porson ἀνὴρ om. A L P 1404 et σιγᾷ et σίγα (h. e. ἐσίγα) Σ

πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔρροι τᾶς ἡσύχου
προνοίας κακοῦργος ὤν.
οἱ δὲ πρὸς θρόνους ἔσω
μολόντες ἃς ἔγημ' ὁ τοξότας Πάρις
γυναικός, ὄμμα δακρύοις
πεφυρμένοι, ταπεινοὶ
ἕζονθ', ὃ μὲν τὸ κεῖθεν, ὃ δὲ
τὸ κεῖθεν, ἄλλος ἄλλοθεν πεφραγμένοι.
περὶ δὲ γόνυ χέρας ἱκεσίους ἔβαλον ἔβαλον
Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
ἀμφίπολοι Φρύγες·
προσεῖπε δ' ἄλλος ἄλλον ἐν φόβῳ πεσών,
μή τις εἴη δόλος.
κᾀδόκει τοῖς μὲν οὔ,
τοῖς δ' ἐς ἀρκυστάταν
μηχανὰν ἐμπλέκειν
παῖδα τὰν Τυνδαρίδ' ὁ
μητροφόντας δράκων.

Χο. σὺ δ' ἦσθα ποῦ τότ'; ἢ πάλαι φεύγεις φόβῳ;

Φρ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ
κύκλῳ πτερίνῳ πρὸ παρηίδος
ἀίσσων βαρβάροις νόμοισιν.

1405 *θρασὺς δ'* P *ἐς ἀλκὴν* L 1406 *πολέμῳ* L 1407 *ἀσύχου* Dindorf 1409 *τοξότης* L P 1414 *χεῖρας* M A B L P 1415 *ἔβαλλον ἔβαλλον* suprascr. M 1418 *πεσὼν ἐν φόβῳ* codd.: traieci 1421 *ἐς* om. A *ἀρκυστάτην* P 1423 *τὰν*] *τὴν* M A B L P 1424 *μητροφόντης* P 1425 *τότ'*] *πότ'* primitus B 1426 *ἔφυγον* primitus M *φρυγίοις* L P 1428 *εὐπαγεῖ* B: *εὐπηγεῖ* M A L P: *εὐπᾶγι* Hermann 1430 *βαρβάροισι* M Λ B L P *βαρβάροις νόμοισιν*] glossema seclusit Wilamowitz

ἃ δὲ λίνον ἠλακάτᾳ
δακτύλοις ἕλισσεν,
νῆμα δ' ἵετο πέδῳ,
σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
ματα συστολίσαι χρῄζουσα λίνῳ,
φάρεα πορφύρεα, δῶρα Κλυταιμήστρᾳ.
προσεῖπεν δ' Ὀρέστας
Λάκαιναν κόραν· Ὦ
Διὸς παῖ, θὲς ἴχνος
πέδῳ δεῦρ' ἀποστᾶσα κλισμοῦ,
Πέλοπος ἐπὶ προπάτορος ἕδραν
παλαιᾶς ἑστίας,
ἵν' εἰδῇς λόγους ἐμούς.—
ἄγει δ' ἄγει νιν· ἁ δ' ἐφείπετ',
οὐ πρόμαντις ὧν ἔμελλεν·
ὁ δὲ συνεργὸς ἄλλ' ἔπρασσ'
ἰὼν κακὸς Φωκεύς·
Οὐκ ἐκποδὼν ἴτ'; ἀλλ' ἀεὶ κακοὶ Φρύγες.
ἔκλῃσε δ' ἄλλον ἄλλοσ' ἐν
στέγαισι· τοὺς μὲν ἐν σταθμοῖ-
σιν ἱππικοῖσι, τοὺς δ' ἐν ἐξ-
έδραισι, τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν [ἄλλον ἄλ-
λοσε] διαρμόσας ἀποπρὸ δεσποίνας.
Χο. τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;
Φρ. Ἰδαία μᾶτερ
μᾶτερ ὀβρίμα ὀβρίμα,

1431 λίν' Weil 1432 ἕλισσε M A B L P 1433 νῆμα δ' L: νήμαθ' A: νήματα δ' M B P 1434 ἐπιτύμβι' Herwerden 1435 συστολῆσαι P: στολίσαι L 1437 προσεῖπε A B L P ὀρέστης P 1443 λόγοις M, corr. M[2] 1445 ἔμελλε M: ἔμελλε παθεῖν L 1447 αἰεὶ M A L P 1448 ἐκλήϊσε M A B L P ἄλλοσ' ἄλλον ἐν A: ἄλλον ἄλλοσε P στέγαις codd.: στέγης recc. 1449 ἱππικοῖς L ἐν ἕδραισι P 1450 verba ἄλλον ἄλλοσε suspecta Weckleinio 1452 ἐγίνετο L: ἐγένετο P 1453 μᾶτερ semel L 1454 ὄμβριμα ὄμβριμα L

αἰαὶ φονίων παθέων ἀνόμων
τε κακῶν ἅπερ ἔδρακον ἔδρακον
ἐν δόμοις τυράννων.
ἀμφιπορφυρέων πέπλων
ὑπὸ σκότου ξίφη σπάσα-
ντες ἄλλος ἄλλοσ' ἐν χεροῖν
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ' ὀρέστεροι γυ-
ναικὸς ἀντίοι σταθέντες
ἐννέπουσι· Κατθανῇ
κατθανῇ,
κακός σ' ἀποκτείνει πόσις,
κασιγνήτου προδοὺς
ἐν Ἄργει θανεῖν γόνον.
ἃ δ' ἀνίαχεν ἴ-
αχεν· Ὤμοι μοι.
λευκὸν δ' ἐμβαλοῦσα πῆχυν στέρνοις
κτύπησε κρᾶτα μέλεον
πλαγᾷ· φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον
ἴχνος ἔφερεν ἔφερεν· ἐς
κόμας δὲ δακτύλους δικὼν Ὀρέστας,
Μυκηνίδ' ἀρβύλαν προβάς,
ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
παίειν λαιμῶν ἔμελ-
λεν εἴσω μέλαν ξίφος.

Χο. *ποῦ δ' ἦτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;*

1456 post prius *ἔδρακον* spatium unius v. vacuum in A *δόμοισι* A 1457 *ἀμφὶ πορφυρέων* codd.: corr. Radermacher 1458 *ἄλλος ἄλλοσε* post *χεροῖν* habent codd.: traieci *ἐν*] *ἐκ* M A: corr. M² 1459 *τύχη* primitus P 1460 *ἀντία* P 1462 *γρ. ἀποκτενεῖ* M 1465 *ἃ δ'*] *ἣ δ'* suprascr. B²: *ὅδ'* L *ἀνίαχεν ἀνίαχεν* A: *ἀνίαχεν* (omisso *ἴαχεν*) M 1466 *στέρνοις* del. Wilamowitz 1467 *κρᾶτα* B, suprascr. *τὸ* super *τα* B² *πλαγάν* M² B L 1468 *φυγῶι* M: *φυγῶ* L: *φυγάδι* Facius 1469 *ἐς* hic M A B L P 1472 *λαιμῶν* M: *λαιμὸν* M² A B L P 1473 *ποῦ δῆτ'* M A B L P: corr. Bothe

Φρ. ἰαχᾷ
δόμων θύρετρα καὶ σταθμοὺς
μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
ὃ μὲν πέτρους, ὃ δ' ἀγκύλας,
ὃ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
ἔναντα δ' ἦλθε Πυλάδης
ἀλίαστος, οἷος οἷος Ἕκ-
τωρ ὁ Φρύγιος ἢ τρικόρυθος Αἴας,
ὃν εἶδον εἶδον ἐν πύλαις
Πριαμίσι· φασγάνων δ' ἀκμὰς
συνήψαμεν.
δὴ τότε διαπρεπεῖς τότ' ἐγένοντο Φρύγες,
ὅσον Ἄρεως ἀλκὰν
ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς,
ὃ μὲν οἰχόμενος φυγάς, ὃ δὲ νέκυς ὤν,
ὃ δὲ τραῦμα φέρων, ὃ δὲ λισσόμενος,
θανάτου προβολάν·
ὑπὸ σκότον δ' ἐφεύγομεν·
νεκροὶ δ' ἔπιπτον, οἳ δ' ἔμελλον, οἳ δ' ἔκειντ'.
ἔμολε δ' ἁ τάλαιν' Ἑρμιόνα δόμους
ἐπὶ φόνῳ χαμαιπετεῖ ματρός, ἅ
νιν ἔτεκεν τλάμων.
ἄθυρσοι δ'
οἷά νιν δραμόντε Βάκχαι
σκύμνον ἐν χεροῖν ὀρείαν
ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν

1474 om. P: add. *p* ἐμβαλόντες M A P 1476 οἱ μὲν L 1477 χεροῖν B P: χερσὶν M A L 1478 ἔναντι L 1479 ἄλαστος Wilamowitz ex Il. X 261 οἷο οἷος L 1481 πύλαισι M A B L P πριαμίσι M B P: πριαμίσιν A L 1483 τότε δὴ τότε διαπρεπεῖς codd.: traieci dochmios efficiens 1484 Ἄρεως M B L: ἄρεος M² B² A P 1490 ἡ L Ἑρμιόνη L P 1491 ἔτεκε A L P 1492 δραμόντες L P 1493 συνήρπασαν M τᾶς Διὸς κόρας Paley (τὰν . . . κόραν Σ)

ἐπὶ σφαγὰν ἔτεινον· ἁ δ'
ἐκ θαλάμων
ἐγένετο διαπρὸ δωμάτων
ἄφαντος, ὦ Ζεῦ καὶ γᾶ
καὶ φῶς καὶ νύξ,
ἤτοι φαρμάκοισιν ἢ
μάγων τέχναις ἢ θεῶν κλοπαῖς.
τὰ δ' ὕστερ' οὐκέτ' οἶδα· δρα-
πέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ πολύπονα πάθεα
Μενέλεως ἀνασχόμενος ἀνόνητον ἀ-
πὸ Τροίας ἔλαβε τὸν Ἑλένας γάμον.

Χο. καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

Ορ. ποῦ 'στιν οὗτος ὃς πέφευγεν ἐκ δόμων τοὐμὸν ξίφος;
Φρ. προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.
Ορ. οὐκ ἐν Ἰλίῳ τάδ' ἐστίν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.
Φρ. πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.
Ορ. οὔτι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;
Φρ. σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.
Ορ. ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;
Φρ. ἐνδικώτατ', εἴ γε λαιμοὺς εἶχε τριπτύχους θανεῖν.
Ορ. δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν.
Φρ. οὐ γάρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
Ορ. ὄμοσον—εἰ δὲ μή, κτενῶ σε—μὴ λέγειν ἐμὴν χάριν.

1494 *ἐκ θαλάμων* del. Wilamowitz 1495 *δὴ πρὸ* L 1498 *τέχναισιν* recc. 1499 *οὐ κάτοιδα* (*κατοῖδα* M) M B 1501 *μενέλαος* codd. 1502 *ἑλένης* L 1504 *γὰρ ἐκ προδωμάτων εἰσορῶ* L 1506 incipit rursus V *τοὐμὸν ἐκ δόμων* P 1507 *βαρβάροις* M L : *βαρβαρικοῖς* P *προσπίπτων* codd. : corr. recc. 1510 *κραυγεῖν* M *μενέλεων* H et Thessalonicensis 1511 *σὺ* M : corr. M[2] *οὖν* om. L 1512 *ἄρα* V P *ἀνάξια καὶ τραγῳδίας καὶ τῆς Ὀρέστου συμφορᾶς τὰ λεγόμενα* Σ 1514 *οὕτως* L 1515 *αὐτοῖσι* V A L P 1516 *κτενῶ* V : *κτανῶ* rell.

Φρ. τὴν ἐμὴν ψυχὴν κατώμοσ᾽, ἣν ἂν εὐορκοῖμ᾽ ἐγώ.
Ορ. ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;
Φρ. ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
Ορ. μὴ πέτρος γένῃ δέδοικας ὥστε Γοργόν᾽ εἰσιδών;
Φρ. μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ᾽ οὐ κάτοιδ᾽ ἐγὼ κάρα.
Ορ. δοῦλος ὢν φοβῇ τὸν Ἅιδην, ὅς σ᾽ ἀπαλλάξει κακῶν;
Φρ. πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
Ορ. εὖ λέγεις· σῴζει σε σύνεσις. ἀλλὰ βαῖν᾽ ἔσω δόμων.
Φρ. οὐκ ἄρα κτενεῖς με; Ορ. ἀφεῖσαι. Φρ. καλὸν ἔπος λέγεις τόδε.
Ορ. ἀλλὰ μεταβουλευσόμεσθα. Φρ. τοῦτο δ᾽ οὐ καλῶς λέγεις.
Ορ. μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
οὔτε γὰρ γυνὴ πέφυκας—οὔτ᾽ ἐν ἀνδράσιν σύ γ᾽ εἶ.
τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν οὕνεκ᾽ ἐξῆλθον δόμων·
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ᾽ οὐ τάρβος ἡμῖν ἀναλαβεῖν ἔσω ξίφους·
ἀλλ᾽ ἴτω ξανθοῖς ἐπ᾽ ὤμων βοστρύχοις γαυρούμενος·
εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβών,
τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σῴζειν θέλει
σύγγονόν τ᾽ ἐμὴν Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.

Χο. — ἰὼ ἰὼ τύχα, [ἀντ.
ἕτερον εἰς ἀγῶν᾽, ἕτερον αὖ δόμος
φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει.

1517 ἂν om. V 1518 σίδαρος V P πᾶσι om. M ἰν φόβος L 1519 γρ. ἄπαγε M 1520 ἐσιδών A 1522 ἀπαλλάξῃ M L P κακῶν] χθονός A 1523 ὁρᾶν V P 1525 κτανεῖς L P με B V L P: μ᾽ M A 1526 μεταβουλευσόμεσθα B: -μεθα rell. 1527 τλῆναι om. V 1528 πέφηνας V ἐν om. L P malim σύ γε 1529 τοῦ] τοῦτο M: corr. M^2 (ut videtur) ἦλθον P 1531 ἔσω hic V ξίφος M L 1533 γὰρ] δ᾽ ἄρ᾽ Weil λαβών] μολῶν V: μολών M^2 1534 σῴζειν θέλει L P B: σῴζειν θέλῃ M A: σώσῃ θανεῖν V (sed εῖν in ras. v) γρ. M γρ. B 1535 τε om. A 1536 δύω V L 1537 ἰὼ τύχα ἰὼ τύχα V ἕτερον ἀγῶνα V αὖ om. L

— *τί δρῶμεν; ἀγγέλλωμεν ἐς πόλιν τάδε;*
ἢ σῖγ' ἔχωμεν; ἀσφαλέστερον, φίλαι.
— *ἴδε πρὸ δωμάτων ἴδε προκηρύσσει*
θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
— *ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους*
τοὺς Ταντᾰλείους, οὐδ' ἀφίστανται φόνου.
— *τέλος ἔχει δαίμων βροτοῖς,*
τέλος ὅπᾳ θέλῃ.
— *μεγάλα δέ τις ἁ δύναμις †δι' ἀλαστόρων*
ἔπεσ' ἔπεσε μέλαθρα τάδε δι' αἱμάτων†
διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.

— *ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας*
ὀξύπουν, ᾐσθημένον που τὴν τύχην ἣ νῦν πάρα.
οὐκέτ' ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς,
ὦ κατὰ στέγας Ἀτρεῖδαι. δεινὸν εὐτυχῶν ἀνὴρ
πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς.

Με. *ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια*
δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον
ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται—
κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοί τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ' ἐστὶ ταῦτα καὶ πολὺς γέλως.

ante 1539 et 1541 Ημιχ., ante 1549 Χο. habent codd.: notas del. Kirchhoff: paragraphos apposuimus, sed dubitanter: cf. stropham 1353 sqq.: sed cf. etiam Σ ad 1539 *μερίζεται τὴν γνώμην ὁ χορός* 1539 *ἀγγέλωμεν* M: *ἀγγέλλομεν* V 1540 *ἔχομεν* V P *ἀσφαλεστέραν* M B: corr. *b* 1541 *δομάτων* M 1544 *τὰς* V *φόνου*] *πόνου* recc.: *γρ. πόνου* Σ Taur. 1545 *βροτοῖσι* vel *βροτοῖσιν* codd. 1546 *ὅπα* V: *ὅπου* *v* *θέλη* M V: *θέλει* rell. 1547 *μεγάλη* V et suprascr. B *ἀλάστορ'* Seidler, cf. 1363: versus nondum expediti 1548 *ἔπεσ' ἔπεσε* B: *ἔπεσεν ἔπεσε* M V P: *ἔπαισεν ἔπαισε* A L: et *ἔπεσεν* et *ἔπαισεν* Σ 1549 *πέλας*] *πάρος* V: *γρ. πέρα* M 1550 del. Nauck 1551 Ηλ. praescr. B^2 *p*, tum del. *p* *κλεῖθρα* V A L P 1553 *σὺ* om. M 1558 *καινὴν* L

ἀνοιγέτω τις δῶμα· προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ᾽, ὡς ἂν ἀλλὰ παῖδ᾽ ἐμὴν
ῥυσώμεθ᾽ ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ᾽ ἐμὴν
λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.

Ορ. οὗτος σύ, κλῄθρων τῶνδε μὴ ψαύσῃς χερί·
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
μοχλοῖς δ᾽ ἄραρε κλῇθρα, σῆς βοηδρόμου
σπουδῆς ἅ σ᾽ εἴρξει, μὴ δόμων ἔσω περᾶν.
Με. ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
δόμων δ᾽ ἐπ᾽ ἄκρων τούσδε πυργηρουμένους,
ξίφος δ᾽ ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.
Ορ. πότερον ἐρωτᾶν ἢ κλύειν ἐμοῦ θέλεις;
Με. οὐδέτερ᾽· ἀνάγκη δ᾽, ὡς ἔοικε, σου κλύειν.
Ορ. μέλλω κτενεῖν σου θυγατέρ᾽, εἰ βούλῃ μαθεῖν.
Με. Ἑλένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;
Ορ. εἰ γὰρ κατέσχον μὴ θεῶν κλεφθεὶς ὕπο.
Με. ἀρνῇ κατακτὰς κἀφ᾽ ὕβρει λέγεις τάδε;
Ορ. λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον . . .
Με. τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ ἐς φόβον.
Ορ. τὴν Ἑλλάδος μιάστορ᾽ εἰς Ἅιδου βαλεῖν.
Με. ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
Ορ. θεοὺς ἀπαίτει. παῖδα δὲ κτενῶ σέθεν.

1561 δῶμα] κλεῖθρα V 1562 ἀλλὰ om. L 1563 χειρῶν M L 1564–1566 suspecti Weckleinio: conveniunt uxorio homini 1564 δάμαρ primitus M 1565 χειρὶ M L: corr. M² 1567 κλείθρων A V L P 1569 θριγγῷ A P συνθράσω M: συνθλάσω P 1570 πόνων B: corr. B² 1571 κλεῖθρα A V L P σῆς] τῆς Wecklein 1574 δ᾽] τ᾽ V πυργυρουμένους P et primitus B V, cf. 762 1575 ἐπιφρούρων M: corr. M² 1577 οὐδ᾽ ἕτερον L: οὐδέτερον A P 1578 κτανεῖν codd. σου] σὴν L 1579 φόνῳ] φόνου primitus V δράσεις V 1583 πρᾶξαι V 1585 νέκυν ὡς θάψω A τάφον O 1586 κτανῶ A L P

Με. ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον;
Ορ. ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προύδωκας θανεῖν.
Με. οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα μητέρος;
Ορ. οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
Με. ἦ καὶ σύ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
Ορ. φησὶν σιωπῶν· ἀρκέσω δ' ἐγὼ λέγων.
Με. ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
Ορ. οὐ φευξόμεσθα· πυρὶ δ' ἀνάψομεν δόμους.
Με. ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
Ορ. ὡς μή γ' ἔχῃς σύ, τήνδ' ἐπισφάξας πυρί.
Με. κτεῖν'· ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.
Ορ. ἔσται τάδε. Με. ἆ ἆ, μηδαμῶς δράσῃς τάδε.
Ορ. σίγα νυν, ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
Με. ἦ γὰρ δίκαιον ζῆν σε; Ορ. καὶ κρατεῖν γε γῆς.
Με. ποίας; Ορ. ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
Με. εὖ γοῦν θίγοις ἂν χερνίβων . . . Ορ. τί δὴ γὰρ οὔ;
Με. καὶ σφάγια πρὸ δορὸς καταβάλοις. Ορ. σὺ δ' ἂν καλῶς;
Με. ἁγνὸς γάρ εἰμι χεῖρας. Ορ. ἀλλ' οὐ τὰς φρένας.
Με. τίς δ' ἂν προσείποι σέ; Ορ. ὅστις ἐστὶ φιλοπάτωρ.
Με. ὅστις δὲ τιμᾷ μητέρα; Ορ. εὐδαίμων ἔφυ.
Με. οὔκουν σύ γε. Ορ. οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
Με. ἄπαιρε θυγατρὸς φάσγανον. Ορ. ψευδὴς ἔφυς.
Με. ἀλλὰ κτενεῖς μου θυγατέρα; Ορ. οὐ ψευδὴς ἔτ' εἶ.
Με. οἴμοι, τί δράσω; Ορ. πεῖθ' ἐς Ἀργείους μολὼν . . .

1587 *πράσσει* M A V primitus B et Polyaen. viii. 52: *πράσσεις* L P B² 1587–1588 del. Wilamowitz 1590 *κτείνον* M: corr. M² 1592 *σιωπᾶν* primitus B 1593 *φύγοις* A V: *φύγῃ* B 1595 *ἦ καὶ* et *ἐκπορθήσεις* L 1596 *ἔχοις* B P: *ἔχεις* L *πυρί*] *χερί* L 1597 *τήνδε* L 1598 *τάδε* A B V L P: *τάδ'* M *δράσεις* M V: corr. M² 1599 *νυν* L: *νῦν* rell. 1600 *γε* A F: *τε* rell. *τῆσδε γῆς* A 1602 *δὴ* om. P 1603 *πρὸς δορὸς* L: *προδουρὸς* A *καταβάλλοις* M 1604 *χέρας* P 1605 *δ'* om. A L *σέ* A B V L P: *σ'* M 1606 *μητέρα* A B V L P: *μητέρ'* M 1607 *γε* A B V L P: *γ'* M *γάρ μ'* P *ἀνδάνουσι μ'* (sic) M² 1608 *θυγατρὸς ἀπαρεῖς* Nauck 1609 *κτενεῖς* A: *κτανεῖς* rell. *θυγατέρα* M A B V L: *θυγατέρ'* P 1610 *πεῖθ' ἐς*] *πίθεσθ'* M: corr. M²

Με. πειθὼ τίνα; Ορ. ἡμᾶς μὴ θανεῖν· αἰτοῦ πόλιν.
Με. ἢ παῖδά μου φονεύσετε; Ορ. ὧδ' ἔχει τάδε.
Με. ὦ τλῆμον Ἑλένη . . . Ορ. τἀμὰ δ' οὐχὶ τλήμονα;
Με. σὲ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν . . . Ορ. εἰ γὰρ τόδ' ἦν.
Με. πόνους πονήσας μυρίους. Ορ. πλήν γ' εἰς ἐμέ.
Με. πέπονθα δεινά. Ορ. τότε γὰρ ἦσθ' ἀνωφελής.
Με. ἔχεις με. Ορ. σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
ἀλλ' εἶ', ὕφαπτε δώματ', Ἠλέκτρα, τάδε·
σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,
Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε.
Με. ὦ γαῖα Δαναῶν ἱππίου τ' Ἄργους κτίται,
οὐκ εἶ' ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.

ΑΠΟΛΛΩΝ

Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον·
Φοῖβός σ' ὁ Λητοῦς παῖς ὅδ' ἐγγὺς ὢν καλῶ·
σύ θ' ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ', ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὢν
ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
[ἥδ' ἐστίν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
σεσῳσμένη τε κοὐ θανοῦσα πρὸς σέθεν.]

1611 *τίνα* A B V L P : *τίν'* M *θανεῖν* A : *κτανεῖν* rell. : punctum addidi 1612 *μου* om. L *φονεύσετε* B V L P : *φονεύετε* A : *φονεύσεθ'* M *ὧδε γὰρ ἔχει* L 1613 *τλήμων* M : corr. M² 1614 *σὲ* Canter : *σοι* codd. 1617 *κακὸς*] *κακῶς* primitus M L 1618 *εἶ'* om. M 1620 *τειχέων τάδε*] *γρ. τεκτόνων πόνων* M : cf. 1570 1621 *δαναιδῶν* V P *ἱππείου* L P *τ'* om. M 1622 *οὐκ εἶ'* Musgrave : *οὐχὶ* codd. 1623 *ὑμῶν* Brunck : *ἡμῶν* codd. 1626 *φοῖβος σ'* A *b* : *σ'* om. rell., *παῖς σ'* B P *καλεῖ* L 1628 *'Ορέστ'* M A V L P 1631 *ἣν* om. B : add. B² : *ὡς* A *πτυχαῖς*] *πτύχαις* et in margine *πύλαις* M 1631 sq. suspecti Paleio spectaculum histrionale redolent, cf. Σ ad 57 : cum *νιν* (1633) cf. *αὐτὰ* Bac. 202 : verba *ἐν αἰθέρος πτυχαῖς* ex 1636 huc relata : cf. etiam 1684 sqq. ubi nondum in caelo videtur esse Helena 1632 *πρὸς*] *πρὸ* M V

ἐγώ νιν ἐξέσῳσα κἀπὸ φασγάνου
τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεών,
Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
σύνθακος ἔσται, ναυτίλοις σωτήριος.
ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβών,
ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,
θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος.
τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεών,
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους
Παρράσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.
κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
ἐνθένδε δ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν
δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβῆς
πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.
θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντά με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ὥς ποτ' ᾔνεσας,

1633 κἀπὸ] καὶ ὑπὸ vel κ' ὑπὸ M A B: corr. A[1] *b* 1636 αἰθέρος etiam A πτύχαις M 1638 del. Wilamowitz, ut ἐπεὶ ad σωτήριος spectet 1644 ὑπερβαλόντ' ὅρους M V: corr. *v* 1645 παρνάσιον M[2] L P (παρράσιον Σ) 1646 τεθήσεται Porson: cf. Plat. Crat. p. 385 A (cod. B) 1647 damnat Paley ἀζάσι τ' L 1648 δ' M: γ' A: τ' rell. 1649 ὑπόσχες A V et fortasse M: ὑπόσχης L: ὑφέξεις B et in rasuris M[2] *p* 1650 βραβεῖς codd. 1653 ἧς recc.: ᾗ vel ᾗ̂ codd. 1655 γαμεῖνιν M A: fortasse Νεοπτόλεμος, οὐ γαμεῖ νιν 1656 αὐτὸν Paley et fortasse suprascr. A, nunc deletum 1657 ἐξαιτοῦντί A B[2] με] μοι B[2]: corr. *b* 1658 ὡς A L: ᾧ̂ rell. (ὁ V) ᾔνεσ** M: ᾔνεσσας M[2]

δός· ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μένει.
"Αργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονός,
φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
πόνοις διδοῦσα δεῦρ' ἀεὶ διήνυσεν.
τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.
Ορ. ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων.
οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
ἀλαστόρων δόξαιμι σὴν κλύειν ὄπα.
ἀλλ' εὖ τελεῖται, πείσομαι δὲ σοῖς λόγοις.
ἰδού, μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.
Με. ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ· ζηλῶ δέ σε
θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
γήμας ὄναιο καὶ σὺ χὠ διδοὺς ἐγώ.
Απ. χωρεῖτέ νυν ἕκαστος οἷ προστάσσομεν,
νείκας τε διαλύεσθε.
Με. πείθεσθαι χρεών.
Ορ. κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς,
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.
Απ. ἴτε νυν καθ' ὁδόν, τὴν καλλίστην
θεῶν Εἰρήνην τιμῶντες· ἐγὼ δ'
Ἑλένην Δίοις μελάθροις πελάσω,

1659 *μένει* L et Thessalonicensis: *μενεῖ* rell. 1660 *δ'*] *τ'* A 1663 *πόνυισι* L 1666 *μάντιε* V punctum post *θεσπισμάτων* habet B 1669 *κλύειν*] *κλύων* L 1670 *στελεῖται* P *τοῖς* A B, sed *σοῖς* suprascr. B[1] 1671 *μεθείημ'* M B et primitus A 1674 *κατοικήσουσαν* Weil 1677 *καὶ ὁ* M B V L P 1678 *νῦν* codd. *οἷς* V *προτάσσομεν* M 1679 *νεῖκας* M : *νείκους* A V L : *νεῖκος* B P : *νείκη* Wecklein Με.] om. M : add. M[2] *πείθεσθε* M A : corr. M[2] : *πείσεσθαι* P 1680 *δὲ* om. M : add. M[2] 1682 *νυν* P : *νῦν* rell. *καλλίσταν* L 1683 *θεὸν* M B : corr. B[2] 1684 *Δίοις* Nauck : *διὸς* codd. sed *ο* ex *ι* factum in M *πελάσσω* B

λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
ἔνθα παρ᾽ Ἥρᾳ τῇ θ᾽ Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
ἔσται σπονδαῖς ἔντιμος ἀεί,
σὺν Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
ναύταις μεδέουσα θαλάσσης.

Χο. ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

1685 λαμπρὸν A V L P ἄστρον V: corr. *v* 1686 τῇ δ᾽ M 1688 αἰεὶ A 1689–1690 υἱοῖς] γρ. ὑγρᾶς M: tum θαλάσσης] γρ. ὑγρᾶς *v* 1692 κατέχεις V: corr. *v* In fine τέλος εὐριπίδου ὀρέστης M B: τέλος ὀρέστου εὐριπίδου A: τέλος τοῦ δράματος τοῦ ὀρέστου V: τέλος εὐριπίδου ἠλέκτρας P: subscriptio erasa in L Subscriptum in M B: πρὸς διάφορα ἀντίγραφα· παραγέγραπται ἐκ τοῦ Διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν. Cf. subscriptionem Medeae

ΒΑΚΧΑΙ

ΥΠΟΘΕΣΙΣ ΒΑΚΧΩΝ

Διόνυσον οἱ προσήκοντες οὐκ ἔφασαν εἶναι θεόν· ὁ δὲ αὐτοῖς τιμωρίαν ἐπέστησε τὴν πρέπουσαν. ἐμμανεῖς γὰρ ἐποίησε τὰς τῶν Θηβαίων γυναῖκας, ὧν αἱ τοῦ Κάδμου θυγατέρες ἀφηγούμεναι τοὺς θιάσους ἐξῆγον ἐπὶ τὸν Κιθαιρῶνα. Πενθεὺς δέ, ὁ τῆς Ἀγαύης παῖς, παραλαβὼν τὴν βασιλείαν ἐδυσφόρει τοῖς γινομένοις καί τινας μὲν τῶν Βακχῶν συλλαβὼν ἔδησεν, ἐπ' αὐτὸν δὲ τὸν θεὸν ἄλλως ἀπέστειλεν. οἱ δὲ ἑκόντος αὐτοῦ κυριεύσαντες ἦγον πρὸς τὸν Πενθέα, κἀκεῖνος ἐκέλευσεν δήσαντας αὐτὸν ἔνδον φυλάττειν, οὐ λέγων μόνον ὅτι θεὸς οὐκ ἔστι Διόνυσος, ἀλλὰ καὶ πράττειν πάντα ὡς κατ' ἀνθρώπου τολμῶν. ὁ δὲ σεισμὸν ποιήσας κατέστρεψε τὰ βασίλεια, ἀγαγὼν δὲ εἰς Κιθαιρῶνα ἔπεισε τὸν Πενθέα κατόπτην γενέσθαι τῶν γυναικῶν λαμβάνοντα γυναικὸς ἐσθῆτα· αἱ δ' αὐτὸν διέσπασαν, τῆς μητρὸς Ἀγαύης καταρξαμένης. Κάδμος δὲ τὸ γεγονὸς καταισθόμενος τὰ διασπασθέντα μέλη συναγαγὼν τελευταῖον τὸ πρόσωπον ἐν ταῖς τῆς τεκούσης ἐφώρασε χερσίν. Διόνυσος δὲ ἐπιφανεὶς τὰ μὲν πᾶσι παρήγγειλεν, ἑκάστῳ δὲ ἃ συμβήσεται διεσάφησεν † ἔργοις, ἵνα μὴ λόγοις † ὑπό τινος τῶν ἐκτὸς ὡς ἄνθρωπος καταφρονηθῇ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ

Διόνυσος ἀποθεωθεὶς μὴ βουλομένου Πενθέως τὰ ὄργια αὐτοῦ ἀναλαμβάνειν εἰς μανίαν ἀγαγὼν τὰς τῆς μητρὸς ἀδελφὰς ἠνάγκασε Πενθέα διασπάσαι. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ.

Argumenta habet P : om. L 3 θιάσους Elmsley: θράσους P ἐξῆγον Kirchhoff: εἰσῆγον P 4 Ἀγαύης *p*: spatium vacuum reliquerat is qui argumentum scripsit in P, ut etiam Agavae nomen in personarum indice ignorabatur παραλαβὼν Elmsley : παραβὼν P 6 ἄλλως] ἀγγέλους Elmsley: δμῶας Wecklein 9 ἀνθρώπου Hermann: ἄνθρωπον P 12 κατα*ξαμ (asterisco supra μ posito) P: corr. *p* 15 τὰ μὲν Elmsley : μὲν P 16 ἵνα μὴ ἔργοις ἢ λόγοις Elmsley: fortasse λόγοις, ἵνα μὴ ἔργοις 21 διασπάσαι Musurus : διασπασθῆναι P

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

Διονυσος	Θεραπων
Χορος	Αγγελος
Τειρεσιας	Ετερος Αγγελος
Καδμος	Αγαυη
Πενθευς	

Διόνυσος ὁ προλογίζων

Personarum indicem in ordinem reduxit Elmsley: sic habent L P *διόνυσος. πενθεύς. χορός* (*χορὸς βακχῶν* P). *θεράπων. τειρεσίας. ἄγγελος. κάδμος. ἕτερος ἄγγελος. γυνή* (*καὶ γυνή* P): apparet haec e codice descripta esse in quo nomina sic disposita erant

Διόνυσος.	*Πενθεύς.*
χορός.	*θεράπων.*
Τειρεσίας.	*ἄγγελος.*
Κάδμος.	*ἕτερος ἄγγελος.*

Ἀγαύη.

Cf. ad Person. indicem Phoenissarum. Eodem fere ritu explicandi sunt ordines dati a B V in Medea (sed *παιδες* omissi erant in archetypo), a P in Alcestide (omissi *παῖς* et *χορός* in archetypo), alii. Pro *θεράπων. ἄγγελος. ἕτερος ἄγγελος* mavult *θεράπων. βουκόλος. ἕτερος θεράπων* Wecklein verba *Διόνυσος ὁ προλογίζων* om. P

Acta paullo post annum A.C. 406 mortuo poeta. Schol. Ar. Ran. 64. Codices L P: L post v. 755 deficit. Scholia paucissima.

ΒΑΚΧΑΙ

ΔΙΟΝΥΣΟΣ

Ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα
Διόνυσος, ὃν τίκτει ποθ' ἡ Κάδμου κόρη
Σεμέλη λοχευθεῖσ' ἀστραπηφόρῳ πυρί·
μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν
πάρειμι Δίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.
ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
τόδ' ἐγγὺς οἴκων καὶ δόμων ἐρείπια
τυφόμενα Δίου πυρὸς ἔτι ζῶσαν φλόγα,
ἀθάνατον Ἥρας μητέρ' εἰς ἐμὴν ὕβριν.
αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
πέριξ ἐγὼ 'κάλυψα βοτρυώδει χλόῃ.
λιπὼν δὲ Λυδῶν τοὺς πολυχρύσους γύας
Φρυγῶν τε, Περσῶν θ' ἡλιοβλήτους πλάκας
Βάκτριά τε τείχη τήν τε δύσχιμον χθόνα
Μήδων ἐπελθὼν Ἀραβίαν τ' εὐδαίμονα
Ἀσίαν τε πᾶσαν, ἣ παρ' ἁλμυρὰν ἅλα

Εὐριπίδου Βάκχαι suprascr. in P: consentiunt didascalia Strabo Plutarchus Athenaeus alii: cf. Schol. Ar. Ran. 67: Εὐριπίδου Πενθεύς L: consentiunt codd. Stobaei bis, fl. 36. et 74. 8: cf. Hippolyti init. 1 Θηβαίων L P et Σ Tro. 1: Θηβαίαν gramm. Ambros. in Keil. Anal. Gr. p. 10, 22. Anecd. Chisiana de re metr. (Mangelsdorf p. 26), Schol. Hephaest. p. 183: Θηβαίαν κάτα Priscian ii. p. 151 8 Δίου Barnes: δίου τε L P: τυφομένην ἁδροῦ Plut. Solon 1: δίου τ' ἔτι πυρὸς Porson 13 τοὺς Elmsley: τὰς L P γύας L et Strab. i. p. 27, xv. p. 687: γυίας *l* P 14 om. L θ' om. Bothe et, ut videtur, Chr. Pat. 1583 15 δύσχιμον Elmsley: δύσχειμον L P Strab. Chr. Pat. 1589 16 ἐπελθὼν L P cum Strab. p. 27: ἐπῆλθον Strab. p. 687: πάρελθὼν Chr. Pat. 1590

κεῖται μιγάσιν Ἕλλησι βαρβάροις θ' ὁμοῦ
πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
ἐς τήνδε πρῶτον ἦλθον Ἑλλήνων πόλιν,
τἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς
τελετάς, ἵν' εἴην ἐμφανὴς δαίμων βροτοῖς.
πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος
ἀνωλόλυξα, νεβρίδ' ἐξάψας χροὸς
θύρσον τε δοὺς ἐς χεῖρα, κίσσινον βέλος·
ἐπεί μ' ἀδελφαὶ μητρός, ἃς ἥκιστα χρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διός,
Σεμέλην δὲ νυμφευθεῖσαν ἐκ θνητοῦ τινος
ἐς Ζῆν' ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,
Κάδμου σοφίσμαθ', ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν' ἐξεκαυχῶνθ', ὅτι γάμους ἐψεύσατο.
τοιγάρ νιν αὐτὰς ἐκ δόμων ᾤστρησ' ἐγὼ
μανίαις, ὄρος δ' οἰκοῦσι παράκοποι φρενῶν·
σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν,
καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων·
ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμειγμέναι
χλωραῖς ὑπ' ἐλάταις ἀνορόφοις ἧνται πέτραις.
δεῖ γὰρ πόλιν τήνδ' ἐκμαθεῖν, κεἰ μὴ θέλει,
ἀτέλεστον οὖσαν τῶν ἐμῶν βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ' ὕπερ
φανέντα θνητοῖς δαίμον' ὃν τίκτει Διί.
Κάδμος μὲν οὖν γέρας τε καὶ τυραννίδα
Πενθεῖ δίδωσι θυγατρὸς ἐκπεφυκότι,
ὃς θεομαχεῖ τὰ κατ' ἐμὲ καὶ σπονδῶν ἄπο

20 πόλιν] χθόνα Chr. Pat. 1595: fortasse ἐς τήνδε δήποτ' ἦλθον Ἑλλήνων χθόνα   21 τἀκεῖ Wilamowitz: κἀκεῖ L P: quo servato v. 20 post 22 trai. Pierson: codicum ordinem tuetur Chr. Pat. 1594 sq.   22 εἴη P   23 δὲ L P: γε *l*   malim πρώτην δὲ Θήβην τήνδε   25 βέλος Stephanus: μέλος L P   26 ἥκιστ' ἐχρῆν L P   31 ἐξεκαυχώμεθ' L P: corr. Elmsley   32 οἴστρησ' L P: corr. Elmsley   38 ἀνορόφους ἧνται πέτρας Elmsley

ὠθεῖ μ', ἐν εὐχαῖς τ' οὐδαμοῦ μνείαν ἔχει.
ὧν οὕνεκ' αὐτῷ θεὸς γεγὼς ἐνδείξομαι
πᾶσίν τε Θηβαίοισιν. ἐς δ' ἄλλην χθόνα,
τἀνθένδε θέμενος εὖ, μεταστήσω πόδα,
δεικνὺς ἐμαυτόν· ἢν δὲ Θηβαίων πόλις
ὀργῇ σὺν ὅπλοις ἐξ ὄρους βάκχας ἄγειν
ζητῇ, ξυνάψω μαινάσι στρατηλατῶν.
ὧν οὕνεκ' εἶδος θνητὸν ἀλλάξας ἔχω
μορφήν τ' ἐμὴν μετέβαλον εἰς ἀνδρὸς φύσιν.
  ἀλλ', ὦ λιποῦσαι Τμῶλον ἔρυμα Λυδίας,
θίασος ἐμός, γυναῖκες, ἃς ἐκ βαρβάρων
ἐκόμισα παρέδρους καὶ ξυνεμπόρους ἐμοί,
αἴρεσθε τἀπιχώρι' ἐν πόλει Φρυγῶν
τύμπανα, Ῥέας τε μητρὸς ἐμά θ' εὑρήματα,
βασίλειά τ' ἀμφὶ δώματ' ἐλθοῦσαι τάδε
κτυπεῖτε Πενθέως, ὡς ὁρᾷ Κάδμου πόλις.
ἐγὼ δὲ βάκχαις, ἐς Κιθαιρῶνος πτυχὰς
ἐλθὼν ἵν' εἰσί, συμμετασχήσω χορῶν.

ΧΟΡΟΣ

— Ἀσίας ἀπὸ γᾶς
ἱερὸν Τμῶλον ἀμείψασα θοάζω
Βρομίῳ πόνον ἡδὺν
κάματόν τ' εὐκάματον, Βάκ-
χιον εὐαζομένα.
— τίς ὁδῷ τίς ὁδῷ; τίς;
μελάθροις ἔκτοπος ἔστω, στόμα τ' εὔφη-
μον ἅπας ἐξοσιούσθω·

46 οὐδαμοῦ P et Chr. Pat. 1571 : οὐδαμῶς L 52 συνάψω P 53 sq. del. Bernhardy 55 λιποῦσαι *l* cum Chr. Pat. 1602 et Strab. x. p. 469 : λιποῦσα L P 57 συνεμπόρους L 59 τύπανα Nauck 62 πτύχας L P 64–71 nullam esse responsionem vidit Wilamowitz: cf. Med. 130–137, Aesch. Sept. 78 sqq. 67 post εὐαζομένα add. θεόν, metri gr. ut putabat, *l* 68 τὶς (ter) Bruhn: cf. Soph. Trach. 865, Pind. Pyth. x. 4: post τίς non post μελάθροις distinxit Elmsley: cf. I. T. 1210 70 ἐξοσιούσθω L P: ἐξ erasit *l*

τὰ νομισθέντα γὰρ αἰεὶ
Διόνυσον ὑμνήσω.

— ὦ [στρ.
μάκαρ, ὅστις εὐδαίμων
τελετὰς θεῶν εἰδὼς
βιοτὰν ἁγιστεύει καὶ
θιασεύεται ψυχὰν
ἐν ὄρεσσι βακχεύων
ὁσίοις καθαρμοῖσιν,
τά τε ματρὸς μεγάλας ὄρ-
για Κυβέλας θεμιτεύων,
ἀνὰ θύρσον τε τινάσσων,
κισσῷ τε στεφανωθεὶς
Διόνυσον θεραπεύει.

— ἴτε βάκχαι, ἴτε βάκχαι,
Βρόμιον παῖδα θεὸν θεοῦ
Διόνυσον κατάγουσαι
Φρυγίων ἐξ ὀρέων Ἑλ-
λάδος εἰς εὐρυχόρους ἀ-
γυιάς, τὸν Βρόμιον·

— ὅν [ἀντ.
ποτ' ἔχουσ' ἐν ὠδίνων
λοχίαις ἀνάγκαισι
πταμένας Διὸς βροντᾶς νη-
δύος ἔκβολον μάτηρ
ἔτεκεν, λιποῦσ' αἰῶ-
να κεραυνίῳ πληγᾷ·
λοχίοις δ' αὐτίκα νιν δέ-

71 διόνυσσον L ὑμνήσω] metrum sanum: cf. sequentia 75 θιασσεύεται P 76 ὄρεσι L P 77 ὁσίοις L: ὁσίοισι L² P καθαρμοῖσι P: καθαρμοῖς in ras. *l* vel L² 79 θεμιτεύων Musgrave: θεμιστεύων L P 81 κατὰ κισσῷ στεφανωθεὶς Hermann 82 διόνυσσον L 83 sic L nunc: ὦ ἴτε βάκχαι ἴτε βάκχαι P et ante rasuram L 87 εὐρυχόρους fortasse primitus P: εὐρυχώρους L P 92 ἔτεκε L P 93 κεραυνίω L: κεραυνία P πλαγᾶ *l*

ξατο θαλάμαις Κρονίδας Ζεύς,
κατὰ μηρῷ δὲ καλύψας
χρυσέαισιν συνερείδει
περόναις κρυπτὸν ἀφ᾽ Ἥρας.

— ἔτεκεν δ᾽, ἁνίκα Μοῖραι
τέλεσαν, ταυρόκερων θεὸν
στεφάνωσέν τε δρακόντων
στεφάνοις, ἔνθεν ἄγραν θη-
ροτρόφον μαινάδες ἀμφι-
βάλλονται πλοκάμοις.

— ὦ Σεμέλας τροφοὶ Θῆ- [στρ.
βαι, στεφανοῦσθε κισσῷ·
βρύετε βρύετε χλοήρει
μίλακι καλλικάρπῳ
καὶ καταβακχιοῦσθε δρυὸς
ἢ ἐλάτας κλάδοισι,
στικτῶν τ᾽ ἐνδυτὰ νεβρίδων
στέφετε λευκοτρίχων πλοκάμων
μαλλοῖς· ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς
ὁσιοῦσθ᾽· αὐτίκα γᾶ πᾶσα χορεύσει—
Βρόμιος ὅστις ἄγῃ θιάσους—
εἰς ὄρος εἰς ὄρος, ἔνθα μένει
θηλυγενὴς ὄχλος
ἀφ᾽ ἱστῶν παρὰ κερκίδων τ᾽
οἰστρηθεὶς Διονύσῳ.

— ὦ θαλάμευμα Κουρή- [ἀντ.

95 *θαλάμαις* Wecklein : *θαλάμοις* L P 97 *χρυσέαισιν* *l* : *χρυσέαις* L P 102 *θηροτρόφον* post Musgravium Wecklein : *θηροτρόφοι* P et, ut vid., ante ras. L : *θυρσοφόροι* *l* 107 *χλοήρει* Hermann : *χλοηρεῖ* L P : *α* super *εῖ* scr. *l* 108 *σμίλακι* *l* : cf. 703 *καλικάρπω* L 109 *καταβαχιοῦσθε* L : corr. *l* 110 *ἢ ᾽ν ἐλάτας* Blomfield : sed cf. Phoen. 1515 : *ἢ ἐλάτας ἐν κλάδοις* *l* 111 *ἐνδυκτὰ* P 115 *ὅστις* L[2] vel *l* : *ὅτ᾽* L P : *εὖτ᾽ ἂν* Elmsley : sed sensus videtur esse '*Bacchus fit quicumque ducit thiasos*' : cf. 141 *ἄγει* L[2] vel *l* 118 *ἀμφ᾽ ἱστῶν* P et *μ* erasa L 119 *διονύσσῳ* P

των ζάθεοί τε Κρήτας
Διογενέτορες ἔναυλοι,
ἔνθα τρικόρυθες ἄντροις
βυρσότονον κύκλωμα τόδε
μοι Κορύβαντες ηὗρον·
βακχείᾳ δ᾽ ἀνὰ συντόνῳ
κέρασαν ἁδυβόᾳ Φρυγίων
αὐλῶν πνεύματι ματρός τε Ῥέας ἐς
χέρα θῆκαν, κτύπον εὐάσμασι Βακχᾶν·
παρὰ δὲ μαινόμενοι Σάτυροι
ματέρος ἐξανύσαντο θεᾶς,
ἐς δὲ χορεύματα
συνῆψαν τριετηρίδων,
αἷς χαίρει Διόνυσος.

— ἡδὺς ἐν ὄρεσιν, ὅταν ἐκ θιάσων δρομαί- [ἐπῳδ.
ων πέσῃ πεδόσε, νε-
βρίδος ἔχων ἱερὸν ἐνδυτόν, ἀγρεύων
αἷμα τραγοκτόνον, ὠμοφάγον χάριν, ἱέμε-
νος ἐς ὄρεα Φρύγια, Λύδι᾽, ὁ δ᾽ ἔξαρχος Βρόμιος,
εὐοῖ.
ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ᾽ οἴνῳ, ῥεῖ δὲ μελισσᾶν
νέκταρι.
Συρίας δ᾽ ὡς λιβάνου κα-
πνὸν ὁ Βακχεὺς ἀνέχων

121 *κρήτας* L P: *κρῆτες* ut vid. *l*: utrumque in codd. Strabonis p. 469 123 *ἄντροις* Musgrave: *ἐν ἄντροις* L P: *ἀνθοῖς* Strabo 125 *ηὗρον* L P: *εὗρον l* 126 *ἀνὰ δὲ βακχεία* (*βακχείῳ* Strabo) L P Strabo: trai. Dobree: *ἀνὰ δὲ βάκχια* apogr. Par. 127 *ἡδυβόα* L P: *ἁδυβοᾶν* fortasse Strabo, qui *κέρας ἀνὰ δύο βοᾶν* habet 128 *τε* paene erasum in L 129 *εὐάσμασι* Canter: *ἐν ἄσμασι* L P: *καλλίκτυπον εὔασμα* Strabo 131 *θεᾶς* L P: *Ῥέας* Strabo 133 *προσῆψαν* Strabo 134 *οἷς* Strabo 135 *ἡδύ γ᾽* Dobree: *ἁδὺ δ᾽* Wecklein: intellego '*Dulcis est ille*'; cf. 225–238 *ὃς ἂν* R. Gompf: sed unus tantum vir 137 *πέσῃ* L: *πεύσῃ* P *πεδόσσε* P 138 *ἀγ*ρεύων* L: *ἀγορεύων* P 140 verba *ὁ δ᾽ . . . εὐοῖ* ante *ἡδὺς* v. 135 collocat Wilamowitz 144 *νέκταρ συρείας* P 144 sq. *καπνὸν . . . ἀνέχων* Wilamowitz: *καπνός. . . . δ᾽ ἔχων* L P (*δ᾽ ἔχων πῦρ* primitus P)

πυρσώδη φλόγα πεύκας
ἐκ νάρθηκος ἀίσσει
δρόμῳ καὶ χοροῖσιν
πλανάτας ἐρεθίζων
ἰαχαῖς τ' ἀναπάλλων,
τρυφερόν ⟨τε⟩ πλόκαμον εἰς αἰθέρα ῥίπτων.
ἅμα δ' εὐάσμασι τοιάδ' ἐπιβρέμει·
Ὦ ἴτε βάκχαι,
[ὦ] ἴτε βάκχαι,
Τμώλου χρυσορόου χλιδᾷ
μέλπετε τὸν Διόνυσον
βαρυβρόμων ὑπὸ τυμπάνων,
εὔια τὸν εὔιον ἀγαλλόμεναι θεὸν
ἐν Φρυγίαισι βοαῖς ἐνοπαῖσί τε,
λωτὸς ὅταν εὐκέλαδος
ἱερὸς ἱερὰ παίγματα βρέμῃ, σύνοχα
φοιτάσιν εἰς ὄρος εἰς ὄρος· ἡδομέ-
να δ' ἄρα, πῶλος ὅπως ἅμα ματέρι
φορβάδι, κῶλον ἄγει ταχύπουν σκιρτήμασι βάκχα.

ΤΕΙΡΕΣΙΑΣ

τίς ἐν πύλαισι; Κάδμον ἐκκάλει δόμων,
Ἀγήνορος παῖδ', ὃς πόλιν Σιδωνίαν
λιπὼν ἐπύργωσ' ἄστυ Θηβαίων τόδε.
ἴτω τις, εἰσάγγελλε Τειρεσίας ὅτι
ζητεῖ νιν· οἶδε δ' αὐτὸς ὧν ἥκω πέρι
ἅ τε ξυνεθέμην πρέσβυς ὢν γεραιτέρῳ,

146–147 inverso ordine habuit L, sed numeris appositis correxit 147 χοροῖς L P 148 ἐρεθίζων πλανάτας L : ἐρεθίζων πλάνας P : trai. Wilamowitz 149 ἂν ἀπ' ἄλλων L 150 τε add. Wilamowitz 151 δ' ἐπ' εὐάσμασιν ἐπιβρέμει τοιάδ' L P : ἐπ' del. Elmsley : traieci ob metrum post ἐπιβρέμει in L adscript. ἐπι λίγει (ἐπιλέγει Wilamowitz) ἠχεῖ glossemata 153 ὦ erasum in L 154 Τμώλου] Πακτωλοῦ Wecklein 155 διόνυσσον L 156 ante 155 trai. Wilamowitz 159 βολαῖς primitus P 164 βρέμει suprascr. η P 165 ἁδομένα Dindorf 169 βάκχα Musgrave: βάκχου L P 170 Τε. praescr. L P : sed cum eadem nota ante 173 stet in L, Θερ(άπων) hic praescr. l ἐκκάλει Bergler : ἐκκαλεῖ nullo post πύλαισι puncto L P

θύρσους ἀνάπτειν καὶ νεβρῶν δορὰς ἔχειν
στεφανοῦν τε κρᾶτα κισσίνοις βλαστήμασιν.

ΚΑΔΜΟΣ

ὦ φίλταθ', ὡς σὴν γῆρυν ᾐσθόμην κλύων
σοφὴν σοφοῦ παρ' ἀνδρός, ἐν δόμοισιν ὤν·
ἥκω δ' ἕτοιμος τήνδ' ἔχων σκευὴν θεοῦ·
δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς
[Διόνυσον ὃς πέφηνεν ἀνθρώποις θεὸς]
ὅσον καθ' ἡμᾶς δυνατὸν αὔξεσθαι μέγαν.
ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα
καὶ κρᾶτα σεῖσαι πολιόν; ἐξηγοῦ σύ μοι
γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.
ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ' οὔθ' ἡμέραν
θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως
γέροντες ὄντες.

Τε. ταὔτ' ἐμοὶ πάσχεις ἄρα·
κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.

Κα. οὐκοῦν ὄχοισιν εἰς ὄρος περάσομεν;
Τε. ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι
Κα. γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ.
Τε. ὁ θεὸς ἀμοχθὶ κεῖσε νῷν ἡγήσεται.
Κα. μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;
Τε. μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ' ἄλλοι κακῶς.
Κα. μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.
Τε. ἰδού, ξύναπτε καὶ ξυνωρίζου χέρα.
Κα. οὐ καταφρονῶ 'γὼ τῶν θεῶν θνητὸς γεγώς.
Τε. οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσιν.
πατρίους παραδοχάς, ἅς θ' ὁμήλικας χρόνῳ

182 del. Dobree: om. (quod sane nihili est) Chr. Pat. 1152: cf. 860 πέφην' L P 184 δεῖ Musurus: δὴ L P ποῖ alterum] ποῦ Wecklein 188 ἡδέως Milton: ἡδέων L P 189 ταυτά μοι L P 190 nota Cadmi hic praescripta personas usque ad v. 200 permutat P 192 ὁ θεὸς ἂν Porson: ἂν θεὸς Wecklein ἔχει suprascr. οι P 194 ἀμοχθεὶ L P: corr. Elmsley νῶϊν L P 195 βακχείω L P: corr. *l p* 198 ξυνάπτω Wecklein 200 οὐδ' ἐνσοφιζόμεσθα Musgrave, sed cf. Hclit. fr. 78, 79, 83 Diels 201 πατρίους, cl. Plut. Mor. 756 B, Valckenaer: πρς L: πατρὸς P

κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,
οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν ηὕρηται φρενῶν.
ἐρεῖ τις ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
μέλλων χορεύειν κρᾶτα κισσώσας ἐμόν;
οὐ γὰρ διῄρηχ' ὁ θεός, οὔτε τὸν νέον
εἰ χρὴ χορεύειν οὔτε τὸν γεραίτερον,
ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν
κοινάς, διαριθμῶν δ' οὐδέν' αὔξεσθαι θέλει.

Κα. ἐπεὶ σὺ φέγγος, Τειρεσία, τόδ' οὐχ ὁρᾷς,
ἐγὼ προφήτης σοι λόγων γενήσομαι.
Πενθεὺς πρὸς οἴκους ὅδε διὰ σπουδῆς περᾷ,
Ἐχίονος παῖς, ᾧ κράτος δίδωμι γῆς.
ὡς ἐπτόηται· τί ποτ' ἐρεῖ νεώτερον;

ΠΕΝΘΕΥΣ

ἔκδημος ὢν μὲν τῆσδ' ἐτύγχανον χθονός,
κλύω δὲ νεοχμὰ τήνδ' ἀνὰ πτόλιν κακά,
γυναῖκας ἡμῖν δώματ' ἐκλελοιπέναι
πλασταῖσι βακχείαισιν, ἐν δὲ δασκίοις
ὄρεσι θοάζειν, τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ἔστι, τιμώσας χοροῖς·
πλήρεις δὲ θιάσοις ἐν μέσοισιν ἑστάναι
κρατῆρας, ἄλλην δ' ἄλλοσ' εἰς ἐρημίαν
πτώσσουσαν εὐναῖς ἀρσένων ὑπηρετεῖν,
πρόφασιν μὲν ὡς δὴ μαινάδας θυοσκόους,
τὴν δ' Ἀφροδίτην πρόσθ' ἄγειν τοῦ Βακχίου.
   ὅσας μὲν οὖν εἴληφα, δεσμίους χέρας
σῴζουσι πανδήμοισι πρόσπολοι στέγαις·

202 αὐτὰ] δῆτα Dalmeyda καταβαλεῖ Scaliger: καταβάλλει L: καταβάλλῃ P 203 ἄκρας . . . φρενός Plut. l. c. εὕρηται L P 204 ἀρεῖ, ut videtur, primitus P 205 χωρεύειν primitus P 206 sq. οὔτε . . . οὔτε Matthiae: εἴτε . . . εἴτε L P: quo servato χρῄζει pro εἰ χρὴ Wecklein 207 χηρεύειν P 209 delet Bernhardy: δι' ἀριθμῶν δ' οὐδὲν L P: corr. Heath 210 Τε. L: om. P 215 τήνδ' primitus P 217 δώματ' L: σώματ' P 220 διόνυσος P 227 πανδήμοις L P: corr. *l* στέγαις L: δόμοις P

ὅσαι δ' ἄπεισιν, ἐξ ὄρους θηράσομαι,
['Ινώ τ' 'Αγαύην θ', ἥ μ' ἔτικτ' 'Εχίονι,
'Ακταίονός τε μητέρ', Αὐτονόην λέγω.]
καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἄρκυσιν
παύσω κακούργου τῆσδε βακχείας τάχα.
λέγουσι δ' ὥς τις εἰσελήλυθε ξένος,
γόης ἐπῳδὸς Λυδίας ἀπὸ χθονός,
ξανθοῖσι βοστρύχοισιν εὐοσμῶν κόμην,
οἰνῶπας ὄσσοις χάριτας 'Αφροδίτης ἔχων,
ὃς ἡμέρας τε κεὐφρόνας συγγίγνεται
τελετὰς προτείνων εὐίους νεάνισιν.
εἰ δ' αὐτὸν εἴσω τῆσδε λήψομαι στέγης,
παύσω κτυποῦντα θύρσον ἀνασείοντά τε
κόμας, τράχηλον σώματος χωρὶς τεμών.
ἐκεῖνος εἶναί φησι Διόνυσον θεόν,
ἐκεῖνος ἐν μηρῷ ποτ' ἐρράφθαι Διός,
ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
σὺν μητρί, Δίους ὅτι γάμους ἐψεύσατο.
ταῦτ' οὐχὶ δεινῆς ἀγχόνης ἔστ' ἄξια,
ὕβρεις ὑβρίζειν, ὅστις ἔστιν ὁ ξένος;

ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὸν τερασκόπον
ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ
πατέρα τε μητρὸς τῆς ἐμῆς—πολὺν γέλων—
νάρθηκι βακχεύοντ'· ἀναίνομαι, πάτερ,
τὸ γῆρας ὑμῶν εἰσορῶν νοῦν οὐκ ἔχον.
οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
θύρσου μεθήσεις χεῖρ', ἐμῆς μητρὸς πάτερ;
σὺ ταῦτ' ἔπεισας, Τειρεσία· τόνδ' αὖ θέλεις

229 *οἰνώ* primitus L   *ἀγαυήν* oxytone ut solent L P : non notatur amplius   229–230 del. Collmann : cf. 337   233 *ὥς τις* Musurus : *ὅστις* L P   235 *εὐοσμῶν* Tyrrell : *εὔοσμον* L P   236 *οἰνῶπας* Scaliger : *οἰνωπά τ'* L : *οἰνωπάς τ'* P : *οἰνωπός*, Barnes   *ὅσοις* P (*τε γ' ὄσσοις p*)   243 *ἐρράφθαι* Reiske : *ἐρράφη* L P   246 *δεινὰ κἀγχόνης* Mau   *ἐπάξια* Elmsley   247 suspectus Wilamowitzio   248 *ἄλλον* P   251 *βακχεύοντας l*   252 *ἔχων* primitus L

τὸν δαίμον' ἀνθρώποισιν ἐσφέρων νέον
σκοπεῖν πτερωτοὺς κἀμπύρων μισθοὺς φέρειν.
εἰ μή σε γῆρας πολιὸν ἐξερρύετο,
καθῆσ' ἂν ἐν βάκχαισι δέσμιος μέσαις,
τελετὰς πονηρὰς εἰσάγων· γυναιξὶ γὰρ
ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.
Χο. τῆς δυσσεβείας. ὦ ξέν', οὐκ αἰδῇ θεοὺς
Κάδμον τε τὸν σπείραντα γηγενῆ στάχυν,
Ἐχίονος δ' ὢν παῖς καταισχύνεις γένος;
Τε. ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἀφορμάς, οὐ μέγ' ἔργον εὖ λέγειν·
σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
θράσει δὲ δυνατὸς καὶ λέγειν οἷός τ' ἀνὴρ
κακὸς πολίτης γίγνεται νοῦν οὐκ ἔχων.
οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
καθ' Ἑλλάδ' ἔσται. δύο γάρ, ὦ νεανία,
τὰ πρῶτ' ἐν ἀνθρώποισι· Δημήτηρ θεά—
γῆ δ' ἐστίν, ὄνομα δ' ὁπότερον βούλῃ κάλει·
αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
ὃς δ' ἦλθ' ἔπειτ', ἀντίπαλον ὁ Σεμέλης γόνος
βότρυος ὑγρὸν πῶμ' ηὗρε κεἰσηνέγκατο
θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε λήθην τῶν καθ' ἡμέραν κακῶν
δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.

257 *φέρειν l* : *φέρων* L P 261 *γάνος* L : *γάμος* P 263 *δυσσεβείας* Reiske : *εὐσεβείας* L P : *ἀσεβείας* Chr. Pat. 191 265 ante 264 trai. Musgrave 270 *θράσει* Madvig : *θρασὺς* L P *δὲ* L : *τε* P 270 sq. del. Dindorf : habet Stob. fl. 45. 2 276 *ὄνομα*] *ὀπόμα* (ab *ὁπότερον* sequenti) P 278 *ὃς δ'* Fix : *ὅδ'* L P *ἦλθ' ἔπειτ' ἀντίπαλον* Housman (*ἀντίπαλος* malit Marchant) : *ἦλθεν* (*ἦλθ'* P) *ἐπὶ τἀντίπαλον* L P 279 *πῶμ'* Elmsley : *πόμ'* L P 281 *πληθῶσιν* P : corr. *p*

οὗτος θεοῖσι σπένδεται θεὸς γεγώς,
ὥστε διὰ τοῦτον τἀγάθ' ἀνθρώπους ἔχειν.
  καὶ καταγελᾷς νιν, ὡς ἐνερράφη Διὸς
μηρῷ; διδάξω σ' ὡς καλῶς ἔχει τόδε.
ἐπεί νιν ἥρπασ' ἐκ πυρὸς κεραυνίου
Ζεύς, ἐς δ' Ὄλυμπον βρέφος ἀνήγαγεν θεόν,
Ἥρα νιν ἤθελ' ἐκβαλεῖν ἀπ' οὐρανοῦ·
Ζεὺς δ' ἀντεμηχανήσαθ' οἷα δὴ θεός.
ῥήξας μέρος τι τοῦ χθόν' ἐγκυκλουμένου
αἰθέρος, ἔθηκε τόνδ' ὅμηρον ἐκδιδούς,
. . . .
Διόνυσον Ἥρας νεικέων· χρόνῳ δέ νιν
βροτοὶ ῥαφῆναί φασιν ἐν μηρῷ Διός,
ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρᾳ ποθ' ὡμήρευσε, συνθέντες λόγον.
  μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει·
ὅταν γὰρ ὁ θεὸς ἐς τὸ σῶμ' ἔλθῃ πολύς,
λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἄρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά·
στρατὸν γὰρ ἐν ὅπλοις ὄντα κἀπὶ τάξεσιν
φόβος διεπτόησε πρὶν λόγχης θιγεῖν.
μανία δὲ καὶ τοῦτ' ἐστὶ Διονύσου πάρα.
ἔτ' αὐτὸν ὄψῃ κἀπὶ Δελφίσιν πέτραις
πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα,
πάλλοντα καὶ σείοντα βακχεῖον κλάδον,

286-297 suspecti Boeckhio 289 θεόν] νέον Musurus: θεῶν Mekler post 293 lacunam indicavi: ex. gr. αὐτὸν δὲ δοὺς ἔσῳσε Νυσαίαις κόραις vel αὐτὸν δ' ὀρείαις δοὺς θεαῖς ἐρρύσατο: cf. Apollod. iii. 4. 3: mavult Wilamowitz ἔσωσε pro ἔθηκε, nulla lacuna 295 ῥαφῆναι Pierson: τραφῆναι L P ἐκ μρς διός P 304 θίγειν L P 306 ἐν δελφοῖς ante ἔτ' habet L, nimirum scholii vestigia δελφίσι L: δελφοῖσιν P πέτραις in L erasit praeter π et ν scripsit, tum πέτραις in marg. rescripsit antiqua manus alias non obvia: primo, ut videtur, textum corrigere voluit, tum se errare vidit 307 πεύκοισι P 308 πάλλοντα Matthiae: βάλλοντα L P

μέγαν τ' ἀν' Ἑλλάδα. ἀλλ' ἐμοί, Πενθεῦ, πιθοῦ·
μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
μηδ', ἢν δοκῇς μέν, ἡ δὲ δόξα σου νοσῇ,
φρονεῖν δόκει τι· τὸν θεὸν δ' ἐς γῆν δέχου
καὶ σπένδε καὶ βάκχευε καὶ στέφου κάρα.
οὐχ ὁ Διόνυσος σωφρονεῖν ἀναγκάσει
γυναῖκας ἐς τὴν Κύπριν, ἀλλ' ἐν τῇ φύσει
[τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ' ἀεὶ]
τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.
ὁρᾷς, σὺ χαίρεις, ὅταν ἐφεστῶσιν πύλαις
πολλοί, τὸ Πενθέως δ' ὄνομα μεγαλύνῃ πόλις·
κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.
ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,
κισσῷ τ' ἐρεψόμεσθα καὶ χορεύσομεν,
πολιὰ ξυνωρίς, ἀλλ' ὅμως χορευτέον,
κοὐ θεομαχήσω σῶν λόγων πεισθεὶς ὕπο.
μαίνῃ γὰρ ὡς ἄλγιστα, κοὔτε φαρμάκοις
ἄκη λάβοις ἂν οὔτ' ἄνευ τούτων νοσεῖς.

Χο. ὦ πρέσβυ, Φοῖβόν τ' οὐ καταισχύνεις λόγοις,
τιμῶν τε Βρόμιον σωφρονεῖς, μέγαν θεόν.

Κα. ὦ παῖ, καλῶς σοι Τειρεσίας παρῄνεσεν.
οἴκει μεθ' ἡμῶν, μὴ θύραζε τῶν νόμων.
νῦν γὰρ πέτῃ τε καὶ φρονῶν οὐδὲν φρονεῖς.
κεἰ μὴ γὰρ ἔστιν ὁ θεὸς οὗτος, ὡς σὺ φῄς,
παρὰ σοὶ λεγέσθω· καὶ καταψεύδου καλῶς
ὡς ἔστι, Σεμέλη θ' ἵνα δοκῇ θεὸν τεκεῖν,
ἡμῖν τε τιμὴ παντὶ τῷ γένει προσῇ.

309 Ἑλλάδ' L P 311 νοσεῖ L P 314 σωφρονεῖν L P cum Chr. Pat. 261: μὴ σωφρονεῖν *p* cum Stob. fl. 5. 15 et 74. 8: μὴ φρονεῖν Musgrave: ἀφρονεῖν Salmasius 315 εἰς τὴν φύσιν Stob. fl. 5. 15 316 = Hip. 79: omisit hic Stob. fl. 74. 8: habet 5. 15: et fortasse habuit Chr. Pat. 264: delevit Kirchhoff 320 οὔνομα L P 327 νοσεῖς] νόσου Dobree 335 Σεμέλη θ' Tyrwhitt: σεμέλης L P 336 ἡμῶν Scaliger

ὁρᾷς τὸν Ἀκτέωνος ἄθλιον μόρον,
ὃν ὠμόσιτοι σκύλακες ἃς ἐθρέψατο
διεσπάσαντο, κρείσσον' ἐν κυναγίαις
Ἀρτέμιδος εἶναι κομπάσαντ', ἐν ὀργάσιν.
ὃ μὴ πάθῃς σύ· δεῦρό σου στέψω κάρα
κισσῷ· μεθ' ἡμῶν τῷ θεῷ τιμὴν δίδου.
Πε. οὐ μὴ προσοίσεις χεῖρα, βακχεύσεις δ' ἰών,
μηδ' ἐξομόρξῃ μωρίαν τὴν σὴν ἐμοί;
τῆς σῆς ⟨δ'⟩ ἀνοίας τόνδε τὸν διδάσκαλον
δίκην μέτειμι. στειχέτω τις ὡς τάχος,
ἐλθὼν δὲ θάκους τοῦδ' ἵν' οἰωνοσκοπεῖ
μοχλοῖς τριαίνου κἀνάτρεψον ἔμπαλιν,
ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ,
καὶ στέμματ' ἀνέμοις καὶ θυέλλαισιν μέθες.
μάλιστα γάρ νιν δήξομαι δράσας τάδε.
οἳ δ' ἀνὰ πόλιν στείχοντες ἐξιχνεύσατε
τὸν θηλύμορφον ξένον, ὃς ἐσφέρει νόσον
καινὴν γυναιξὶ καὶ λέχη λυμαίνεται.
κἄνπερ λάβητε, δέσμιον πορεύσατε
δεῦρ' αὐτόν, ὡς ἂν λευσίμου δίκης τυχὼν
θάνῃ, πικρὰν βάκχευσιν ἐν Θήβαις ἰδών.
Τε. ὦ σχέτλι', ὡς οὐκ οἶσθα ποῦ ποτ' εἶ λόγων.
μέμηνας ἤδη· καὶ πρὶν ἐξέστης φρενῶν.
στείχωμεν ἡμεῖς, Κάδμε, κἀξαιτώμεθα
ὑπέρ τε τούτου καίπερ ὄντος ἀγρίου
ὑπέρ τε πόλεως τὸν θεὸν μηδὲν νέον
δρᾶν. ἀλλ' ἕπου μοι κισσίνου βάκτρου μέτα,
πειρῶ δ' ἀνορθοῦν σῶμ' ἐμόν, κἀγὼ τὸ σόν·
γέροντε δ' αἰσχρὸν δύο πεσεῖν· ἴτω δ' ὅμως,

337 Ἀκτέωνος L² vel *l*: Ἀκταίωνος L P: cf. Dittenb. Syll. Inscr. 9. 10 338 ὃν *l*: τὸν L P 339 κυνηγίαις L P: corr. Matthiae 343 χεῖρα P: χεῖρα καὶ L 345 δ' add. Matthiae 346 δίκην Elmsley: δίκῃ L P 347 τοῦδ' Musgrave: τούσδ' L P οἰωνοσκοπῆ P 348 τριαίνου L: τριαίνης P 365 γέροντες δ' P

τῷ Βακχίῳ γὰρ τῷ Διὸς δουλευτέον.
Πενθεὺς δ' ὅπως μὴ πένθος εἰσοίσει δόμοις
τοῖς σοῖσι, Κάδμε· μαντικῇ μὲν οὐ λέγω,
τοῖς πράγμασιν δέ· μῶρα γὰρ μῶρος λέγει.

Χο. — Ὁσία πότνα θεῶν, [στρ.
Ὁσία δ' ἃ κατὰ γᾶν
χρυσέαν πτέρυγα φέρεις,
τάδε Πενθέως ἀίεις;
ἀίεις οὐχ ὁσίαν
ὕβριν ἐς τὸν Βρόμιον, τὸν
Σεμέλας, τὸν παρὰ καλλι-
στεφάνοις εὐφροσύναις δαί-
μονα πρῶτον μακάρων; ὃς τάδ' ἔχει,
θιασεύειν τε χοροῖς
μετά τ' αὐλοῦ γελάσαι
ἀποπαῦσαί τε μερίμνας,
ὁπόταν βότρυος ἔλθῃ
γάνος ἐν δαιτὶ θεῶν, κισ-
σοφόροις δ' ἐν θαλίαις ἀν-
δράσι κρατὴρ ὕπνον ἀμ-
φιβάλλῃ.

— ἀχαλίνων στομάτων [ἀντ.
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία·
ὁ δὲ τᾶς ἡσυχίας
βίοτος καὶ τὸ φρονεῖν
ἀσάλευτόν τε μένει καὶ
συνέχει δώματα· πόρσω

372 χρυσέαν Brunck: χρύσεα L: χρυσέα P 373 τὰ δὲ L P 375 ἐς P: εἰς L 379 θιεύσειν P 385 ἀμφιβάλῃ L: ἀμφὶ βάλῃ P: corr. Barnes 392 δώματα P: δῶμα in ras. *l* πόρσω γὰρ Elmsley: πόρρω γὰρ Stob. fl. 58. 3: πρόσω γὰρ ἀλλ' L P

γὰρ ὅμως αἰθέρα ναίον-
τες ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι.
τὸ σοφὸν δ' οὐ σοφία
τό τε μὴ θνητὰ φρονεῖν.
βραχὺς αἰών· ἐπὶ τούτῳ
δέ τις ἂν μεγάλα διώκων
τὰ παρόντ' οὐχὶ φέροι. μαι-
νομένων οἵδε τρόποι καὶ
κακοβούλων παρ' ἔμοι-
γε φωτῶν.

— ἱκοίμαν ποτὶ Κύπρον, [στρ.
νᾶσον τᾶς Ἀφροδίτας,
ἵν' οἱ θελξίφρονες νέμον-
ται θνατοῖσιν Ἔρωτες,
Πάφον θ' ἂν ἑκατόστομοι
βαρβάρου ποταμοῦ ῥοαὶ
καρπίζουσιν ἄνομβροι.
οὗ δ' ἁ καλλιστευομένα
Πιερία μούσειος ἕδρα,
σεμνὰ κλιτὺς Ὀλύμπου,
ἐκεῖσ' ἄγε με, Βρόμιε Βρόμιε,
πρόβακχ' εὔιε δαῖμον.
ἐκεῖ Χάριτες,
ἐκεῖ δὲ Πόθος· ἐκεῖ δὲ βάκ-
χαις θέμις ὀργιάζειν.

394 ὁρῶσιν L sed σιν in ras. *l* : ὁρῶσι P 396 θνατὰ Elmsley 398 μεγάλα L : τὰ μεγάλα P : μακρὰ Heimsoeth 399 φέρει L P 400 μαινομένων δ' Stob. fl. 22. 17 401 ἔμοιγε L² P : ἐμοὶ L 402 Κύπρον Elmsley : τὰν κύπρον L P 403 τᾶς] τὰν Petersen 404 ἵν' οἱ Heath : ἵνα L P : ἐν ᾇ Nauck 406 sq. lectio suspecta : sed cf. Hel. 151 : Βωκάρου ποταμοῦ Meursius : cf. Paully-Wissowa s.v. et Tac. Hist. ii. 3, Plin. H. N. ii. 210 409 οὗ Schoene : ὅπου L P : ποῦ Nauck δ' ἁ L P : del. *l* 410 πιερεία P 411 κλειτὺς L P 412 μ' ὦ Hartung : sed cf. 545 413 πρόβακχ' εὔιε Hermann : προβακχήιε L P δαίμων *l* 415 βάκχαισι P : βάκχαισιν L

— ὁ δαίμων ὁ Διὸς παῖς [ἀντ.
χαίρει μὲν θαλίαισιν,
φιλεῖ δ' ὀλβοδότειραν Εἰ-
ρήναν, κουροτρόφον θεάν.
ἴσαν δ' ἔς τε τὸν ὄλβιον
τόν τε χείρονα δῶκ' ἔχειν
οἴνου τέρψιν ἄλυπον·
μισεῖ δ' ᾧ μὴ ταῦτα μέλει,
κατὰ φάος νύκτας τε φίλας
εὐαίωνα διαζῆν,
σοφὰν δ' ἀπέχειν πραπίδα φρένα τε
περισσῶν παρὰ φωτῶν·
τὸ πλῆθος ὅ τι
τὸ φαυλότερον ἐνόμισε χρῆ-
ταί τε, τόδ' ἂν δεχοίμαν.

ΘΕΡΑΠΩΝ

Πενθεῦ, πάρεσμεν τήνδ' ἄγραν ἠγρευκότες
ἐφ' ἣν ἔπεμψας, οὐδ' ἄκρανθ' ὡρμήσαμεν.
ὁ θὴρ δ' ὅδ' ἡμῖν πρᾶος οὐδ' ὑπέσπασεν
φυγῇ πόδ', ἀλλ' ἔδωκεν οὐκ ἄκων χέρας
οὐδ' ὠχρός, οὐδ' ἤλλαξεν οἰνωπὸν γένυν,
γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο
ἔμενέ τε, τοὐμὸν εὐτρεπὲς ποιούμενος.
κἀγὼ δι' αἰδοῦς εἶπον· Ὦ ξέν', οὐχ ἑκὼν
ἄγω σε, Πενθέως δ' ὅς μ' ἔπεμψ' ἐπιστολαῖς.
ἃς δ' αὖ σὺ βάκχας εἶρξας, ἃς συνήρπασας
κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,
φροῦδαί γ' ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας

419 εἰρήνην P 421 ἴσαν *l*: ἴσα L P 427 ἄπεχε Hermann, cf. 412 πραπίδα L: παρ' ἀσπίδα P 430 ὅ τι τὸ Brunck: ὅτι τε (τε in ras.) *l*: ὅτι περ P et fortasse L 431 τε, τόδ' ἂν δεχοίμαν Kirchhoff: τε τόδε τοι λέγοιμ' ἂν L: τ' ἐν τῷδε λεγοίμην ἄν P: totius v. lectio dubia 438 οὐκ ὠχρός Kirchhoff 440 εὐπρεπὲς L P: corr. Canter: εὔπετὲς Nauck 442 ἐγώ σε et ἔπεμψεν P 443 βάχκας L

σκιρτῶσι Βρόμιον ἀνακαλούμεναι θεόν·
αὐτόματα δ' αὐταῖς δεσμὰ διελύθη ποδῶν
κλῇδές τ' ἀνῆκαν θύρετρ' ἄνευ θνητῆς χερός.
πολλῶν δ' ὅδ' ἁνὴρ θαυμάτων ἥκει πλέως
ἐς τάσδε Θήβας. σοὶ δὲ τἄλλα χρὴ μέλειν.
Πε. μέθεσθε χειρῶν τοῦδ'· ἐν ἄρκυσιν γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς ὥστε μ' ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ' οὐκ ἄμορφος εἶ, ξένε,
ὡς ἐς γυναῖκας, ἐφ' ὅπερ ἐς Θήβας πάρει·
πλόκαμός τε γάρ σου ταναός, οὐ πάλης ὕπο,
γένυν παρ' αὐτὴν κεχυμένος, πόθου πλέως·
λευκὴν δὲ χροιὰν ἐκ παρασκευῆς ἔχεις,
οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς,
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
πρῶτον μὲν οὖν μοι λέξον ὅστις εἶ γένος.
Δι. οὐ κόμπος οὐδείς· ῥᾴδιον δ' εἰπεῖν τόδε.
τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων.
Πε. οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.
Δι. ἐντεῦθέν εἰμι, Λυδία δέ μοι πατρίς.
Πε. πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα;
Δι. Διόνυσος ἡμᾶς εἰσέβησ', ὁ τοῦ Διός.
Πε. Ζεὺς δ' ἔστ' ἐκεῖ τις, ὃς νέους τίκτει θεούς;
Δι. οὔκ, ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.
Πε. πότερα δὲ νύκτωρ σ' ἢ κατ' ὄμμ' ἠνάγκασεν;
Δι. ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.
Πε. τὰ δ' ὄργι' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι;
Δι. ἄρρητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

448 κλητδ' ἐστ' L 449 ἀνὴρ L P 451 μέθεσθε Burges: μαίνεσθε L P: punctum post μαίνεσθε fortasse voluit L, non post τοῦδ': γρ. λάζυσθε suprascr. *p* τοῦδ'] suprascr. ἐμοῦ L², ut videtur 457 λ**κὴν P: corr. *p* ἐκ παρασκευῆς Hermann: εἰς παρασκευὴν L P 466 εἰσέβησ' Abresch: εὐσέβησ' L P 468 οὔκ, ἀλλ' ὁ (ὃς P) σεμέλης ἐνθάδ' ἔζευξεν γάμοις L P: corr. Stephanus, Musgrave: ἀλλ' ὁ Σεμέλης ἐνθάδε ζευχθεὶς γάμοις Kirchhoff 469 σ' P: om. L κατ' ἦμαρ ἥγνισεν Elmsley ὄμμ' L: ὄμματ' P

Πε. ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τίνα;
Δι. οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.
Πε. εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.
Δι. ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ.
Πε. τὸν θεὸν ὁρᾶν γὰρ φῄς σαφῶς, ποῖός τις ἦν,
Δι. ὁποῖος ἤθελ'· οὐκ ἐγὼ ᾽τασσον τόδε.
Πε. τοῦτ' αὖ παρωχέτευσας εὖ κοὐδὲν λέγων.
Δι. δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.
Πε. ἦλθες δὲ πρῶτα δεῦρ' ἄγων τὸν δαίμονα;
Δι. πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.
Πε. φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.
Δι. τάδ' εὖ γε μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.
Πε. τὰ δ' ἱερὰ νύκτωρ ἢ μεθ' ἡμέραν τελεῖς;
Δι. νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.
Πε. τοῦτ' ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.
Δι. κἀν ἡμέρᾳ τό γ' αἰσχρὸν ἐξεύροι τις ἄν.
Πε. δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.
Δι. σὲ δ' ἀμαθίας γε κἀσεβοῦντ' ἐς τὸν θεόν.
Πε. ὡς θρασὺς ὁ βάκχος κοὐκ ἀγύμναστος λόγων.
Δι. εἴφ' ὅ τι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσῃ;
Πε. πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.
Δι. ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ' αὐτὸν τρέφω.
Πε. ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν.
Δι. αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ.
Πε. εἱρκταῖσί τ' ἔνδον σῶμα σὸν φυλάξομεν.
Δι. λύσει μ' ὁ δαίμων αὐτός, ὅταν ἐγὼ θέλω.
Πε. ὅταν γε καλέσῃς αὐτὸν ἐν βάκχαις σταθείς.
Δι. καὶ νῦν ἃ πάσχω πλησίον παρὼν ὁρᾷ.

475 θέλω *l*: θέλων L P: '*recte cum aposiopesi*' Verrall 476 ἀσκοῦνθ' ὄργι' L P 477 ὁρᾶν γὰρ Musgrave: γὰρ ὁρᾶν L P: post ὁρᾶν suprascr. σὺ *p* ἦν Musgrave: ᾗ P: om. L: ὢν *l* 480 φρονεῖν] λέγειν Stob. fl. 4. 18 484 δὲ L: om. P 490 ἀμαθίας γε κἀσεβοῦντ' L: ἀμαθίας ἀσεβοῦντ' P: ἀμαθίας γ', οὐκ εὐσεβοῦντ' Pierson

Πε. καὶ ποῦ 'στιν; οὐ γὰρ φανερὸς ὄμμασίν γ' ἐμοῖς.
Δι. παρ' ἐμοί· σὺ δ' ἀσεβὴς αὐτὸς ὢν οὐκ εἰσορᾷς.
Πε. λάζυσθε· καταφρονεῖ με καὶ Θήβας ὅδε.
Δι. αὐδῶ με μὴ δεῖν σωφρονῶν οὐ σώφροσιν.
Πε. ἐγὼ δὲ δεῖν γε, κυριώτερος σέθεν.
Δι. οὐκ οἶσθ' ὅ τι ζῇς, οὐδ' ὃ δρᾷς, οὐδ' ὅστις εἶ.
Πε. Πενθεύς, 'Αγαύης παῖς, πατρὸς δ' 'Εχίονος.
Δι. ἐνδυστυχῆσαι τοὔνομ' ἐπιτήδειος εἶ.
Πε. χώρει· καθείρξατ' αὐτὸν ἱππικαῖς πέλας
φάτναισιν, ὡς ἂν σκότιον εἰσορᾷ κνέφας.
ἐκεῖ χόρευε· τάσδε δ' ἃς ἄγων πάρει
κακῶν συνεργοὺς ἢ διεμπολήσομεν
ἢ χεῖρα δούπου τοῦδε καὶ βύρσης κτύπου
παύσας, ἐφ' ἱστοῖς δμωίδας κεκτήσομαι.
Δι. στείχοιμ' ἄν· ὅ τι γὰρ μὴ χρεών, οὔτοι χρεὼν
παθεῖν. ἀτάρ τοι τῶνδ' ἄποιν' ὑβρισμάτων
μέτεισι Διόνυσός σ', ὃν οὐκ εἶναι λέγεις·
ἡμᾶς γὰρ ἀδικῶν κεῖνον εἰς δεσμοὺς ἄγεις.

Χο. — . . . .
'Αχελῴου θύγατερ, [στρ.
πότνι' εὐπάρθενε Δίρκα,
σὺ γὰρ ἐν σαῖς ποτε παγαῖς
τὸ Διὸς βρέφος ἔλαβες,
ὅτε μηρῷ πυρὸς ἐξ ἀ-
θανάτου Ζεὺς ὁ τεκὼν ἥρ-
πασέ νιν, τάδ' ἀναβοάσας·

502 αὐτὸν Elmsley 503 με καὶ Θήβας *l* et Schol. Ar. Ran. 103: μου καὶ θήβης L P: fortasse κερτομεῖ pro καταφρονεῖ 506 ὅ τι ζῇς (‘*quid sit tua vita*’): ὃ χρῄζεις Wilamowitz ὃ δρᾷς οὐδ' Reiske: δρᾶς οὔθ' L P 510–518 singulis versibus notae personarum minio olim praescriptae tum erasae in L: Δι. notam in ras. scr. *l* 513 κτύπους P 514 παύσας P: πάσας L 515 οὔτοι Porson: οὔτι L: οὔτε P Aut ante 519 versus excidit (ὦ καλλίστα κρανᾶν suppl. Barnes) aut 537 spurius est 523 μηρῷ P 524 ἥρπασε] ἥρμοσε Kayser 525 ἀναβοήσας P τᾷδ' ἀναβώσας Nauck, τάδ' ἀμβοάσας Dindorf, frustra

Ἴθι, Διθύραμβ᾽, ἐμὰν ἄρ-
σενα τάνδε βᾶθι νηδύν·
ἀναφαίνω σε τόδ᾽, ὦ Βάκ-
χιε, Θήβαις ὀνομάζειν.
σὺ δέ μ᾽, ὦ μάκαιρα Δίρκα,
στεφανηφόρους ἀπωθῇ
θιάσους ἔχουσαν ἐν σοί.
τί μ᾽ ἀναίνῃ; τί με φεύγεις;
ἔτι ναὶ τὰν βοτρυώδη
Διονύσου χάριν οἴνας,
ἔτι σοι τοῦ Βρομίου μελήσει.

— οἵαν οἵαν ὀργὰν [ἀντ.
ἀναφαίνει χθόνιον
γένος ἐκφύς τε δράκοντός
ποτε Πενθεύς, ὃν Ἐχίων
ἐφύτευσε χθόνιος,
ἀγριωπὸν τέρας, οὐ φῶ-
τα βρότειον, φόνιον δ᾽ ὥσ-
τε γίγαντ᾽ ἀντίπαλον θεοῖς·
ὃς ἔμ᾽ ἐν βρόχοισι τὰν τοῦ
Βρομίου τάχα ξυνάψει,
τὸν ἐμὸν δ᾽ ἐντὸς ἔχει δώ-
ματος ἤδη θιασώταν
σκοτίαις κρυπτὸν ἐν εἱρκταῖς.
ἐσορᾷς τάδ᾽, ὦ Διὸς παῖ
Διόνυσε, σοὺς προφήτας
ἐν ἁμίλλαισιν ἀνάγκας;

526 ἴθι Hermann: ἴθ᾽ ὦ L P 528 ἀναφαίνω Hermann: ἀναφανῶ L P 530 Δίρκα] Θήβα Middendorf 534 ναὶ L P: νὴ *p* 537 vid. ad 519 544 θεοῖς P et sine dubio L, θεοῖσιν *l* 545 ἔμ᾽ ἐν Dobree: με L P: ἐμὲ Hartung fortasse recte, cf. 412 546 συνάψει L P 547 δ᾽ erasum in L 549 σκοτίαισι κρυπτὸν εἱρκταῖς Bothe, cf. 530 551 σοὺς L: σὰς P 552 omissum postmodo add. L

μόλε, χρυσῶπα τινάσσων,
ἄνα, θύρσον κατ' Ὄλυμπον,
φονίου δ' ἀνδρὸς ὕβριν κατάσχες.

— πόθι Νύσας ἄρα τᾶς θη-
ροτρόφου θυρσοφορεῖς
θιάσους, ὦ Διόνυσ', ἢ
κορυφαῖς Κωρυκίαις;
τάχα δ' ἐν ταῖς πολυδένδρεσ-
σιν Ὀλύμπου θαλάμαις, ἔν-
θα ποτ' Ὀρφεὺς κιθαρίζων
σύναγεν δένδρεα μούσαις,
σύναγεν θῆρας ἀγρώτας.
μάκαρ ὦ Πιερία,
σέβεταί σ' Εὔιος, ἥξει
τε χορεύσων ἅμα βακχεύ-
μασι, τόν τ' ὠκυρόαν
διαβὰς Ἀξιὸν εἱλισ-
σομένας Μαινάδας ἄξει,
Λυδίαν πατέρα τε, τὸν
τᾶς εὐδαιμονίας βροτοῖς
ὀλβοδόταν, τὸν ἔκλυον
εὔιππον χώραν ὕδασιν
καλλίστοισι λιπαίνειν.

553 χρυσωπέ Usener 554 ἄνα, Hermann: ἀνὰ L: ἀνα P Ὀλύμπου Kirchhoff 556 Νύσης L P ἄρα τᾶς θηροτρόφου P et, puto, L: ἄρα θηροτρόφου *l* θυρσοφορεῖς P: θυρσοφοραῖς scr. ει super αῖ L: θυρσοφοραῖσιν *l* 558 διόνυσε ἢ L P 560 ταῖσι P et primitus L πολυδένδρεσιν L: πολυδένδραισιν P: corr. *l* 561 θαλάμαις Barnes: θαλάμοις L P 563 σύναγε L P: συνάγει hic et v. sequenti Dobree 564 θήρας L P 565 μάκαρ Hermann: μάκαιρ' L P 567 χορεύσων] σων in rasura in L βακχεύμασιν P et primitus L 568 ὠκυρόαν L: ὦ κΰρΐαν P 569 Ἀξιὸν L: ἄξιον P 570 τε μαινάδας L P: τε del. Heath 571–573 Λυδίαν τε τὸν hic, πατέρα τε τὸν infra ante ἔκλυον habent L P: trai. Wilamowitz 572 τᾶς L: τὰς P 573 ὀλβοδόταν πατέρα, τὸν Bothe 574 ὕδασι L P

Δι. ἰώ,
κλύετ᾽ ἐμᾶς κλύετ᾽ αὐδᾶς,
ἰὼ βάκχαι, ἰὼ βάκχαι.
Χο. — τίς ὅδε, τίς ⟨ὅδε⟩ πόθεν ὁ κέλαδος
ἀνά μ᾽ ἐκάλεσεν Εὐίου;
Δι. ἰὼ ἰώ, πάλιν αὐδῶ,
ὁ Σεμέλας, ὁ Διὸς παῖς.
Χο. — ἰὼ ἰὼ δέσποτα δέσποτα,
μόλε νυν ἡμέτερον ἐς
θίασον, ὦ Βρόμιε Βρόμιε.
Δι. ⟨σεῖε⟩ πέδον χθονὸς Ἔννοσι πότνια.
Χο. — ἆ ἆ,
τάχα τὰ Πενθέως μέλαθρα διατι-
νάξεται πεσήμασιν.
— ὁ Διόνυσος ἀνὰ μέλαθρα·
σεβετέ νιν. — σέβομεν ὥ.
— εἴδετε λάινα κίοσιν ἔμβολα
διάδρομα τάδε; Βρόμιος ⟨ὅδ᾽⟩ ἀλα-
λάζεται στέγας ἔσω.
Δι. ἅπτε κεραύνιον αἴθοπα λαμπάδα·
σύμφλεγε σύμφλεγε δώματα Πενθέος.
Χο. ἆ ἆ,
πῦρ οὐ λεύσσεις, οὐδ᾽ αὐγάζῃ,
Σεμέλας ἱερὸν ἀμφὶ τάφον, ἅν

577 ἁμᾶς Wecklein : sed cf. 580, 581 579 ὅδε alterum add. post Hermannum Wecklein 583 νῦν L P ἁμέτερον Dindorf 585–603 nullas personarum notas exhibent L P, nisi 590 ἡμιχ. σέβομεν L P (minio scr. L^2 P^2 ut vid.) : 590 Διον. σέβετε *l*, 593 Χο. βρόμιος L, 596 ἡμιχ. ἆ ἆ *l* : 'certum est haec a singulis chori personis cantari' Kirchhoff : notas et paragraphos post Tyrwhittum Bruhnium alios praescripsimus 585 σεῖε add. Wilamowitz πέδον an πέδου habeant L P incertum Ἔννοσι scripsi : ἔνοσι L P 588 διατινάζεται P 591 εἴδετε Dobree : ἴδετε L : ἴδετε τὰ P, fortasse recte κίοσιν om. P 593 ὅδ᾽ add. Bruhn ἀλαλάζεται P : ἀλαλάξεται L : ἠλάλαξε τᾶς Tyrwhitt 595 Πενθέος L : πενθέως P 596 αὐγάζῃ sanum, passive : cf. Hec. 637 597 τόνδε Σεμέλας Wilamowitz metri paeonici causa

ποτε κεραυνόβολος ἔλιπε φλόγα
Δίου βροντᾶς;
δίκετε πεδόσε τρομερὰ σώματα
δίκετε, Μαινάδες· ὁ γὰρ ἄναξ
ἄνω κάτω τιθεὶς ἔπεισι
μέλαθρα τάδε Διὸς γόνος.

Δι. βάρβαροι γυναῖκες, οὕτως ἐκπεπληγμέναι φόβῳ
πρὸς πέδῳ πεπτώκατ'; ᾔσθησθ', ὡς ἔοικε, Βακχίου
διατινάξαντος †δῶμα Πενθέως· ἀλλ' ἐξανίστατε†
σῶμα καὶ θαρσεῖτε σαρκὸς ἐξαμείψασαι τρόμον.

Χο. ὦ φάος μέγιστον ἡμῖν εὐίου βακχεύματος,
ὡς ἐσεῖδον ἀσμένη σε, μονάδ' ἔχουσ' ἐρημίαν.

Δι. εἰς ἀθυμίαν ἀφίκεσθ', ἡνίκ' εἰσεπεμπόμην,
Πενθέως ὡς ἐς σκοτεινὰς ὀρκάνας πεσούμενος;

Χο. πῶς γὰρ οὔ; τίς μοι φύλαξ ἦν, εἰ σὺ συμφορᾶς τύχοις;
ἀλλὰ πῶς ἠλευθερώθης ἀνδρὸς ἀνοσίου τυχών;

Δι. αὐτὸς ἐξέσῳσ' ἐμαυτὸν ῥᾳδίως ἄνευ πόνου.

Χο. οὐδέ σου συνῆψε χεῖρε δεσμίοισιν ἐν βρόχοις;

Δι. ταῦτα καὶ καθύβρισ' αὐτόν, ὅτι με δεσμεύειν δοκῶν
οὔτ' ἔθιγεν οὔθ' ἥψαθ' ἡμῶν, ἐλπίσιν δ' ἐβόσκετο.
πρὸς φάτναις δὲ ταῦρον εὑρών, οὗ καθεῖρξ' ἡμᾶς ἄγων,
τῷδε περὶ βρόχους ἔβαλλε γόνασι καὶ χηλαῖς ποδῶν,
θυμὸν ἐκπνέων, ἱδρῶτα σώματος στάζων ἄπο,
χείλεσιν διδοὺς ὀδόντας· πλησίον δ' ἐγὼ παρὼν

598 κεραυνοβόλος L P: tum Διὸς βροντά Hervagiana secunda 599 βροντῆς L 600 πεδόσσε primitus L σώματα Schol. Phoen. 641 (δίκετε τρομερὰ σώματα) et Etym. M. 279. 20 (δίκετε παῖδα δίκετε τρομερὰ σώματα μαινάδες ordine verborum fortasse meliore): δώματα L P 602 τίθει P 603 γόνος διόνυσος L 605 πεπτώκαθ' L P ἤσθη*θ' L nunc: ᾔσθεσθ' Canter 606 τὰ Πενθέως δώματ' ἐκ δ' ἀνίστατε post Musgravium Wilamowitz 607 σαρκὸς Reiske: σάρκας L P 612 μοι P et suprascr. L: μου L τύχας P 613 ἐλευθερώθης P τυχών] fortasse μυχῶν 615 χεῖρε Nauck: χεῖρα L P 618 καθεῖργ' Wecklein 619 ἔβαλε P 621 δ' P: γ' L

ἥσυχος θάσσων ἔλευσσον. ἐν δὲ τῷδε τῷ χρόνῳ
ἀνετίναξ' ἐλθὼν ὁ Βάκχος δῶμα καὶ μητρὸς τάφῳ
πῦρ ἀνῆψ'· ὃ δ' ὡς ἐσεῖδε, δώματ' αἴθεσθαι δοκῶν,
ᾖσσ' ἐκεῖσε κᾆτ' ἐκεῖσε, δμωσὶν Ἀχελῷον φέρειν
ἐννέπων, ἅπας δ' ἐν ἔργῳ δοῦλος ἦν, μάτην πονῶν.
διαμεθεὶς δὲ τόνδε μόχθον, ὡς ἐμοῦ πεφευγότος,
ἵεται ξίφος κελαινὸν ἁρπάσας δόμων ἔσω.
κᾆθ' ὁ Βρόμιος, ὥς ἔμοιγε φαίνεται, δόξαν λέγω,
φάσμ' ἐποίησεν κατ' αὐλήν· ὃ δ' ἐπὶ τοῦθ' ὡρμημένος
ᾖσσε κἀκέντει φαεννὸν ⟨αἰθέρ'⟩, ὡς σφάζων ἐμέ.
πρὸς δὲ τοῖσδ' αὐτῷ τάδ' ἄλλα Βάκχιος λυμαίνεται·
δώματ' ἔρρηξεν χαμᾶζε· συντεθράνωται δ' ἅπαν
πικροτάτους ἰδόντι δεσμοὺς τοὺς ἐμούς· κόπου δ' ὕπο
διαμεθεὶς ξίφος παρεῖται· πρὸς θεὸν γὰρ ὢν ἀνὴρ
ἐς μάχην ἐλθεῖν ἐτόλμησε. ἥσυχος δ' ἐκβὰς ἐγὼ
δωμάτων ἥκω πρὸς ὑμᾶς, Πενθέως οὐ φροντίσας.
ὡς δέ μοι δοκεῖ—ψοφεῖ γοῦν ἀρβύλη δόμων ἔσω—
ἐς προνώπι' αὐτίχ' ἥξει. τί ποτ' ἄρ' ἐκ τούτων ἐρεῖ;
ῥᾳδίως γὰρ αὐτὸν οἴσω, κἂν πνέων ἔλθῃ μέγα.
πρὸς σοφοῦ γὰρ ἀνδρὸς ἀσκεῖν σώφρον' εὐοργησίαν.

Πε. πέπονθα δεινά· διαπέφευγέ μ' ὁ ξένος,
ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
ἔα ἔα·
ὅδ' ἐστὶν ἀνήρ· τί τάδε; πῶς προνώπιος
φαίνῃ πρὸς οἴκοις τοῖς ἐμοῖς, ἔξω βεβώς;
Δι. στῆσον πόδ', ὀργῇ δ' ὑπόθες ἥσυχον πόδα.

622 θάσσων P : θᾶσσον L 625 ἤϊσσ' L : ἤϊσ' P 629 βρώμιος L 630 φάσμ' Jacobs : φῶς L P ('recte : leg. κελαινῶν 628' Verrall) ἐποίησε P 631 κἀκέντα P αἰθέρ' add. Canter: cf. Hel. 584, supra 293 632 τάδ' P : τὰ δ' L 635 παρεῖται P : om. L 636 ἐτόλμησε L ἐκβὰς ἐγὼ Heinisch : ἐκ βάκχας ἄγων L P : ἐκ βακχάδων Hermann 639 ἆρ' L P 641 ἀσκεῖν L : ἀρκεῖ P εὐοργησία L 645 ἀνήρ L P 647 πόδα] cf. Soph. in Berl. Kl. Text v. 2, p. 65, v. 13

Πε. πόθεν σὺ δεσμὰ διαφυγὼν ἔξω περᾷς;
Δι. οὐκ εἶπον—ἢ οὐκ ἤκουσας—ὅτι λύσει μέ τις;
Πε. τίς; τοὺς λόγους γὰρ ἐσφέρεις καινοὺς ἀεί.
Δι. ὃς τὴν πολύβοτρυν ἄμπελον φύει βροτοῖς.
Πε. . . . .
Δι. ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν.
Πε. κλῄειν κελεύω πάντα πύργον ἐν κύκλῳ.
Δι. τί δ'; οὐχ ὑπερβαίνουσι καὶ τείχη θεοί;
Πε. σοφὸς σοφὸς σύ, πλὴν ἃ δεῖ σ' εἶναι σοφόν.
Δι. ἃ δεῖ μάλιστα, ταῦτ' ἔγωγ' ἔφυν σοφός.
κείνου δ' ἀκούσας πρῶτα τοὺς λόγους μάθε,
ὃς ἐξ ὄρους πάρεστιν ἀγγελῶν τί σοι·
ἡμεῖς δέ σοι μενοῦμεν, οὐ φευξούμεθα.

ΑΓΓΕΛΟΣ

Πενθεῦ κρατύνων τῆσδε Θηβαίας χθονός,
ἥκω Κιθαιρῶν' ἐκλιπών, ἵν' οὔποτε
λευκῆς χιόνος ἀνεῖσαν εὐαγεῖς βολαί.
Πε. ἥκεις δὲ ποίαν προστιθεὶς σπουδὴν λόγου;
Αγ. βάκχας ποτνιάδας εἰσιδών, αἳ τῆσδε γῆς
οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,
ἥκω φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.
θέλω δ' ἀκοῦσαι, πότερά σοι παρρησίᾳ
φράσω τὰ κεῖθεν ἢ λόγον στειλώμεθα·
τὸ γὰρ τάχος σου τῶν φρενῶν δέδοικ', ἄναξ,
καὶ τοὐξύθυμον καὶ τὸ βασιλικὸν λίαν.

649 ἢ om. P   post 651 lacunam indicavit Reiske (ex. gr. κακόν γε δῶρον, παραφρονεῖν ᾠνωμένους): post 652, quem Pentheo tribuit, Hermann   653 sqq. notam ante 653 om. L: 653–656 notas inversas habet P, tum 657 Baccho tribuit   653 κλείειν *l*: κλύειν L P   655 σὺ ex Chr. Pat. 1529 Porson: εἶ P: γ' εἶ L   658 ἀγγελλῶν P   659 φευξόμεθα L: corr. *l*   660 Ἄγγελος] Βουκόλος malit Wecklein   662 ἀνεῖσαν χιόνος Ludv. Dindorf   ἐξαυγεῖς Elmsley, cf. Rhes. 304: v. fictum ad aposiopesin tegendam censet Verrall: cf. I. T. 253   663 δὲ ποίαν Porson: δ' ὁποίαν L P   667 cf. 716: θαυμάτων τ' ἐπάξια habet Chr. Pat. 2213   669 τἀκεῖθεν L P

Πε. λέγ᾽, ὡς ἀθῷος ἐξ ἐμοῦ πάντως ἔσῃ.
τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
ὅσῳ δ᾽ ἂν εἴπῃς δεινότερα βακχῶν πέρι,
τοσῷδε μᾶλλον τὸν ὑποθέντα τὰς τέχνας
γυναιξὶ τόνδε τῇ δίκῃ προσθήσομεν.
Αγ. ἀγελαῖα μὲν βοσκήματ᾽ ἄρτι πρὸς λέπας
μόσχων ὑπεξήκριζον, ἡνίχ᾽ ἥλιος
ἀκτῖνας ἐξίησι θερμαίνων χθόνα.
ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
ὧν ἦρχ᾽ ἑνὸς μὲν Αὐτονόη, τοῦ δευτέρου
μήτηρ Ἀγαύη σή, τρίτου δ᾽ Ἰνὼ χοροῦ.
ηὗδον δὲ πᾶσαι σώμασιν παρειμέναι,
αἳ μὲν πρὸς ἐλάτης νῶτ᾽ ἐρείσασαι φόβην,
αἳ δ᾽ ἐν δρυὸς φύλλοισι πρὸς πέδῳ κάρα
εἰκῇ βαλοῦσαι σωφρόνως, οὐχ ὡς σὺ φῂς
ᾠνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ
θηρᾶν καθ᾽ ὕλην Κύπριν ἠρημωμένας.
ἡ σὴ δὲ μήτηρ ὠλόλυξεν ἐν μέσαις
σταθεῖσα βάκχαις, ἐξ ὕπνου κινεῖν δέμας,
μυκήμαθ᾽ ὡς ἤκουσε κεροφόρων βοῶν.
αἳ δ᾽ ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον
ἀνῇξαν ὀρθαί, θαῦμ᾽ ἰδεῖν εὐκοσμίας,
νέαι παλαιαὶ παρθένοι τ᾽ ἔτ᾽ ἄζυγες.
καὶ πρῶτα μὲν καθεῖσαν εἰς ὤμους κόμας
νεβρίδας τ᾽ ἀνεστείλανθ᾽ ὅσαισιν ἁμμάτων
σύνδεσμ᾽ ἐλέλυτο, καὶ καταστίκτους δορὰς
ὄφεσι κατεζώσαντο λιχμῶσιν γένυν.

673 del. Nauck, cl. fr. 287. 1 675 τὰς L : om. P 678 βόσκων Sandys 680 γυναικίων P 681 τοῦ Scaliger: τοῦ δὲ L P 682 τρίτου Musurus, et teste Wilamowitzio primitus L : τρίτη L P: τρίτη δ᾽ Ἰνὼ τρίτου Hermann 683 εὗδον L P 684 νῶτον primitus L 687 οἰνωμένας L P : corr. Elmsley ψήφῳ P: corr. p 688 ἠρεμωμένας P : ἠρημωμένην Wecklein 694 τ᾽ ἔτ᾽ ἄζυγες ex Chr. Pat. 1834 Musgrave : τε κἄζυγες L P 696 ὀμμάτων P 698 λιχμῶσιν Heath: λιχμῶσαν L P γέναν P

αἱ δ' ἀγκάλαισι δορκάδ' ἢ σκύμνους λύκων
ἀγρίους ἔχουσαι λευκὸν ἐδίδοσαν γάλα,
ὅσαις νεοτόκοις μαστὸς ἦν σπαργῶν ἔτι
βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
στεφάνους δρυός τε μίλακός τ' ἀνθεσφόρου.
θύρσον δέ τις λαβοῦσ' ἔπαισεν ἐς πέτραν,
ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
ἄλλη δὲ νάρθηκ' ἐς πέδον καθῆκε γῆς,
καὶ τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα
γάλακτος ἑσμοὺς εἶχον· ἐκ δὲ κισσίνων
θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.
ὥστ', εἰ παρῆσθα, τὸν θεὸν τὸν νῦν ψέγεις
εὐχαῖσιν ἂν μετῆλθες εἰσιδὼν τάδε.
ξυνήλθομεν δὲ βουκόλοι καὶ ποιμένες,
κοινῶν λόγων δώσοντες ἀλλήλοις ἔριν
ὡς δεινὰ δρῶσι θαυμάτων τ' ἐπάξια·
καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων
ἔλεξεν εἰς ἅπαντας· Ὦ σεμνὰς πλάκας
ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαύην μητέρ' ἐκ βακχευμάτων
χάριν τ' ἄνακτι θώμεθα; εὖ δ' ἡμῖν λέγειν
ἔδοξε, θάμνων δ' ἐλλοχίζομεν φόβαις
κρύψαντες αὑτούς· αἱ δὲ τὴν τεταγμένην
ὥραν ἐκίνουν θύρσον ἐς βακχεύματα,
Ἴακχον ἀθρόῳ στόματι τὸν Διὸς γόνον
Βρόμιον καλοῦσαι· πᾶν δὲ συνεβάκχευ' ὄρος

701 *μαζὸς* L P: corr. Brunck *σπαρτῶν* P 703 *ἀνθεσφόρου* Hervagiana prima: *ἀνθεσφόρους* L P 704 *λαβοῦσα* L 709 *διαμῶσαι* L P: *λικμῶσαι* suprascr. *l* 710 *ἑσμοὺς* L P 715 vix sanus 716 del. Dobree: cf. 667 721 *θώμεθ'* Elmsley: *θῶμεν* L P 722 *ἐλοχίζομεν* P 723 *αὑτοὺς* L *p*: *αὐτοὺς* P 726 *συνεβάκχευ'* Porson, cl. de Sublimitate xv. 6 (ubi codd. *συνεβάκχευεν*): *συνεβάκχευσ'* L P

καὶ θῆρες, οὐδὲν δ' ἦν ἀκίνητον δρόμῳ.
  κυρεῖ δ' Ἀγαύη πλησίον θρῴσκουσά μου·
κἀγὼ 'ξεπήδησ' ὡς συναρπάσαι θέλων,
λόχμην κενώσας ἔνθ' ἐκρυπτόμην δέμας.
ἡ δ' ἀνεβόησεν· Ὦ δρομάδες ἐμαὶ κύνες,
θηρώμεθ' ἀνδρῶν τῶνδ' ὕπ'· ἀλλ' ἕπεσθέ μοι,
ἕπεσθε θύρσοις διὰ χερῶν ὡπλισμέναι.
  ἡμεῖς μὲν οὖν φεύγοντες ἐξηλύξαμεν
βακχῶν σπαραγμόν, αἳ δὲ νεμομέναις χλόην
μόσχοις ἐπῆλθον χειρὸς ἀσιδήρου μέτα.
καὶ τὴν μὲν ἂν προσεῖδες εὔθηλον πόριν
μυκωμένην ἔχουσαν ἐν χεροῖν δίχα,
ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
εἶδες δ' ἂν ἢ πλευρ' ἢ δίχηλον ἔμβασιν
ῥιπτόμεν' ἄνω τε καὶ κάτω· κρεμαστὰ δὲ
ἔσταζ' ὑπ' ἐλάταις ἀναπεφυρμέν' αἵματι.
ταῦροι δ' ὑβρισταὶ κἀς κέρας θυμούμενοι
τὸ πρόσθεν ἐσφάλλοντο πρὸς γαῖαν δέμας,
μυριάσι χειρῶν ἀγόμενοι νεανίδων.
θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἐνδυτὰ
ἢ σὲ ξυνάψαι βλέφαρα βασιλείοις κόραις.
χωροῦσι δ' ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ
πεδίων ὑποτάσεις, αἳ παρ' Ἀσωποῦ ῥοαῖς
εὔκαρπον ἐκβάλλουσι Θηβαίων στάχυν·
Ὑσιάς τ' Ἐρυθράς θ', αἳ Κιθαιρῶνος λέπας
νέρθεν κατῳκήκασιν, ὥστε πολέμιοι,
ἐπεσπεσοῦσαι πάντ' ἄνω τε καὶ κάτω

728 *κύρει* L P : corr. *p* 730 *ἔνθ'* L : *ἔνδ'* P *ἐκρύπτομεν* L P 732 *ὕπ'* *l p* : *ὑπ'* L P 734 *φυγόντες* Elmsley 735 *σπαραγμῶν* L *νεμόμεναι* P 737 *πόλιν* P : corr. *p* 738 *δίχα* Reiske (et *ἕλκουσαν*) : *δίκα* L P : *δίκῃ* Elmsley : *ἀκμαῖς* Nauck 740 *πλευρ'* Barnes : *πλευρὰν* L P 743 *κεἰς* L P 746 *ἔνδυτα* L P 747 *σὲ* L : *σὺ* P (tum *ξυνάψαις* *p*) 749 *αἰσωποῦ* P 750 *Θηβαίων* L : *θηβαῖον* P : *Θηβαίοις* Brunck 751 *ὑσίας* L P *τ'*] *δ'* Brunck *ἐρυθρὰς* P : *ἐρυθρᾶς* L *p* *θ'* om. P

διέφερον· ἥρπαζον μὲν ἐκ δόμων τέκνα·
ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
προσείχετ' οὐδ' ἔπιπτεν ἐς μέλαν πέδον,
οὐ χαλκός, οὐ σίδηρος· ἐπὶ δὲ βοστρύχοις
πῦρ ἔφερον, οὐδ' ἔκαιεν. οἱ δ' ὀργῆς ὕπο
ἐς ὅπλ' ἐχώρουν φερόμενοι βακχῶν ὕπο·
οὗπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν, ἄναξ.
τοῖς μὲν γὰρ οὐχ ἥμασσε λογχωτὸν βέλος,
κεῖναι δὲ θύρσους ἐξανιεῖσαι χερῶν
ἐτραυμάτιζον κἀπενώτιζον φυγῇ
γυναῖκες ἄνδρας, οὐκ ἄνευ θεῶν τινος.
πάλιν δ' ἐχώρουν ὅθεν ἐκίνησαν πόδα,
κρήνας ἐπ' αὐτὰς ἃς ἀνῆκ' αὐταῖς θεός.
νίψαντο δ' αἷμα, σταγόνα δ' ἐκ παρηίδων
γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός.
τὸν δαίμον' οὖν τόνδ' ὅστις ἔστ', ὦ δέσποτα,
δέχου πόλει τῇδ'· ὡς τά τ' ἄλλ' ἐστὶν μέγας,
κἀκεῖνό φασιν αὐτόν, ὡς ἐγὼ κλύω,
τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

Χο. ταρβῶ μὲν εἰπεῖν τοὺς λόγους ἐλευθέρους
πρὸς τὸν τύραννον, ἀλλ' ὅμως εἰρήσεται·
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.

Πε. ἤδη τόδ' ἐγγὺς ὥστε πῦρ ὑφάπτεται
ὕβρισμα βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.
ἀλλ' οὐκ ὀκνεῖν δεῖ· στεῖχ' ἐπ' Ἠλέκτρας ἰὼν

754 *τέκνα*] *τύχῃ* Madvig: locus difficilis: hiatum post 754 Hartungus, alterum post 756 Middendorfius ponit: *τέκνα* habuit Nonnus, xlv. 294   755 post *ὕπο* explicit L: *λείπει* adscr. *l*   758 *ἔκαιεν* Elmsley: *ἐκαίεθ'* P   *οἱ p*: *ἡ* P   761 *τοῖς* Stephanus: *τᾶς* P: *τὰς* Brodeau   764 *γυναῖκες* Musurus: *γυναῖκας* P   766 *ἔπ', αὐτὸς* Bruhn   768 *δράκοντες* Reiske: *δράκοντος* P   *ἐξεφέδρυνον* P: corr. *p*   773 *οἴνου*] fortasse *τούτου*   776 *πρὸς* e Chr. Pat. 2222 et 2244 Wecklein: *εἰς* P   778 *ὑφάπτεται* Chr. Pat. 2227: *ἐφάπτεται* P

πύλας· κέλευε πάντας ἀσπιδηφόρους
ἵππων τ' ἀπαντᾶν ταχυπόδων ἐπεμβάτας
πέλτας θ' ὅσοι πάλλουσι καὶ τόξων χερὶ
ψάλλουσι νευράς, ὡς ἐπιστρατεύσομεν
βάκχαισιν· οὐ γὰρ ἀλλ' ὑπερβάλλει τάδε,
εἰ πρὸς γυναικῶν πεισόμεσθ' ἃ πάσχομεν.
Δι. πείθῃ μὲν οὐδέν, τῶν ἐμῶν λόγων κλύων,
Πενθεῦ· κακῶς δὲ πρὸς σέθεν πάσχων ὅμως
οὔ φημι χρῆναί σ' ὅπλ' ἐπαίρεσθαι θεῷ,
ἀλλ' ἡσυχάζειν· Βρόμιος οὐκ ἀνέξεται
κινοῦντα βάκχας ⟨σ'⟩ εὐίων ὀρῶν ἄπο.
Πε. οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν
σῴσῃ τόδ'; ἢ σοὶ πάλιν ἀναστρέψω δίκην;
Δι. θύοιμ' ἂν αὐτῷ μᾶλλον ἢ θυμούμενος
πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ.
Πε. θύσω, φόνον γε θῆλυν, ὥσπερ ἄξιαι,
πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.
Δι. φεύξεσθε πάντες· καὶ τόδ' αἰσχρόν, ἀσπίδας
θύρσοισι βακχῶν ἐκτρέπειν χαλκηλάτους.
Πε. ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,
ὃς οὔτε πάσχων οὔτε δρῶν σιγήσεται.
Δι. ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.
Πε. τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;
Δι. ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.
Πε. οἴμοι· τόδ' ἤδη δόλιον ἔς με μηχανᾷ.
Δι. ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;

784 *ἐπιστρατεύσωμεν* P: corr. *p* 786 *πεισόμεθ'* P: corr. *p* 787–842 quae Dionysi sunt Nuntio tribuit P: corr. Tyrwhitt: cf. ad 798 787 *κλύειν λόγων* Chr. Pat. 2277 791 *κινοῦντα* Canter: *κινοῦντι* P quo servato v. ante 790 trai. Verrall: *κινοῦν τι* Schoene *σ'* add. Lenting *ὁρῶν* P 793 *δίκην*] *χέρας* Wecklein 796 *ἄξιος* Wilamowitz 797 *πτύχαις* P 798 sq. Pentheo continuat, 800–802 Nuntio trib. P: corr. Tyrwhitt: cf. ad 787–842 798 *φεύξεσθε* Elmsley: *φευξεῖσθε* P 799 *ἐντρέπειν* Nauck 801 *ἧς* Musgrave: *ὡς* P 802 *ὦ τᾶν* Scaliger: *ὅταν* P 803 *δουλίαις* P: corr. *p* 805 *δούλιον* primitus P

Πε. *ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.*
Δι. *καὶ μὴν ξυνεθέμην—τοῦτό γ' ἔστι—τῷ θεῷ.*
Πε. *ἐκφέρετέ μοι δεῦρ' ὅπλα, σὺ δὲ παῦσαι λέγων.*
Δι. *ἆ.*
βούλῃ σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;
Πε. *μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.*
Δι. *τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;*
Πε. *λυπρῶς νιν εἰσίδοιμ' ἂν ἐξῳνωμένας.*
Δι. *ὅμως δ' ἴδοις ἂν ἡδέως ἅ σοι πικρά;*
Πε. *σάφ' ἴσθι, σιγῇ γ' ὑπ' ἐλάταις καθήμενος.*
Δι. *ἀλλ' ἐξιχνεύσουσίν σε, κἂν ἔλθῃς λάθρᾳ.*
Πε. *ἀλλ' ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.*
Δι. *ἄγωμεν οὖν σε κἀπιχειρήσεις ὁδῷ;*
Πε. *ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σοι φθονῶ.*
Δι. *στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.*
Πε. *τί δὴ τόδ'; ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;*
Δι. *μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.*
Πε. *εὖ γ' εἶπας αὖ τόδ'· ὥς τις εἶ πάλαι σοφός.*
Δι. *Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.*
Πε. *πῶς οὖν γένοιτ' ἂν ἃ σύ με νουθετεῖς καλῶς;*
Δι. *ἐγὼ στελῶ σε δωμάτων ἔσω μολών.*
Πε. *τίνα στολήν; ἦ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.*
Δι. *οὐκέτι θεατὴς μαινάδων πρόθυμος εἶ.*
Πε. *στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;*
Δι. *κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.*
Πε. *τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;*
Δι. *πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ' ἔσται μίτρα.*
Πε. *ἦ καί τι πρὸς τοῖσδ' ἄλλο προσθήσεις ἐμοί;*

808 *μὴν p*: *μὴ* P *ἔστι* P: intellego '*Pactum habetis tu et mulieres.*' '*Immo ego et deus: hoc quidem verum*': *ἴσθι* Musgrave: *ξυνεθέμην τοῦτό γ' ἔς τι* Tyrwhitt 814 *νιν*] *μὲν* Bruhn *ἐξοινωμένας* P 816 *γ'* Musurus: *δ'* P 817 *ἐξιχνεύουσι κἂν* P: supplevit Musgrave *ἔλθῃς* Pierson: *θέλῃς* P 818 *τόδε* Hermann 820 *δέ σοι* Nauck: *δέ σ' οὐ* P 821 *νυν* Canter: *νιν* P 824 *αὖ τόδ' ὡς* Wecklein: *αὐτὸ καὶ* P 829 *μενάδων* P 833 *κάρα* P

Δι. θύρσον γε χειρὶ καὶ νεβροῦ στικτὸν δέρας.
Πε. οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.
Δι. ἀλλ᾽ αἷμα θήσεις συμβαλὼν βάκχαις μάχην.
Πε. ὀρθῶς· μολεῖν χρὴ πρῶτον εἰς κατασκοπήν.
Δι. σοφώτερον γοῦν ἢ κακοῖς θηρᾶν κακά.
Πε. καὶ πῶς δι᾽ ἄστεως εἶμι Καδμείους λαθών;
Δι. ὁδοὺς ἐρήμους ἴμεν· ἐγὼ δ᾽ ἡγήσομαι.
Πε. πᾶν κρεῖσσον ὥστε μὴ ᾽γγελᾶν βάκχας ἐμοί.
    ἐλθόντ᾽ ἐς οἴκους . . . ἂν δοκῇ βουλεύσομαι.
Δι. ἔξεστι· πάντῃ τό γ᾽ ἐμὸν εὐτρεπὲς πάρα.
Πε. στείχοιμ᾽ ἄν· ἢ γὰρ ὅπλ᾽ ἔχων πορεύσομαι
    ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.
Δι. γυναῖκες, ἁνὴρ ἐς βόλον καθίσταται,
    ἥξει δὲ βάκχας, οὗ θανὼν δώσει δίκην.
        Διόνυσε, νῦν σὸν ἔργον· οὐ γὰρ εἶ πρόσω·
    τεισώμεθ᾽ αὐτόν. πρῶτα δ᾽ ἔκστησον φρενῶν,
    ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς φρονῶν μὲν εὖ
    οὐ μὴ θελήσῃ θῆλυν ἐνδῦναι στολήν,
    ἔξω δ᾽ ἐλαύνων τοῦ φρονεῖν ἐνδύσεται.
    χρῄζω δέ νιν γέλωτα Θηβαίοις ὀφλεῖν
    γυναικόμορφον ἀγόμενον δι᾽ ἄστεως
    ἐκ τῶν ἀπειλῶν τῶν πρίν, αἷσι δεινὸς ἦν.
    ἀλλ᾽ εἶμι κόσμον ὅνπερ εἰς Ἅιδου λαβὼν
    ἄπεισι μητρὸς ἐκ χεροῖν κατασφαγείς,
    Πενθεῖ προσάψων· γνώσεται δὲ τὸν Διὸς
    Διόνυσον, ὃς πέφυκεν ἐν τέλει θεός,
    δεινότατος, ἀνθρώποισι δ᾽ ἠπιώτατος.

835 γε Hermann : τε P 838 ἐς hic P 840 καδμίους P : corr. *p* 842 ᾽γγελᾶν Pierson Reiske : γελᾶν P 843 et 844 paragraphos, 845 ἀγγ. praescr. P : corr. Heath 843 ἐλθών γ᾽ Nauck ἂν] ἂν P 844 εὐτρεπὲς Canter : εὐπρεπὲς P 846 τοῖς σοῖσι πείθομαι P : corr. Musurus 847 post 848 trai. Musgrave : delet Middendorf : si recte positus, fortasse ἥξεις . . . δώσεις ἀνὴρ P 848 βάκχαις Lenting 851 λίσσαν P : corr. *p* 852 θελήσει P 854 ὄφλειν P 855 ἄστεος P 856 ante 855 trai. Wecklein 857 ἄδου P 860 ἐν τέλει θεός = τελείως θεός

Χο. — ἆρ' ἐν παννυχίοις χοροῖς [στρ.
θήσω ποτὲ λευκὸν
πόδ' ἀναβακχεύουσα, δέραν
εἰς αἰθέρα δροσερὸν ῥίπτουσ',
ὡς νεβρὸς χλοεραῖς ἐμπαί-
ζουσα λείμακος ἡδοναῖς,
ἡνίκ' ἂν φοβερὰν φύγῃ
θήραν ἔξω φυλακᾶς
εὐπλέκτων ὑπὲρ ἀρκύων,
θωΰσσων δὲ κυναγέτας
συντείνῃ δράμημα κυνῶν·
μόχθοις τ' ὠκυδρόμοις τ' ἀέλ-
λαις θρῴσκει πεδίον
παραποτάμιον, ἡδομένα
βροτῶν ἐρημίαις σκιαρο-
κόμοιό τ' ἔρνεσιν ὕλας.

— τί τὸ σοφόν; ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.

— ὁρμᾶται μόλις, ἀλλ' ὅμως [ἀντ.
πιστόν ⟨τι⟩ τὸ θεῖον
σθένος· ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν τιμῶν-
τας καὶ μὴ τὰ θεῶν αὔξον-

862 παννυχίοισι P: corr. Musurus 864 δέρην P 865 αἰθέρ' ἐς Musgrave 867 ἐμπέζουσα P: corr. *p* ἁδοναῖς Elmsley 868 sq. φοβερὰν . . . θήραν Nauck: φοβερὰν . . . θήραμ' P: φοβερὸν . . . θήραμ' Musurus 872 δρόμημα P 873 μόχθροις primitus P μόχθοις δ' ὠκυδρόμοις ἀελλὰς Hermann 874 παρὰ ποτάμιον P ἁδομένα Dindorf 875 σκιαροκόμοιό τ' ἔρνεσιν Nauck: σκιαροκόμου θ' ἔρνεσιν P: σκιαροκόμου τ' ἐν ἔρνεσιν Musurus 880 κρέσω P 883 τι add. Nauck: τό γε θεῖον Musurus 886 ἄζοντας Wecklein, cl. Soph. O. C. 134

τας σὺν μαινομένᾳ δόξᾳ.
κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα καὶ
θηρῶσιν τὸν ἄσεπτον. οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾶν.
κούφα γὰρ δαπάνα νομί-
ζειν ἰσχὺν τόδ' ἔχειν,
ὅ τι ποτ' ἄρα τὸ δαιμόνιον,
τό τ' ἐν χρόνῳ μακρῷ νόμιμον
ἀεὶ φύσει τε πεφυκός.

— τί τὸ σοφόν; ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.

— εὐδαίμων μὲν ὃς ἐκ θαλάσσας
ἔφυγε χεῖμα, λιμένα δ' ἔκιχεν·
εὐδαίμων δ' ὃς ὕπερθε μόχθων
ἐγένεθ'· ἑτέρᾳ δ' ἕτερος ἕτερον
ὄλβῳ καὶ δυνάμει παρῆλθεν.
μυρίαι δ' ἔτι μυρίοις
εἰσὶν ἐλπίδες· αἳ μὲν
τελευτῶσιν ἐν ὄλβῳ
βροτοῖς, αἳ δ' ἀπέβησαν·
τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
εὐδαίμων, μακαρίζω.

887 *συμμαινομένα* ex *σημαινομένα* factum in P   *δόξᾳ*] *δοκᾷ* Hermann : *δοκοῖ* Musgrave, cl. El. 747   890 *θηρῶσι* P   892 *καὶ καὶ* P   893 *γὰρ* P, sed *ἀρ* in ras.   894 *τόδ'* Heath : *τ'* P   902 *θαλάσσης* P   905 *ἑτέρα* (i.e. *ἑτέρᾳ*) P : *ἕτερα* Elmsley   907 *δ' ἔτι μυρίοις* Hartung : *μυρίοισιν ἔτ'* P   909 *αἳ δ' ἐμάτησαν* Stadtmueller

Δι. σὲ τὸν πρόθυμον ὄνθ' ἃ μὴ χρεὼν ὁρᾶν
σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
σκευὴν γυναικὸς μαινάδος βάκχης ἔχων,
μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
πρέπεις δὲ Κάδμου θυγατέρων μορφὴν μιᾷ.
Πε. καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας καὶ πόλισμ' ἑπτάστομον·
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς
καὶ σῷ κέρατα κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.
Δι. ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενής,
ἔνσπονδος ἡμῖν· νῦν δ' ὁρᾷς ἃ χρή σ' ὁρᾶν.
Πε. τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν
ἢ τὴν Ἀγαύης ἑστάναι, μητρός γ' ἐμῆς;
Δι. αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ σ' ὁρῶν.
ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε,
οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.
Πε. ἔνδον προσείων αὐτὸν ἀνασείων τ' ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.
Δι. ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ' ὄρθου κάρα.
Πε. ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.
Δι. ζῶναί τέ σοι χαλῶσι κοὐχ ἑξῆς πέπλων
στολίδες ὑπὸ σφυροῖσι τείνουσιν σέθεν.
Πε. κἀμοὶ δοκοῦσι παρά γε δεξιὸν πόδα·
τἀνθένδε δ' ὀρθῶς παρὰ τένοντ' ἔχει πέπλος.
Δι. ἦ πού με τῶν σῶν πρῶτον ἡγήσῃ φίλων,

913 *σπεύδοντά* Musurus : *σπένδοντά* P 917 *μορφὴν* Musgrave : *μορφῇ* P : *μορφῇ δὲ . . . πρέπεις μιᾷ* Brunck 920 *ἡγεῖσθαι* supra suppletum in P 923 notam Dionysi omisit, 924 praescr. P : corr. Tyrwhitt 923 *ὢν p* : *ὃν* P 926 *μητρός γ' p* : *μητρὸς* P 929 *καθήρμοσα p* : *καθώρμισα* P, fortasse recte, cf. 931 930, 931 in marg. postmodo additos habet P 932 *μέλει p* : *μέλη* P 936 *ὑπὸ*] *ἐπὶ* Blass

ὅταν παρὰ λόγον σώφρονας βάκχας ἴδῃς.
Πε. *πότερα δὲ θύρσον δεξιᾷ λαβὼν χερὶ*
ἢ τῇδε, βάκχῃ μᾶλλον εἰκασθήσομαι;
Δι. *ἐν δεξιᾷ χρὴ χἅμα δεξιῷ ποδὶ*
αἴρειν νιν· αἰνῶ δ' ὅτι μεθέστηκας φρενῶν.
Πε. *ἆρ' ἂν δυναίμην τὰς Κιθαιρῶνος πτυχὰς*
αὐταῖσι βάκχαις τοῖς ἐμοῖς ὤμοις φέρειν;
Δι. *δύναι' ἄν, εἰ βούλοιο· τὰς δὲ πρὶν φρένας*
οὐκ εἶχες ὑγιεῖς, νῦν δ' ἔχεις οἵας σε δεῖ.
Πε. *μοχλοὺς φέρωμεν; ἢ χεροῖν ἀνασπάσω*
κορυφαῖς ὑποβαλὼν ὦμον ἢ βραχίονα;
Δι. *μὴ σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα*
καὶ Πανὸς ἕδρας ἔνθ' ἔχει συρίγματα.
Πε. *καλῶς ἔλεξας· οὐ σθένει νικητέον*
γυναῖκας· ἐλάταισιν δ' ἐμὸν κρύψω δέμας.
Δι. *κρύψῃ σὺ κρύψιν ἥν σε κρυφθῆναι χρεών,*
ἐλθόντα δόλιον μαινάδων κατάσκοπον.
Πε. *καὶ μὴν δοκῶ σφᾶς ἐν λόχμαις ὄρνιθας ὣς*
λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.
Δι. *οὐκοῦν ἐπ' αὐτὸ τοῦτ' ἀποστέλλῃ φύλαξ·*
λήψῃ δ' ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.
Πε. *κόμιζε διὰ μέσης με Θηβαίας χθονός·*
μόνος γὰρ αὐτῶν εἰμ' ἀνὴρ τολμῶν τόδε.
Δι. *μόνος σὺ πόλεως τῆσδ' ὑπερκάμνεις, μόνος·*
τοιγάρ σ' ἀγῶνες ἀναμένουσιν οὓς ἐχρῆν.
ἕπου δέ· πομπὸς [δ'] εἶμ' ἐγὼ σωτήριος,

940 *παραλόγον* P : *παράλογον* Porson 941 *δεξιᾷ p* : *δεξιὸν* ut vid. P 944 *αἴρειν* Musurus : *αἴρει* P 946 *αὐτῇσιν ἐλάταις*, quod e Bacchis citat Σ Phoen. 3, hic eum legisse censebat Valckenaer 951 *τὰ* Stephanus : *τᾶν* P 952 *Πανὸς* Brodeau : *καπνὸς* P 953 *καλῶν* primitus P 954 *ἐλάταισι δ'* P : fortasse *ἐλάταις δ' ἁμὸν ἐγκρύψω* 955 *κρυφῆναι* P : corr. Musurus 961 *χθονός*] *πόλεως* Nauck 962 *γὰρ εἶμ' αὐτῶν* P : corr. Elmsley 964 *οὕς σε χρή* Fix 965 *δ'* seclusi *εἰμ'* Musurus *σωτήριος* omissum et postmodo additum in P

κεῖθεν δ' ἀπάξει σ' ἄλλος. Πε. ἡ τεκοῦσά γε.
Δι. ἐπίσημον ὄντα πᾶσιν. Πε. ἐπὶ τόδ' ἔρχομαι.
Δι. φερόμενος ἥξεις . . . Πε. ἁβρότητ' ἐμὴν λέγεις.
Δι. ἐν χερσὶ μητρός. Πε. καὶ τρυφᾶν μ' ἀναγκάσεις.
Δι. τρυφάς γε τοιάσδε. Πε. ἀξίων μὲν ἅπτομαι.

Δι. δεινὸς σὺ δεινὸς κἀπὶ δείν' ἔρχῃ πάθη,
ὥστ' οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
ἔκτειν', Ἀγαύη, χεῖρας αἵ θ' ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
τόνδ' εἰς ἀγῶνα μέγαν, ὁ νικήσων δ' ἐγὼ
καὶ Βρόμιος ἔσται. τἄλλα δ' αὐτὸ σημανεῖ.

Χο. — ἴτε θοαὶ Λύσσας κύνες ἴτ' εἰς ὄρος, [στρ.
θίασον ἔνθ' ἔχουσι Κάδμου κόραι,
ἀνοιστρήσατέ νιν
ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ
λυσσώδη κατάσκοπον μαινάδων.
μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας
ἢ σκόλοπος ὄψεται
δοκεύοντα, μαινάσιν δ' ἀπύσει·
Τίς ὅδ' ὀρειδρόμων
μαστὴρ Καδμείων ἐς ὄρος ἐς ὄρος ἔμολ'
ἔμολεν, ὦ βάκχαι; τίς ἄρα νιν ἔτεκεν;
οὐ γὰρ ἐξ αἵματος
γυναικῶν ἔφυ, λεαίνας δέ τινος
ὅδ' ἢ Γοργόνων Λιβυσσᾶν γένος.

— ἴτω δίκα φανερός, ἴτω ξιφηφόρος

970 τοιάσδε P 977 λύσσης P 981 μαινάδων κατάσκοπον λυσσώδη P: trai. Bothe 982 νιν πρώτα Headlam 985 sq. Καδμείων μαστὴρ ὀριοδρόμων P: corr. Nauck 986 εἰς ut solet P (bis) ἔμολεν ἔμολεν ὦ P: corr. Elmsley: cf. 1007 989 sq. ὅδ' ante ἔφυ habet P: ante ἢ trai. Hermann

φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος
γόνον γηγενῆ.

— ὃς ἀδίκῳ γνώμᾳ παρανόμῳ τ' ὀργᾷ [ἀντ.
περὶ ⟨σὰ⟩ Βάκχι', ὄργιά ματρός τε σᾶς
μανείσᾳ πραπίδι
παρακόπῳ τε λήματι στέλλεται,
τἀνίκατον ὡς κρατήσων βίᾳ,
γνωμᾶν σωφρόνα θάνατος ἀπροφάσι-
στος ἐς τὰ θεῶν ἔφυ·
βροτείως τ' ἔχειν ἄλυπος βίος.
τὸ σοφὸν οὐ φθονῶ·
χαίρω θηρεύουσα· τὰ δ' ἕτερα μεγάλα
φανερά τ'· ὤ, νάει⟨ν⟩ ἐπὶ τὰ καλὰ βίον,
ἦμαρ ἐς νύκτα τ' εὐ-
αγοῦντ' εὐσεβεῖν, τὰ δ' ἔξω νόμιμα
δίκας ἐκβαλόντα τιμᾶν θεούς.

— ἴτω δίκα φανερός, ἴτω ξιφηφόρος
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον ἄνομον ἄδικον Ἐχίονος
τόκον γηγενῆ.

— φάνηθι ταῦρος ἢ πολύκρανος ἰδεῖν [ἐπῳδ.
δράκων ἢ πυριφλέγων ὁρᾶσθαι λέων.

993 λαιμῶν Tyrwhitt: δαίμων P 996 γόνον: cf. 1016: idem utrobique legendum monuit Elmsley 998 σά suppl. Scaliger ὄργια] ἱρὰ Mekler: metro satisfaceret περὶ σά, Βάκχε, σᾶς τ' ὄργια ματέρος 999 μανεῖσα P 1001 τἀνίκατον Wilamowitz: τὰν ἀνίκατον P: cf. 981 1002 γνώμαν σώφρονα P 1002-1004 locus paene conclamatus: fortasse hoc dicit: 'qui iniuste &c. (v. 997), ei sententiarum castigatrix in rebus divinis indeprecabilis Mors est': de substantivo σωφρόνη vid. Stephanum s. v. 1003 εἰς P: fortasse περὶ: cf. stropham 1004 βροτείως] βροτείῳ P 1005 φθόνω P 1007 φανερά τ'· ὤ, νάειν ('ah, vitam fluere vel εὔροιαν habere precor,' cf. H 179) scripsi: φανερὰ τῶν ἀεὶ P: φανέρ' ἄγοντ' ἀεὶ Fix: tum ποτὶ pro ἐπὶ Sandys 1008 εὖ ἄγουντ' P: corr. Hermann 1014 δαίμων P, cf. 993 1019 fortasse δράκων πυριφλέγων θ'

ἴθ', ὦ Βάκχε, θηραγρευτᾷ βακχᾶν
γελῶντι προσώπῳ περίβαλε βρόχον
θανάσιμον ὑπ' ἀγέλαν πεσόν-
τι τὰν μαινάδων.

ΑΓΓΕΛΟΣ Β

ὦ δῶμ' ὃ πρίν ποτ' εὐτύχεις ἀν' Ἑλλάδα,
Σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
δράκοντος ἔσπειρ' Ὄφεος ἐν γαίᾳ θέρος,
ὥς σε στενάζω, δοῦλος ὢν μέν, ἀλλ' ὅμως
[χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν].
Χο. τί δ' ἔστιν; ἐκ βακχῶν τι μηνύεις νέον;
Αγ. Πενθεὺς ὄλωλεν, παῖς Ἐχίονος πατρός.
Χο. ὦναξ Βρόμιε, θεὸς φαίνῃ μέγας.
Αγ. πῶς φῄς; τί τοῦτ' ἔλεξας; ἦ 'πὶ τοῖς ἐμοῖς
χαίρεις κακῶς πράσσουσι δεσπόταις, γύναι;
Χο. εὐάζω ξένα μέλεσι βαρβάροις·
οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.
Αγ. Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις . . .
. . . . ;
Χο. ὁ Διόνυσος ὁ Διόνυσος, οὐ Θῆβαι
κράτος ἔχουσ' ἐμόν.
Αγ. συγγνωστὰ μέν σοι, πλὴν ἐπ' ἐξειργασμένοις
κακοῖσι χαίρειν, ὦ γυναῖκες, οὐ καλόν.

1020 *θηραγρευτᾷ* Dindorf : *θηραγρότα* P, sed *ο* in ras. (fuerat, ut videtur, *ω*) : *θὴρ θηραγρέτᾳ* Tyrrell 1021 metro melius conveniret *προσώπῳ γελῶντι* 1022 sq. *θανάσιμον ὑπ'* Bruhn : *ἐπὶ θανάσιμον* P *πεσόντι* Scaliger : *πεσόντα* P 1024 ΑΓΓΕΛΟΣ] ΘΕΡΑΠΩΝ malit Wecklein *εὐτυχεῖς* P *ἀν'* ex *ἐν* factum in P 1025 *ὃς p* : *ὡς* P 1026 *ὄφεος* P cum Greg. Cor. 402, Choerob. Cann. i. 194, Theodos. in Bekk. Anecd. 981. 13 : nomen proprium esse vidit Wilamowitz 1028 del. Dobree : cf. Med. 54 *τὰ* Medeae codd. : *τῶν* P 1029 *τί δ'* ex *τό δ'* factum in P *τί μηνύεις* P 1031 claudicat metrum : *σὺ φαίνῃ* Kirchhoff, cl. Chr. Pat. 2100, 2542 (*Ἄναξ ἄναξ ἄφθιτε, σὺ θεὸς μέγας*) : *θεὸς θεὸς* Hermann : sed suspectum *φαίνῃ* 1032 *ἦ* P 1036 hiatum indicaverunt Brunck Seidler 1037 fortasse *ὁ Διόνυσος ὁ διόγονος* 1039 notam om. 1040 *αγγ.* praescr. P : corr. Musurus

Χο. ἔννεπέ μοι, φράσον, τίνι μόρῳ θνῄσκει
ἄδικος ἄδικά τ' ἐκπορίζων ἀνήρ;

Αγ. ἐπεὶ θεράπνας τῆσδε Θηβαίας χθονὸς
λιπόντες ἐξέβημεν Ἀσωποῦ ῥοάς,
λέπας Κιθαιρώνειον εἰσεβάλλομεν
Πενθεύς τε κἀγώ—δεσπότῃ γὰρ εἱπόμην—
ξένος θ' ὃς ἡμῖν πομπὸς ἦν θεωρίας.
πρῶτον μὲν οὖν ποιηρὸν ἵζομεν νάπος,
τά τ' ἐκ ποδῶν σιγηλὰ καὶ γλώσσης ἄπο
σῴζοντες, ὡς ὁρῷμεν οὐχ ὁρώμενοι.
ἦν δ' ἄγκος ἀμφίκρημνον, ὕδασι διάβροχον,
πεύκαισι συσκιάζον, ἔνθα μαινάδες
καθῆντ' ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις.
αἱ μὲν γὰρ αὐτῶν θύρσον ἐκλελοιπότα
κισσῷ κομήτην αὖθις ἐξανέστεφον,
αἱ δ', ἐκλιποῦσαι ποικίλ' ὡς πῶλοι ζυγά,
βακχεῖον ἀντέκλαζον ἀλλήλαις μέλος.
Πενθεὺς δ' ὁ τλήμων θῆλυν οὐχ ὁρῶν ὄχλον
ἔλεξε τοιάδ'· Ὦ ξέν', οὗ μὲν ἕσταμεν,
οὐκ ἐξικνοῦμαι μαινάδων ὄσσοις νόθων·
ὄχθων δ' ἔπ', ἀμβὰς ἐς ἐλάτην ὑψαύχενα,
ἴδοιμ' ἂν ὀρθῶς μαινάδων αἰσχρουργίαν.
τοὐντεῦθεν ἤδη τοῦ ξένου ⟨τὸ⟩ θαῦμ' ὁρῶ·
λαβὼν γὰρ ἐλάτης οὐράνιον ἄκρον κλάδον
κατῆγεν, ἦγεν, ἦγεν ἐς μέλαν πέδον·
κυκλοῦτο δ' ὥστε τόξον ἢ κυρτὸς τροχὸς

1041 *τίνι* Chr. Pat. 653 : *τίνει* P 1044 *ῥοᾶς* P : corr. Musurus 1048 *ποιηρὸν* Musurus : *πικρὸν* P : *χλοηρὸν* Chr. Pat. 676 1050 *ὁρῶμεν* P 1051 *ἀμφίκρημνον* P : *ὑψίκρημνον* Schol. B. Hephaest. p. 183 Gaisf. (*ἦν δ' ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον*) et idem voluit Anecd. Metr. Chis. p. 26 (*ὑψίκομον* scriptum) 1053 *κάθηντ'* P 1055 *αὖτις* P 1060 *ὄσσοις* Canter : *ὅσοι* P *νόθων* cf. 224 : *ὅποι μόθων* Musgrave 1061 *ὄχθων δ' ἐπ' ἐμβὰς εἰς ἐλάτην* P : corr. Bruhn : *ὄχθον δ' ἐπεμβὰς ἢ 'λάτην* Tyrwhitt 1062 *αἰγχουργίαν* primitus P 1063 *τὸ* supplevi: cf. 760, I. T. 320 : *τι* add. *p* : *θαῦμ' εἰσορῶ* Dalmeyda 1064 *οὐρανίον* an *οὐρανίου* P incertum 1066 *κυκλοῦτο* Musurus : *κυκλοῦται* P

τόρνῳ γραφόμενος περιφορὰν ἕλκει δρόμον·
ὣς κλῶν᾽ ὄρειον ὁ ξένος χεροῖν ἄγων
ἔκαμπτεν ἐς γῆν, ἔργματ᾽ οὐχὶ θνητὰ δρῶν.
Πενθέα δ᾽ ἱδρύσας ἐλατίνων ὄζων ἔπι,
ὀρθὸν μεθίει διὰ χερῶν βλάστημ᾽ ἄνω
ἀτρέμα, φυλάσσων μὴ ἀναχαιτίσειέ νιν,
ὀρθὴ δ᾽ ἐς ὀρθὸν αἰθέρ᾽ ἐστηρίζετο,
ἔχουσα νώτοις δεσπότην ἐφήμενον·
ὤφθη δὲ μᾶλλον ἢ κατεῖδε μαινάδας.
ὅσον γὰρ οὔπω δῆλος ἦν θάσσων ἄνω,
καὶ τὸν ξένον μὲν οὐκέτ᾽ εἰσορᾶν παρῆν,
ἐκ δ᾽ αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι
Διόνυσος, ἀνεβόησεν· Ὦ νεάνιδες,
ἄγω τὸν ὑμᾶς κἀμὲ τἀμά τ᾽ ὄργια
γέλων τιθέμενον· ἀλλὰ τιμωρεῖσθέ νιν.
καὶ ταῦθ᾽ ἅμ᾽ ἠγόρευε καὶ πρὸς οὐρανὸν
καὶ γαῖαν ἐστήριξε φῶς σεμνοῦ πυρός.
   σίγησε δ᾽ αἰθήρ, σῖγα δ᾽ ὕλιμος νάπη
φύλλ᾽ εἶχε, θηρῶν δ᾽ οὐκ ἂν ἤκουσας βοήν.
αἱ δ᾽ ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι
ἔστησαν ὀρθαὶ καὶ διήνεγκαν κόρας.
ὁ δ᾽ αὖθις ἐπεκέλευσεν· ὡς δ᾽ ἐγνώρισαν
σαφῆ κελευσμὸν Βακχίου Κάδμου κόραι,
ᾖξαν πελείας ὠκύτητ᾽ οὐχ ἥσσονες
ποδῶν τρέχουσαι συντόνοις δραμήμασι,
μήτηρ Ἀγαύη σύγγονοί θ᾽ ὁμόσποροι
πᾶσαί τε βάκχαι· διὰ δὲ χειμάρρου νάπης
ἀγμῶν τ᾽ ἐπήδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.
ὡς δ᾽ εἶδον ἐλάτῃ δεσπότην ἐφήμενον,

1067 περιφορᾶν P   ἕλκει (mut. in ἕλκη) δρόμον P : ἑλικόδρομον Reiske : ἑλκεδρόμον Scaliger   1078 φωνήν Reiske   1083 ἐστήριξε Chr. Pat. 2259 : ἐστήριζε P   1084 ὕλιμος Chr. Pat. 2260 : εὔλειμος P   1090 sq. ἥσσονα ποδῶν ἔχουσαι Heath   1091 τρέχουσαι Hartung ex Chr. Pat. 2015 ποδῶν δράμωσι συντόνοις ὁρμήμασιν (v. l. δρομήμασιν) : ἔχουσαι P   δρομήμασι P

πρῶτον μὲν αὐτοῦ χερμάδας κραταιβόλους
ἔρριπτον, ἀντίπυργον ἐπιβᾶσαι πέτραν,
ὄζοισί τ' ἐλατίνοισιν ἠκοντίζετο.
ἄλλαι δὲ θύρσους ἵεσαν δι' αἰθέρος
Πενθέως, στόχον δύστηνον· ἀλλ' οὐκ ἤνυτον.
κρεῖσσον γὰρ ὕψος τῆς προθυμίας ἔχων
καθῆσθ' ὁ τλήμων, ἀπορίᾳ λελημμένος.
τέλος δὲ δρυΐνους συγκεραυνοῦσαι κλάδους
ῥίζας ἀνεσπάρασσον ἀσιδήροις μοχλοῖς.
ἐπεὶ δὲ μόχθων τέρματ' οὐκ ἐξήνυτον,
ἔλεξ' Ἀγαύη· Φέρε, περιστᾶσαι κύκλῳ
πτόρθου λάβεσθε, μαινάδες, τὸν ἀμβάτην
θῆρ' ὡς ἕλωμεν, μηδ' ἀπαγγείλῃ θεοῦ
χοροὺς κρυφαίους. αἳ δὲ μυρίαν χέρα
προσέθεσαν ἐλάτῃ κἀξανέσπασαν χθονός·
ὑψοῦ δὲ θάσσων ὑψόθεν χαμαιριφὴς
πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασιν
Πενθεύς· κακοῦ γὰρ ἐγγὺς ὢν ἐμάνθανεν.
  πρώτη δὲ μήτηρ ἦρξεν ἱερέα φόνου
καὶ προσπίτνει νιν· ὃ δὲ μίτραν κόμης ἄπο
ἔρριψεν, ὥς νιν γνωρίσασα μὴ κτάνοι
τλήμων Ἀγαύη, καὶ λέγει, παρηίδος
ψαύων· Ἐγώ τοι, μῆτερ, εἰμί, παῖς σέθεν
Πενθεύς, ὃν ἔτεκες ἐν δόμοις Ἐχίονος·
οἴκτιρε δ' ὦ μῆτέρ με, μηδὲ ταῖς ἐμαῖς
ἁμαρτίαισι παῖδα σὸν κατακτάνῃς.
  ἣ δ' ἀφρὸν ἐξιεῖσα καὶ διαστρόφους
κόρας ἑλίσσουσ', οὐ φρονοῦσ' ἃ χρὴ φρονεῖν,

1096 *κραταιβόλους* Chr. Pat. 667: *κραταβόλους* P 1098 *τ'* Hermann: δ' P 1099 *ἄλλαι* Brodeau: *ἄλλοι* P 1100 *στόχον* Reiske: *τ' ὄχον* P 1102 *καθῆστο τλῆμον* P: corr. Brunck Musurus *λελημμένος* Musgrave: *λελησμένος* P 1103 *δρυΐνοις συντριαινοῦσαι κλάδοις* Hartung: lectio dubia 1104 *ἀνεσπάρασον* P 1111 *χαμαιριφὴς* vel *χαμαὶ ῥιφεὶς* Chr. Pat. 1430: *χαμαιπετὴς* P 1114 *ἱερέα* cf. Or. 261: *ἱερεία* P 1115 *προσπιτνεῖ* P 1116 *κτάνῃ* P

ἐκ Βακχίου κατεῖχετ', οὐδ' ἔπειθέ νιν.
λαβοῦσα δ' ὠλένης ἀριστερὰν χέρα,
πλευραῖσιν ἀντιβᾶσα τοῦ δυσδαίμονος
ἀπεσπάραξεν ὦμον, οὐχ ὑπὸ σθένους,
ἀλλ' ὁ θεὸς εὐμάρειαν ἐπεδίδου χεροῖν·
Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο,
ῥηγνῦσα σάρκας, Αὐτονόη τ' ὄχλος τε πᾶς
ἐπεῖχε βακχῶν· ἦν δὲ πᾶσ' ὁμοῦ βοή,
ὁ μὲν στενάζων ὅσον ἐτύγχαν' ἐμπνέων,
αἱ δ' ἠλάλαζον. ἔφερε δ' ἣ μὲν ὠλένην,
ἣ δ' ἴχνος αὐταῖς ἀρβύλαις· γυμνοῦντο δὲ
πλευραὶ σπαραγμοῖς· πᾶσα δ' ᾑματωμένη
χεῖρας διεσφαίριζε σάρκα Πενθέως.
  κεῖται δὲ χωρὶς σῶμα, τὸ μὲν ὑπὸ στύφλοις
πέτραις, τὸ δ' ὕλης ἐν βαθυξύλῳ φόβῃ,
οὐ ῥᾴδιον ζήτημα· κρᾶτα δ' ἄθλιον,
ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν,
πήξασ' ἐπ' ἄκρον θύρσον ὡς ὀρεστέρου
φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
λιποῦσ' ἀδελφὰς ἐν χοροῖσι μαινάδων.
χωρεῖ δὲ θήρᾳ δυσπότμῳ γαυρουμένη
τειχέων ἔσω τῶνδ', ἀνακαλοῦσα Βάκχιον
τὸν ξυγκύναγον, τὸν ξυνεργάτην ἄγρας,
τὸν καλλίνικον, ᾧ δάκρυα νικηφορεῖ.
  ἐγὼ μὲν οὖν ⟨τῇδ'⟩ ἐκποδὼν τῇ ξυμφορᾷ
ἄπειμ', Ἀγαύην πρὶν μολεῖν πρὸς δώματα.
τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν

1124 βακχείου P 1125 ὠλένης Kirchhoff: ὠλέναις P fortasse λαβοῦσα χεῖρα δ' ὠλένης ἀριστερὰν vel ἀλλ' ὠλένης λαβοῦσα χεῖρ' ἀριστερὰν 1132 στενάζων Musurus: στυγνάζων P ἐτύγχανε πλέων P (πνέων p): corr. Reiske 1133 ἔφερε Duport: ἀνέφερε P ὠλένην Musurus: ἐλένην P 1136 διεσφέριζε P 1137 στυφλοῖς (sic) Barnes: τυφλοῖς P 1138 φόβη p: φόβους ut vid. P 1141 πήξασ' Stephanus: πτήξασ' P 1147 ᾧ Reiske: ᾗ P: nihil ad rem Chr. Pat. 1300: ἧ Heath 1148 τῇδ' suppl. Reiske

κάλλιστον· οἶμαι δ' αὐτὸ καὶ σοφώτατον
θνητοῖσιν εἶναι κτῆμα τοῖσι χρωμένοις.

Χο. — ἀναχορεύσωμεν Βάκχιον,
ἀναβοάσωμεν ξυμφορὰν
τὰν τοῦ δράκοντος Πενθέος ἐκγενέτα·
ὃς τὰν θηλυγενῆ στολὰν
νάρθηκά τε, πιστὸν Ἅιδαν,
ἔλαβεν εὔθυρσον,
ταῦρον προηγητῆρα συμφορᾶς ἔχων.
βάκχαι Καδμεῖαι,
τὸν καλλίνικον κλεινὸν ἐξεπράξατε
ἐς στόνον, ἐς δάκρυα.
καλὸς ἀγών, χέρ' αἵματι στάζουσαν
περιβαλεῖν τέκνου.

— ἀλλ', εἰσορῶ γὰρ ἐς δόμους ὁρμωμένην
Πενθέως Ἀγαύην μητέρ' ἐν διαστρόφοις
ὄσσοις, δέχεσθε κῶμον εὐίου θεοῦ.

ΑΓΑΥΗ [στρ.
Ἀσιάδες βάκχαι— Χο. τί μ' ὀροθύνεις, ὤ;
Αγ. φέρομεν ἐξ ὀρέων
ἕλικα νεότομον ἐπὶ μέλαθρα,
μακάριον θήραν.
Χο. ὁρῶ καί σε δέξομαι σύγκωμον.

1151 δ' Chr. Pat. 1146 et Orion Anth. iv. p. 55: γ' P 1152 κτῆμα Orion: χρῆμα P et Chr. Pat. 1153 Βάκχιον Hermann: βακχείων P 1155 Πενθέος ἐκγενέτα Wilamowitz: ἐκγενέτα πενθέως P 1157 πιστὸν Ἅιδαν varie tentatus: ἐπιστολάδαν Headlam: ὁπλισμὸν Ἅιδα Wilamowitz 1161 ἐξεπράξατε Scaliger (et Chr. Pat. 1051): ἐξεπράξατο P ἐς στόνον scripsi, cf. Chr. Pat. 1051 εἰς θρῆνον: εἰς γόνον P: ἐς γόον Canter 1163 χέρ' αἵματι στάζουσαν Wilamowitz: ἐν αἵματι στάζουσαν χέρα P (et ἐν αἵμασι Chr. Pat. 1051) 1164 τέκνῳ Kirchhoff 1165 εἰς P: πρὸς Wecklein δόμους Stephanus: δρόμους P 1167 ὅσσοις P 1168 sqq. ΑΓΑΥΗ Musurus: γυνὴ P sed inde a 1251 Agavae nota etiam in P 1168 μ' ὀροθύνεις, ὤ Hermann: με ὀρθεῖς ὤ P: με θροεῖς τάδ', ὤ vel με θροεῖς, ἰώ Fix 1169 ὀρέων P: ὄρεος Plut. Crass. 33, Polyaen. vii. 41 1171 μακάριον θήραν Polyaenus: μακαρίαν θήραν Plut. l. c.: μακάριον θήραμα P et Plut. Mor. 501 C

Αγ. ἔμαρψα τόνδ' ἄνευ βρόχων
⟨λέοντος ἀγροτέρου⟩ νέον ἶνιν·
ὡς ὁρᾶν πάρα.
Χο. πόθεν ἐρημίας;
Αγ. Κιθαιρὼν . . . Χο. Κιθαιρών;
Αγ. κατεφόνευσέ νιν.
Χο. τίς ἁ βαλοῦσα; Αγ. πρῶτον ἐμὸν τὸ γέρας.
μάκαιρ' Ἀγαύη κληζόμεθ' ἐν θιάσοις.
Χο. τίς ἄλλα; Αγ. τὰ Κάδμου . . .
Χο. τί Κάδμου; Αγ. γένεθλα
μετ' ἐμὲ μετ' ἐμὲ τοῦδ'
ἔθιγε θηρός· εὐτυχὴς γ' ἅδ' ἄγρα.
Χο. . . . . . .
. . . . . .

Αγ. μέτεχέ νυν θοίνας. Χο. τί; μετέχω, τλᾶμον; [ἀντ.
Αγ. νέος ὁ μόσχος ἄρ-
τι γένυν ὑπὸ κόρυθ' ἁπαλότριχα
κατάκομον θάλλει.
Χο. πρέπει γ' ὥστε θὴρ ἄγραυλος φόβῃ.
Αγ. ὁ Βάκχιος κυναγέτας
σοφὸς σοφῶς ἀνέπηλ' ἐπὶ θῆρα
τόνδε μαινάδας.

1174 *νέον νιν* P: lacunam indicavit Canter: suppl. ex. gr. post Macnaghten Wecklein: *νέον λίν* Stephanus 1177 *τί Κιθαιρων* P: *τί* delevi: cf. 1193; item 1181 sq., 1197 sq. 1178 fortasse *καταφονεύει* 1179 Αγ. *πρῶτον* Hartung: *πρῶτα*; Γυν. P (vid. ad 1168), *πρώτα*; Αγ. Hermann, cf. 1195 sqq. *ἐμὸν* Plut. Crass. 33: *ἐμὸν ἐμὸν* P 1180 Χο. *μάκαιρ' ἀγαύη.* Γυν. *κληζόμεθ'* P (vid. ad 1168): corr. Seidler Hermann: cf. 1196 1181 verba *τίς ἄλλα τὰ κάδμου γένεθλα γένεθλα* Agavae continuat P: corr. Heath 1183 Χο. *εὐτυχεῖς τάδ' ἄγρα* (*τᾷδ' ἄγρᾳ* Musurus): corr. Nauck post 1183 duos excidisse trimetros censet Wilamowitz 1184 *μέτεχε νῦν* P *τί μετέχω τλάμων*; P: corr. Hartung Wilamowitz 1187 *θάλλει* Musgrave: *βάλλει* P 1188 Agavae (sc. Γυναικί) continuat P: corr. Tyrwhitt *πρέπει γὰρ ὥστε θηρὸς ἀγραύλου φόβῳ* P: corr. Kirchhoff (*φόβη* iam Brodeau) 1189 *Βακχεῖος* P: corr. Musurus 1190 sq. *σοφῶς* Brunck: *σοφὸς* P *ἀνέπηλεν* P *θῆρα τόνδε* Brodeau: *θήρα τόνδε* P: *θήρᾳ τοῦδε* Hermann

Χο. ὁ γὰρ ἄναξ ἀγρεύς.
Αγ. ἐπαινεῖς; Χο. ἐπαινῶ.
Αγ. τάχα δὲ Καδμεῖοι . . .
Χο. καὶ παῖς γε Πενθεὺς . . . Αγ. ματέρ' ἐπαινέσεται,
λαβοῦσαν ἄγραν τάνδε λεοντοφυῆ.
Χο. περισσάν. Αγ. περισσῶς.
Χο. ἀγάλλῃ; Αγ. γέγηθα,
μεγάλα μεγάλα καὶ
φανερὰ τᾷδ' ἄγρᾳ κατειργασμένα.

Χο. δεῖξόν νυν, ὦ τάλαινα, σὴν νικηφόρον
ἀστοῖσιν ἄγραν ἣν φέρουσ' ἐλήλυθας.
Αγ. ὦ καλλίπυργον ἄστυ Θηβαίας χθονὸς
ναίοντες, ἔλθεθ' ὡς ἴδητε τήνδ' ἄγραν,
Κάδμου θυγατέρες θηρὸς ἣν ἠγρεύσαμεν,
οὐκ ἀγκυλητοῖς Θεσσαλῶν στοχάσμασιν,
οὐ δικτύοισιν, ἀλλὰ λευκοπήχεσι
χειρῶν ἀκμαῖσιν. κᾆτα κομπάζειν χρεὼν
καὶ λογχοποιῶν ὄργανα κτᾶσθαι μάτην;
ἡμεῖς δέ γ' αὐτῇ χειρὶ τόνδε θ' εἵλομεν,
χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; αἱρέσθω λαβὼν
πηκτῶν πρὸς οἴκους κλιμάκων προσαμβάσεις,
ὡς πασσαλεύσῃ κρᾶτα τριγλύφοις τόδε

1193 τί δ' ἐπαινῶ; Musurus: cf. 1177 1194 δὲ Καδμεῖοι Musurus: δὲ καὶ καδμεῖοι P 1195 sqq. Χο. καὶ παῖς . . . Γυ. ἀγάλλῃ. Χο. γέγηθα . . . κατειργασμένα P: personas secundum strophae rationem disposuerunt Hermann alii 1195 ματέρα ἐπαινεύσεται P 1196 λεοντοφυᾶ Dindorf 1197 περισσὰν Brodeau: περισσὰς P 1199 τᾷδ' ἄγρᾳ Nauck: τάδ' ἔργα P: τᾷδε γᾷ Ludv. Dindorf 1200 νῦν P 1203 ὡς ἴδετε P: corr. Musurus 1205 ἀγκυλητοῖς Nauck: ἀγκυλώτοις P et Schol. Hec. 1156 (qui etiam στοχίσμασιν praebet) 1209 γ' αὐτῇ Kirchhoff: ταύτῃ P τόνδε Musurus: τόδε P 1210 χωρὶς σιδήρου τ' Pierson 1212 αἱρέσθω P: ἀράσθω Scaliger 1213 πηκτῶν Barnes: cf. Chr. Pat. 1263 πηκτὰς κλίμακος πρὸς ἐμβάσεις: πλεκτῶν P

λέοντος ὃν πάρειμι θηράσασ᾽ ἐγώ.

Κα. ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος,
οὗ σῶμα μοχθῶν μυρίοις ζητήμασιν
φέρω τόδ᾽, εὑρὼν ἐν Κιθαιρῶνος πτυχαῖς
διασπαρακτόν, κοὐδὲν ἐν ταὐτῷ πέδῳ
λαβών, ἐν ὕλῃ κείμενον δυσευρέτῳ.
ἤκουσα γάρ του θυγατέρων τολμήματα,
ἤδη κατ᾽ ἄστυ τειχέων ἔσω βεβὼς
σὺν τῷ γέροντι Τειρεσίᾳ Βακχῶν πάρα·
πάλιν δὲ κάμψας εἰς ὄρος κομίζομαι
τὸν κατθανόντα παῖδα Μαινάδων ὕπο.
καὶ τὴν μὲν Ἀκτέων᾽ Ἀρισταίῳ ποτὲ
τεκοῦσαν εἶδον Αὐτονόην Ἰνώ θ᾽ ἅμα
ἔτ᾽ ἀμφὶ δρυμοὺς οἰστροπλῆγας ἀθλίας,
τὴν δ᾽ εἶπέ τίς μοι δεῦρο βακχείῳ ποδὶ
στείχειν Ἀγαύην, οὐδ᾽ ἄκραντ᾽ ἠκούσαμεν·
λεύσσω γὰρ αὐτήν, ὄψιν οὐκ εὐδαίμονα.

Αγ. πάτερ, μέγιστον κομπάσαι πάρεστί σοι,
πάντων ἀρίστας θυγατέρας σπεῖραι μακρῷ
θνητῶν· ἁπάσας εἶπον, ἐξόχως δ᾽ ἐμέ,
ἣ τὰς παρ᾽ ἱστοῖς ἐκλιποῦσα κερκίδας
ἐς μείζον᾽ ἥκω, θῆρας ἀγρεύειν χεροῖν.
φέρω δ᾽ ἐν ὠλέναισιν, ὡς ὁρᾷς, τάδε
λαβοῦσα τἀριστεῖα, σοῖσι πρὸς δόμοις
ὡς ἀγκρεμασθῇ· σὺ δέ, πάτερ, δέξαι χεροῖν·
γαυρούμενος δὲ τοῖς ἐμοῖς ἀγρεύμασιν
κάλει φίλους ἐς δαῖτα· μακάριος γὰρ εἶ,

1218 *μόχθων* Wecklein 1219 *Κιθερῶνος* P 1223 *ἔσω* hic P 1224 *πάρα* Musgrave : *πέρι* P 1227 *ἀκταίων᾽ ἀριστέω* P : cf. 337 (*ἀριστέα p*) 1229 *δρυμοὺς* Bruhn : *δρυμοῖς* P 1230 *τήνδ᾽* P 1232 *αὐτήν* Scaliger : *αὐτῆς* P 1237 *μεῖζον* Chr. Pat. 163 *θῆρας* in ras. scr. *p* 1240 *ἀγκρεμασθῇ* Hermann : *ἂν κρεμασθῇ* P 1241 *ἐκγαυριῶν* coni. Wecklein : vid. sub fine fabulae frag. 3 *ἐμοῖς* Musurus : *ἐμῆς* P

μακάριος, ἡμῶν τοιάδ᾽ ἐξειργασμένων.
Κα. ὦ πένθος οὐ μετρητὸν οὐδ᾽ οἷόν τ᾽ ἰδεῖν,
φόνον ταλαίναις χερσὶν ἐξειργασμένων.
καλὸν τὸ θῦμα καταβαλοῦσα δαίμοσιν
ἐπὶ δαῖτα Θήβας τάσδε κἀμὲ παρακαλεῖς.
οἴμοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ᾽ ἐμῶν·
ὡς ὁ θεὸς ἡμᾶς ἐνδίκως μέν, ἀλλ᾽ ἄγαν,
Βρόμιος ἄναξ ἀπώλεσ᾽ οἰκεῖος γεγώς.
Αγ. ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ·
ἔν τ᾽ ὄμμασι σκυθρωπόν. εἴθε παῖς ἐμὸς
εὔθηρος εἴη, μητρὸς εἰκασθεὶς τρόποις,
ὅτ᾽ ἐν νεανίαισι Θηβαίοις ἅμα
θηρῶν ὀριγνῷτ᾽· ἀλλὰ θεομαχεῖν μόνον
οἷός τ᾽ ἐκεῖνος. νουθετητέος, πάτερ,
σοὐστίν. τίς αὐτὸν δεῦρ᾽ ἂν ὄψιν εἰς ἐμὴν
καλέσειεν, ὡς ἴδῃ με τὴν εὐδαίμονα;
Κα. φεῦ φεῦ· φρονήσασαι μὲν οἷ᾽ ἐδράσατε
ἀλγήσετ᾽ ἄλγος δεινόν· εἰ δὲ διὰ τέλους
ἐν τῷδ᾽ ἀεὶ μενεῖτ᾽ ἐν ᾧ καθέστατε,
οὐκ εὐτυχοῦσαι δόξετ᾽ οὐχὶ δυστυχεῖν.
Αγ. τί δ᾽ οὐ καλῶς τῶνδ᾽ ἢ τί λυπηρῶς ἔχει;
Κα. πρῶτον μὲν ἐς τόνδ᾽ αἰθέρ᾽ ὄμμα σὸν μέθες.
Αγ. ἰδού· τί μοι τόνδ᾽ ἐξυπεῖπας εἰσορᾶν;
Κα. ἔθ᾽ αὑτὸς ἤ σοι μεταβολὰς ἔχειν δοκεῖ;
Αγ. λαμπρότερος ἢ πρὶν καὶ διειπετέστερος.
Κα. τὸ δὲ πτοηθὲν τόδ᾽ ἔτι σῇ ψυχῇ πάρα;
Αγ. οὐκ οἶδα τοὔπος τοῦτο. γίγνομαι δέ πως
ἔννους, μετασταθεῖσα τῶν πάρος φρενῶν.
Κα. κλύοις ἂν οὖν τι κἀποκρίναι᾽ ἂν σαφῶς;

1245 *ἐξειργασμένον p* 1252 *σκυθρωπόν* Musurus : *σκυθρωπός* P 1254 *ὅτ᾽ ἐν*] *ὅπως* Wecklein : malim *ἄγρᾳ* pro *ἅμα* 1257 *σοὐστίν* Kirchhoff : *σοί τ᾽ ἐστιν* P : *σοί τ᾽ ἐστὶ κἀμοὶ μὴ σοφοῖς χαίρειν κακοῖς.* | *ποῦ ᾽στιν;* Musurus, ipse, ut vid., interpolator 1267 *διιπετέστερος* P : corr. Elmsley 1268 *τόδέ τι* P 1271 *σαφῶς* Reiske : *σοφῶς* P

Αγ. ὡς ἐκλέλησμαί γ' ἃ πάρος εἴπομεν, πάτερ.
Κα. ἐς ποῖον ἦλθες οἶκον ὑμεναίων μέτα;
Αγ. Σπαρτῷ μ' ἔδωκας, ὡς λέγουσ', Ἐχίονι.
Κα. τίς οὖν ἐν οἴκοις παῖς ἐγένετο σῷ πόσει;
Αγ. Πενθεύς, ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ.
Κα. τίνος πρόσωπον δῆτ' ἐν ἀγκάλαις ἔχεις;
Αγ. λέοντος, ὥς γ' ἔφασκον αἱ θηρώμεναι.
Κα. σκέψαι νυν ὀρθῶς· βραχὺς ὁ μόχθος εἰσιδεῖν.
Αγ. ἔα, τί λεύσσω; τί φέρομαι τόδ' ἐν χεροῖν;
Κα. ἄθρησον αὐτὸ καὶ σαφέστερον μάθε.
Αγ. ὁρῶ μέγιστον ἄλγος ἡ τάλαιν' ἐγώ.
Κα. μῶν σοι λέοντι φαίνεται προσεικέναι;
Αγ. οὔκ, ἀλλὰ Πενθέως ἡ τάλαιν' ἔχω κάρα.
Κα. ᾠμωγμένον γε πρόσθεν ἢ σὲ γνωρίσαι.
Αγ. τίς ἔκτανέν νιν;—πῶς ἐμὰς ἦλθεν χέρας;
Κα. δύστην' ἀλήθει', ὡς ἐν οὐ καιρῷ πάρει.
Αγ. λέγ', ὡς τὸ μέλλον καρδία πήδημ' ἔχει.
Κα. σύ νιν κατέκτας καὶ κασίγνηται σέθεν.
Αγ. ποῦ δ' ὤλετ'; ἦ κατ' οἶκον; ἢ ποίοις τόποις;
Κα. οὗπερ πρὶν Ἀκτέωνα διέλαχον κύνες.
Αγ. τί δ' ἐς Κιθαιρῶν' ἦλθε δυσδαίμων ὅδε;
Κα. ἐκερτόμει θεὸν σάς τε βακχείας μολών.
Αγ. ἡμεῖς δ' ἐκεῖσε τίνι τρόπῳ κατήραμεν;
Κα. ἐμάνητε, πᾶσά τ' ἐξεβακχεύθη πόλις.
Αγ. Διόνυσος ἡμᾶς ὤλεσ', ἄρτι μανθάνω.
Κα. ὕβριν ⟨γ'⟩ ὑβρισθείς· θεὸν γὰρ οὐχ ἡγεῖσθέ νιν.

1272 *ἐκλέλησμαι* Musurus : *ἐλέλησμαι* P 1274 *ὡς λέγουσ'*] *ἐς δόμους* F. Gu. Schmidt 1276 *ἐμῇ* Musurus : *ἐμοί* P 1277 *τίνος* *p* ut videtur : *τί μου* P 1279 sq. notam Agavae ante *βραχὺς* posuit, ante v. 1280 om. P : corr. Musurus 1280 *φέρομεν* Elmsley 1281 *αὐτὸ*] *αὖθις* (*αὖτις* solet scr. P) Reiske 1283 *προσεοικέναι* P : corr. Brunck 1285 *ᾠμωγμένον* lex. Messan. ed. H. Rabe N. Mus. Rhen. 47. p. 413 : *οἰμωγμένον* P : *ᾐμαγμένον* Musgrave 1286 *ἔκτανέ* P *ἦλθεν* Elmsley : *ἦλθες* P : *ἦλθ' ἐς* Musurus 1289 *κασίγνητοι* P : corr. Musgrave 1290 *ἢ κατ'* P 1291 *ἀκταίωνα* P : vid. ad 337 1295 *ἐμάνη τὲ* P 1297 *γ'* suppl. Heath

Αγ. τὸ φίλτατον δὲ σῶμα ποῦ παιδός, πάτερ;
Κα. ἐγὼ μόλις τόδ' ἐξερευνήσας φέρω.
Αγ. ἦ πᾶν ἐν ἄρθροις συγκεκλῃμένον καλῶς;
. . . .
Αγ. Πενθεῖ δὲ τί μέρος ἀφροσύνης προσῆκ' ἐμῆς;
Κα. ὑμῖν ἐγένεθ' ὅμοιος, οὐ σέβων θεόν.
τοιγὰρ συνῆψε πάντας ἐς μίαν βλάβην,
ὑμᾶς τε τόνδε θ', ὥστε διολέσαι δόμους
κἄμ', ὅστις ἄτεκνος ἀρσένων παίδων γεγὼς
τῆς σῆς τόδ' ἔρνος, ὦ τάλαινα, νηδύος
αἴσχιστα καὶ κάκιστα κατθανόνθ' ὁρῶ,
ᾧ δῶμ' ἀνέβλεφ'—ὃς συνεῖχες, ὦ τέκνον,
τοὐμὸν μέλαθρον, παιδὸς ἐξ ἐμῆς γεγώς,
πόλει τε τάρβος ἦσθα· τὸν γέροντα δὲ
οὐδεὶς ὑβρίζειν ἤθελ' εἰσορῶν τὸ σὸν
κάρα· δίκην γὰρ ἀξίαν ἐλάμβανες.
νῦν δ' ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι
ὁ Κάδμος ὁ μέγας, ὃς τὸ Θηβαίων γένος
ἔσπειρα κἀξήμησα κάλλιστον θέρος.
ὦ φίλτατ' ἀνδρῶν—καὶ γὰρ οὐκέτ' ὢν ὅμως
τῶν φιλτάτων ἔμοιγ' ἀριθμήσῃ, τέκνον—
οὐκέτι γενείου τοῦδε θιγγάνων χερί,
τὸν μητρὸς αὐδῶν πατέρα προσπτύξῃ, τέκνον,
λέγων· Τίς ἀδικεῖ, τίς σ' ἀτιμάζει, γέρον;
τίς σὴν ταράσσει καρδίαν λυπηρὸς ὤν;
λέγ', ὡς κολάζω τὸν ἀδικοῦντά σ', ὦ πάτερ.

1300 ἦ et συγκεκλῃμένον P (συγκεκλειμένον *p*) post 1300 versum Cadmi deesse indicavit Victorius, sed nescio an melius hic sileat Cadmus vv. 1298–1300 hinc alieni ex iis quae post 1329 perierunt superesse videntur Wilamowitzio: mavult Robert magnam post 1300 lacunam ponere in qua fuerint compositio membrorum Penthei et Agavae in se ipsam accusatio: vide sub fine fabulae 1308 ᾧ P: ὃν suprascr. *p* ἀνέβλεπεν P: corr. Elmsley 1312 ἐλάμβανες Hermann: ἐλάμβανεν P: cf. Hdt. i. 115, vii. 39 1317 τέκνον Reiske: τέκνων P 1318 θιγγάνων Brodeau: θιγγάνω P 1319 προσπτέξῃ primitus P 1320 τίς ἀδικεῖ Barnes: τίς σ' ἀδικεῖ P

νῦν δ᾽ ἄθλιος μέν εἰμ᾽ ἐγώ, τλήμων δὲ σύ,
οἰκτρὰ δὲ μήτηρ, τλήμονες δὲ σύγγονοι.
εἰ δ᾽ ἔστιν ὅστις δαιμόνων ὑπερφρονεῖ,
ἐς τοῦδ᾽ ἀθρήσας θάνατον ἡγείσθω θεούς.

Χο. τὸ μὲν σὸν ἀλγῶ, Κάδμε· σὸς δ᾽ ἔχει δίκην
παῖς παιδὸς ἀξίαν μέν, ἀλγεινὴν δὲ σοί.

Αγ. ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ᾽ ὅσῳ μετεστράφη

. . . .
. . . .

ΔΙΟΝΥΣΟΣ

. . . . . .
. . . .

δράκων γενήσῃ μεταβαλών, δάμαρ τε σὴ
ἐκθηριωθεῖσ᾽ ὄφεος ἀλλάξει τύπον,
ἣν Ἄρεος ἔσχες Ἁρμονίαν θνητὸς γεγώς.
ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διός,
ἐλᾷς μετ᾽ ἀλόχου, βαρβάρων ἡγούμενος.
πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι
πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον
διαρπάσωσι, νόστον ἄθλιον πάλιν
σχήσουσι· σὲ δ᾽ Ἄρης Ἁρμονίαν τε ῥύσεται
μακάρων τ᾽ ἐς αἶαν σὸν καθιδρύσει βίον.
ταῦτ᾽ οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς λέγω
Διόνυσος, ἀλλὰ Ζηνός· εἰ δὲ σωφρονεῖν
ἔγνωθ᾽, ὅτ᾽ οὐκ ἠθέλετε, τὸν Διὸς γόνον
εὐδαιμονεῖτ᾽ ἂν σύμμαχον κεκτημένοι.

Κα. Διόνυσε, λισσόμεσθά σ᾽, ἠδικήκαμεν.

Δι. ὄψ᾽ ἐμάθεθ᾽ ἡμᾶς, ὅτε δὲ χρῆν, οὐκ ᾔδετε.

1329 Post h. v. lacunam magnam statuit Tyrwhitt: vide sub fin. fabulae 1330 om. P: suppl. Bredow e Schol. Dion. Per. 391, qui h. v. cum duobus sequentibus citat 1332 ἁρμονίας P: corr. Musurus 1333 ὄχον Musurus: ὄχων P 1334 ἐλᾷς P 1341 σοφρονεῖν P: corr. *p* 1342 ἔγνωθ᾽ *p*: ἄγνωθ᾽ P 1343 εὐδαιμονοῖτ᾽ P: post Musgravium correxi 1344, 1346, 1348 Cadmo tribuit P: Agavae edd. post Elsmleium 1344 λισσόμεθα P 1345 ἐμάθεθ᾽ . . . ᾔδετε Musurus: ἐμέθετ᾽ . . . εἴδετε P: adfert Elmsleius Bekk. Anecd. p. 98 ᾔδεται (ᾔδετε leg.)· Εὐριπίδης Βάκχαις δ᾽ ἐχρῆν P

Κα. ἐγνώκαμεν ταῦτ'· ἀλλ' ἐπεξέρχῃ λίαν.
Δι. καὶ γὰρ πρὸς ὑμῶν θεὸς γεγὼς ὑβριζόμην.
Κα. ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς.
Δι. πάλαι τάδε Ζεὺς οὑμὸς ἐπένευσεν πατήρ.
Αγ. αἰαῖ, δέδοκται, πρέσβυ, τλήμονες φυγαί.
Δι. τί δῆτα μέλλεθ' ἅπερ ἀναγκαίως ἔχει;

Κα. ὦ τέκνον, ὡς ἐς δεινὸν ἤλθομεν κακὸν
⟨πάντες,⟩ σύ θ' ἡ τάλαινα σύγγονοί τε σαί,
ἐγώ θ' ὁ τλήμων· βαρβάρους ἀφίξομαι
γέρων μέτοικος· ἔτι δέ μοι τὸ θέσφατον
ἐς Ἑλλάδ' ἀγαγεῖν μιγάδα βάρβαρον στρατόν.
καὶ τὴν Ἄρεως παῖδ' Ἁρμονίαν, δάμαρτ' ἐμήν,
δράκων δρακαίνης ⟨φύσιν⟩ ἔχουσαν ἀγρίαν
ἄξω 'πὶ βωμοὺς καὶ τάφους Ἑλληνικούς,
ἡγούμενος λόγχαισιν· οὐδὲ παύσομαι
κακῶν ὁ τλήμων, οὐδὲ τὸν καταιβάτην
Ἀχέροντα πλεύσας ἥσυχος γενήσομαι.
Αγ. ὦ πάτερ, ἐγὼ δὲ σοῦ στερεῖσα φεύξομαι.
Κα. τί μ' ἀμφιβάλλεις χερσίν, ὦ τάλαινα παῖ,
ὄρνις ὅπως κηφῆνα πολιόχρων κύκνος;
Αγ. ποῖ γὰρ τράπωμαι πατρίδος ἐκβεβλημένη;
Κα. οὐκ οἶδα, τέκνον· μικρὸς ἐπίκουρος πατήρ.

Αγ. χαῖρ', ὦ μέλαθρον, χαῖρ', ὦ πατρία
πόλις· ἐκλείπω σ' ἐπὶ δυστυχίᾳ
φυγὰς ἐκ θαλάμων.

1347 ὑμῶν Victorius : ἡμῶν P 1349 τάδε Musurus: τάγε P ἐπένευσεν *p* : ἐπαίνεσε P 1350 τήλμονες P 1353 πάντες om. P : suppl. Kirchhoff ex Chr. Pat. 1701 (ὦ φίλος, ὡς εἰς δεινὰ φῂς ἐλθεῖν κακὰ πάντας, κἄμ' αὐτὸν συγγόνους τ' ἄρδην ἐμούς): σύ, θ⟨ύγατερ,⟩ ἡ τάλαινα suppl. Marchant : παῖς τε post τάλαινα Hermann 1355 ἔτι δέ μοὐστὶ M. Haupt : ἔστι γὰρ τὸ Chr. Pat. 1670 1358 φύσιν suppl. Musurus : om. P : σχῆμ' suppl. Nauck, cl. Ion. 992, et in fine ἀγρίας 1363 στερεῖσα Barnes : στερηθεῖσα P 1365 πολιόχρων Musgrave : πολιόχρως P κύκνον Heath 1368, 1371, 1374 notas om. P : add. Musurus 1368 πατρία Elmsley : πατρῴα P

Κα. στεῖχέ νυν, ὦ παῖ, τὸν Ἀρισταίου

. . . . . .

Αγ. στένομαί σε, πάτερ. Κα. κἀγὼ ⟨σέ⟩, τέκνον,
καὶ σὰς ἐδάκρυσα κασιγνήτας.
Αγ. δεινῶς γὰρ τάνδ' αἰκείαν
Διόνυσος ἄναξ τοὺς σοὺς εἰς
οἴκους ἔφερεν.
Δι. καὶ γὰρ ἔπασχον δεινὰ πρὸς ὑμῶν,
ἀγέραστον ἔχων ὄνομ' ἐν Θήβαις.
Αγ. χαῖρε, πάτερ, μοι. Κα. χαῖρ', ὦ μελέα
θύγατερ. χαλεπῶς ⟨δ'⟩ ἐς τόδ' ἂν ἥκοις.
Αγ. ἄγετ', ὦ πομποί, με κασιγνήτας
ἵνα συμφυγάδας λῃψόμεθ' οἰκτράς.
ἔλθοιμι δ' ὅπου
μήτε Κιθαιρὼν ⟨ἔμ' ἴδοι⟩ μιαρὸς
μήτε Κιθαιρῶν' ὄσσοισιν ἐγώ,
μήθ' ὅθι θύρσου μνῆμ' ἀνάκειται·
Βάκχαις δ' ἄλλαισι μέλοιεν.
Χο. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

post 1371 lacunam statuit Hermann 1372-1392 spurios iudicat Nauck 1372 στένομαι Elmsley : στέρομαι P σέ suppl. Barnes 1373 κασιγνήτους P : corr. Barnes 1374 γὰρ] γάρ τοι Hermann: δεινῶς Brunck (Musuro duce) αἰκίαν L P : vide Kühner-Blass Gr. Gr. I. p. 215 : accentum Ionicum dubitanter servavi 1376 ἔφερε P 1377 Κα. καὶ γὰρ ἔπασχεν post Bothium Hermann 1378 ἀγέρατον ὔνομ' ἔχων P : corr. Musurus Barnes 1379 πάτερ Musurus : ὦ πέρ P 1380 δ' add. Reiske 1382 λῃψώμεθ' P 1384 ἔμ' ἴδοι suppl. Schoenii monitu Kirchhoff 1387 βάκχαισι P 1388-1392 cf. fines Alc. Med. Andr. Hel. 1391 πόρων εὗρε P Subscr. τέλος εὐριπίδου βακχῶν P

Quod ad lacunam post v. 1329 explendam attinet, cf. Apsines in Rhet. Gr. ed. Walz ix. p. 587 παρὰ τῷ Εὐριπίδῃ τοῦ Πενθέως ἡ μήτηρ Ἀγαύη, ἀπαλλαγεῖσα τῆς μανίας καὶ γνωρίσασα τὸν παῖδα τὸν ἑαυτῆς διεσπασμένον, κατηγορεῖ μὲν ἑαυτῆς ἔλεον δὲ κινεῖ : ib. p. 590 τοῦτον

τὸν τρόπον κεκίνηκεν Εὐριπίδης οἶκτον ἐπὶ τῷ Πενθεῖ κινῆσαι βουλόμενος. ἕκαστον γὰρ αὐτοῦ τῶν μελῶν ἡ μήτηρ ἐν ταῖς χερσὶ κρατοῦσα καθ' ἕκαστον αὐτῶν οἰκτίζεται. Fragmenta ex Bacchis citata quae hoc loco sedem habere potuisse videntur haec sunt

1. εἰ μὴ γὰρ ἴδιον ἔλαβον ἐς χέρας μύσος

Ex Eur. Bacchis citat Schol. Ar. Plut. 907.

2. Antiatticista in Bekk. Anecd. p. 87 γαυριᾶν· καὶ τοῦτο μέμφονται. Δημοσθένης περὶ τοῦ Στεφάνου. Εὐριπίδης Βάκχαις: cf. tamen v. 1144, 1241.

3. Id. ib. p. 105 λελάβημαι· ἀντὶ τοῦ εἴλημμαι . . . Εὐριπίδης Βάκχαις: cf. v. 1102.

Cf. Lucian. Piscator. 2 καθάπερ τινὰ Πενθέα ἢ 'Ορφέα
λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον.
v. huc rettulit Musgrave, parum probabiliter.

Praeterea integro codice Baccharum videntur usi esse et argumenti primi scriptor, cf. vv. 16-18, et quod maioris momenti est Pseudo-Gregorius, *Christi Patientis* scriptor: cuius vv. 1312 sq. Porson, 1466–1468 Burges, alios alii et in primis Kirchhoff ex hoc loco repetiverunt: cf. Kirchhoff in Philol. viii. pp. 78 sqq., Hartung, *Eur. Restit.* ii. 556, Bruhn, pp. 127 sq.: habes infra vv. qui maiore cum probabilitate hinc fluxisse videri possunt: uncis inclusi quae certe non Euripidea sunt.

Ex Agavae oratione:

Chr. Pat. 1311 sqq.

τίς ἐστιν οὗτος ὃν νέκυν χεροῖν ἔχω;
πῶς καί νιν ἡ δύστηνος εὐλαβουμένη
πρὸς στέρνα θῶμαι; τίνα ⟨δὲ⟩ θρηνήσω τρόπον
καὶ πᾶν (κατασπάσαι με) σὸν μέλος, τέκνον

ib. 1256 sq.

ὅπως (κατασπάσαιμι) καὶ σύμπαν μέλος,
κυνοῦσα σάρκας ἅσπερ ἐξεθρεψάμην.

ib. 1466 sqq.

φέρ', ὦ γεραιέ, κρᾶτα τοῦ (τρισολβίου)
ὀρθῶς προσαρμόσωμεν, εὔτονον δὲ πᾶν
σῶμ' ἐξακριβώσωμεν εἰς ὅσον πάρα.
ὦ φίλτατον πρόσωπον, ὦ νέα γένυς,
ἰδοὺ καλύπτρᾳ τῇδε σὴν κρύπτω (κάραν·)
τὰ δ' αἱμόφυρτα καὶ κατηλοκισμένα
μέλη . . .

ib. 1122 sqq.

(e.g. ποίοις δὲ πέπλοις κατακαλύψω σοι μέλη;
τίνες δὲ κηδεύσουσιν, ὦ τέκνον, χέρες;)

Euripides fortasse τρισαθλίου, et σὸν κρύπτω κάρα. Cf. etiam 1504, 1825–1829.

Hos vv. ut videtur Agavae, sequentes Dionysi suppeditavit oratio (cf. arg. primum ad finem ἑκάστῳ ἃ συμβήσεται διεσάφησεν) de Pentheo sic locuti:

ib. 1664 ἐς δεσμά τ' ἦλθε καὶ (λόγους ἐμπαιγμάτων)
1663 τοίγαρ τέθνηκεν ὧν ἐχρῆν ἥκισθ' ὕπο.

1667 *καὶ ταῦτα μὲν πέπονθεν οὗτος* (*οὐκ ἄκων*)
Cf. etiam 1438, 1440.
(Euripides fortasse *λόγων ὑβρίσματα* et *ἐνδίκως*.)

de Thebanis (cf. Hdt. v. 61 *ἐξανιστέαται Καδμεῖοι ὑπ᾽ Ἀργείων καὶ τράπονται ἐς τοὺς Ἐγχελέας*)

1668 *ἃ δ᾽ αὖ παθεῖν δεῖ λαὸν οὐ κρύψω κακά.*
1669 *λίπῃ πόλισμα, βαρβάροις εἴκων,* (*ἄκων*)
1678 *πόλεις δὲ πολλὰς εἰσαφίκωνται, ζυγὸν*
δούλειον (*ἀνέλκοντες*) *οἱ δυσδαίμονες:*
1672 *αἰχμαῖς ἁλωτούς, πόλλ᾽ ἀνατλάντας κακά.*
Cf. etiam 1713–1716, 1665 sq.

de Agave et sororibus :
1674 sqq. *λιπεῖν πόλιν τήνδ᾽, ἀνοσίου μιάσματος*
δίκην τίν(*οντας*) *τῷδ᾽ ὃν ἔκτειναν* (*φθόνῳ*).
καὶ μηκέτ᾽ (*ἰδεῖν*) *πατρίδ᾽· οὐ γὰρ εὐσεβὲς*
μένειν φονευτὰς (*ἐν τάφοις νεκρουμένων.*)
(Fortasse *τινούσας* et *ἐσιδεῖν*).

de Cadmo :

1689 *οὗτος δ᾽ ἃ μέλλει πήματ᾽ ἐκπλήσειν φράσω·*

(fortasse *αὐτὸς δ᾽ ἃ μέλλεις*) quem versum Bac. 1330 brevi intervallo excepisse credibile est.

Cf. etiam 1639–1640 fortasse a vv. de Dionyso ipso dictis derivatos
σαφῶς γὰρ αὐτὸν τοῖσιν ἐξειργασμένοις
θεὸν νομίζω.

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ

ΥΠΟΘΕΣΙΣ

Argumentum non exstat.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

Ἀγαμέμνων
Πρεσβύτης
Χορός
Μενέλαος
⟨Ἄγγελος α′⟩
Κλυταιμνήστρα
Ἰφιγένεια
Ἀχιλλεύς
Ἄγγελος β′

ἄγγελος α′ add. Markland, deleto θεράπων nomine quod post Ἀχιλλεύς habent codices L P, sed in hac fabula ipse scriba videtur is qui alias L² vocatur fuisse: vide praefat. Ionis: siglo L² ea notari volui quae scriba supra vel postmodo scripsit tum se ipse corrigens tum correctiones iam in archetypo factas describens.

Acta paullo post annum A.C. 406: cf. Schol. Ar. Ran. 67 οὕτω καὶ αἱ διδασκαλίαι φέρουσι τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμωνύμως (sic V: ὁμώνυμον G) ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι Ἀλκμέωνα Βάκχας.

Perpensis iis quae de hac fabula scripserunt Matthiae aliique videtur res in summa ita se habere. Fabulam Euripides morte abreptus imperfectam reliquit: retractavit explevit scaenae commisit ca. annum 406 Euripides minor; anno 342 inter antiquas tragoedias Ἰφιγένειαν Εὐριπίδου cum laude egit histrio Neoptolemus (C. I. A. ii. 973), similiaque saepius accidisse probabile est. Mox librarii Attici Alexandrinique cum tragoedias in publicum ederent, more suo pleniorem maluerunt venditare librum quam ieiuniorem, itaque nonnullas dittographias diversasque eiusdem rei tractationes admiserunt, ex. gr. duos Prologos. Ceterum non solum stylum Euripidis minoris vel saltem quarti saeculi exhibet haec fabula, sed etiam textum ceteris corruptiorem. Fortasse imperfecta et ab aliis alias scaenae commissa tragoedia minus accurate servabatur. Denique periit exitus fabulae genuinus, ex quo versus tres citavit Aelianus, vid. ad fin. fabulae: eius in loco habemus miros versus 1578 (vel 1570)–1629, falsarii recentis opus. Hos fere omiserant scribae codicum L et P, sed in P supplevit eadem manus quae spuriam Danaen vv. 1–34 subiunxit, h.e., ut videtur, ipse Marcus Musurus, in L nescioquis eiusdem saeculi Italus. (Vide vol. i. quae in Cod. Cat. de P diximus.) Libet conicere scribas L et P ultra legere non potuisse in archetypo male habito; nam L etiam vv. 1570–1572 nota λειπ. adposita omisit. vv. 1578–1629 utrum in archetypo exstiterint, an Musuri demum aetate compositi sint non liquet. Veri simile est scriptorem ex archetypo evanido vel male mutilo verba litterasque hic illic legibiles cum suis ipsum additamentis conflavisse.

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ

ΑΓΑΜΕΜΝΩΝ

Ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη Κλυταιμήστρα τ', ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι
μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι.
δειναὶ δ' ἀπειλαὶ καὶ κατ' ἀλλήλων φόνος
ξυνίσταθ', ὅστις μὴ λάβοι τὴν παρθένον.
τὸ πρᾶγμα δ' ἀπόρως εἶχε Τυνδάρεῳ πατρί,
δοῦναί τε μὴ δοῦναί τε, τῆς τύχης ὅπως
ἅψαιτ' ἄριστα. καί νιν εἰσῆλθεν τάδε·
ὅρκους συνάψαι δεξιάς τε συμβαλεῖν
μνηστῆρας ἀλλήλοισι καὶ δι' ἐμπύρων
σπονδὰς καθεῖναι κἀπαράσασθαι τάδε·
ὅτου γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
τούτῳ ξυναμυνεῖν, εἴ τις ἐκ δόμων λαβὼν
οἴχοιτο τόν τ' ἔχοντ' ἀπωθοίη λέχους,
κἀπιστρατεύσειν καὶ κατασκάψειν πόλιν
Ἕλλην' ὁμοίως βάρβαρόν θ' ὅπλων μέτα.

vv. 49–114 unum prologum imperfectum efficiunt, vv. 1–48, 115–163 alterum paene perfectum: cf. initium Rhesi cum argumento. Trimetros Euripidis esse, anapaestos Euripidis minoris probabiliter conicit Bremius (*Philol. Beyträge*, Turicii, 1819). Antiquiores Alexandrinis temporibus ambos esse evincunt scriptores Aristoteles Chrysippus alii qui utrumque citant: vid. infra. 50 *κλυταιμνήστρα* ut solent L P: non amplius notatur 53 *φθόνος* Markland 54 *μὴ*] *ἂν* suprascr. L 57 *ἄριστα*] *ἄθραυστα* Hemsterhuys ex Hesychio: *ἄθραυστα· ἀπρόσκοπα. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι*: cf. ad fin. fabulae *τόδε* Barnes 62 *συναμύνειν* L P 63 *ἀπωθ***** P: *ἀπώσασθαι p* 64 *κἀπιστρατεύειν* L P: corr. Markland *κατασκάπτειν p*

ἐπεὶ δ᾽ ἐπιστώθησαν—εὖ δέ πως γέρων
ὑπῆλθεν αὐτοὺς Τυνδάρεως πυκνῇ φρενί—
δίδωσ᾽ ἑλέσθαι θυγατρὶ μνηστήρων ἕνα,
ὅτου πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
ἣ δ᾽ εἵλεθ᾽, ὅς σφε μήποτ᾽ ὤφελεν λαβεῖν,
Μενέλαον. ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅδ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ δὲ λαμπρός, βαρβάρῳ χλιδήματι,
ἐρῶν ἐρῶσαν ᾤχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽, ἔκδημον λαβὼν
Μενέλαον. ὁ δὲ καθ᾽ Ἑλλάδ᾽ οἰστρήσας δρόμῳ
ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται,
ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορί,
τεύχη λαβόντες στενόπορ᾽ Αὐλίδος βάθρα
ἥκουσι τῆσδε, ναυσὶν ἀσπίσιν θ᾽ ὁμοῦ
ἵπποις τε πολλοῖς ἅρμασίν τ᾽ ἠσκημένοι.
κἀμὲ στρατηγεῖν †κᾆτα Μενέλεω χάριν†
εἵλοντο, σύγγονόν γε. τἀξίωμα δὲ
ἄλλος τις ὤφελ᾽ ἀντ᾽ ἐμοῦ λαβεῖν τόδε.
ἠθροισμένου δὲ καὶ ξυνεστῶτος στρατοῦ
ἥμεσθ᾽ ἀπλοίᾳ χρώμενοι κατ᾽ Αὐλίδα.
Κάλχας δ᾽ ὁ μάντις ἀπορίᾳ κεχρημένοις
ἀνεῖλεν Ἰφιγένειαν ἣν ἔσπειρ᾽ ἐγὼ
Ἀρτέμιδι θῦσαι τῇ τόδ᾽ οἰκούσῃ πέδον,
καὶ πλοῦν τ᾽ ἔσεσθαι καὶ κατασκαφὰς Φρυγῶν

68 δίδωσιν L P 69 ὅτου] ὅποι Lenting 70 ὅς σφε Monk: ὥς γε L P ὤφλεν P: corr. *p* 72 κρίνων Clem. Al. Paed. iii. 2: κρίνας L P ὡς ὁ L^2 P: ὡς L Ἀργείων Clemens: ἀνθρώπων L P 74 δὲ Markland: τε L P 77 μενέλαος οὖν καθ᾽ *p* δρόμῳ Markland: μόρῳ L P: μόνος *p*: πόθῳ Toup 79 ἠδικημένοις L^2 P^2 (saltem voluit): ἀδικουμένοις L P 80 δορί] ποσίν Arist. Rhet. iii. 11 83 ἅρμασίν τ᾽ Reiske: θ᾽ ἅρμασιν L P 84 κᾶτα L P: ι sub α add. *p*: κάρτα Heath: δῆτα Nauck: possis κατά ⟨γε⟩ . . . σύγγονόν τε. 89 κεχρημένοις Heath: κεχρημένος L P 92 κατασκαφὰς *p*: κατασφαγὰς L P

[θύσασι, μὴ θύσασι δ' οὐκ εἶναι τάδε.]
κλύων δ' ἐγὼ ταῦτ', ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ' ἀφιέναι στρατόν,
ὡς οὔποτ' ἂν τλὰς θυγατέρα κτανεῖν ἐμήν.
οὗ δή μ' ἀδελφὸς πάντα προσφέρων λόγον
ἔπεισε τλῆναι δεινά. κἀν δέλτου πτυχαῖς
γράψας ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν
πέμπειν Ἀχιλλεῖ θυγατέρ' ὡς γαμουμένην,
τό τ' ἀξίωμα τἀνδρὸς ἐκγαυρούμενος,
συμπλεῖν τ' Ἀχαιοῖς οὕνεκ' οὐ θέλοι λέγων,
εἰ μὴ παρ' ἡμῶν εἶσιν ἐς Φθίαν λέχος·
πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ' ἐμήν,
[ψευδῆ συνάψας ἀντὶ παρθένου γάμον.
μόνοι δ' Ἀχαιῶν ἴσμεν ὡς ἔχει τάδε
Κάλχας Ὀδυσσεὺς Μενέλεώς θ'. ἃ δ' οὐ καλῶς
ἔγνων τότ', αὖθις μεταγράφω καλῶς πάλιν
ἐς τήνδε δέλτον, ἣν κατ' εὐφρόνης σκιὰν
λύοντα καὶ συνδοῦντά μ' εἰσεῖδες, γέρον.
ἀλλ' εἶα χώρει τάσδ' ἐπιστολὰς λαβὼν
πρὸς Ἄργος. ἃ δὲ κέκευθε δέλτος ἐν πτυχαῖς,
λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα·
πιστὸς γὰρ ἀλόχῳ τοῖς τ' ἐμοῖς δόμοισιν εἶ.]

ΑΓΑΜΕΜΝΩΝ

Ὦ πρέσβυ, δόμων τῶνδε πάροιθεν
στεῖχε.

93 secludit Nauck, cf. 359 98 *πτυχαῖς p* et fortasse L[2] : *πτύχαις* L P 100 *πέμπειν* repetitum operis non perfecti vestigium : *στέλλειν* Markland 102 *οὕνεκ'* Barnes : *τούνεκ'* L P, fortasse e *συμπλεῖν Ἀχαιοῖς τε οὕνεκ'* ortum 105 *ἀμφὶ* Markland : tum *παρθένῳ* Hennig : v. del. Herwerden 105–114 seclusi, ut ab eo retractatos vel scriptos qui hunc prologum loco aptavit quem nunc in codd. habet : 109–114 iam damnavit England : 104–114 Klinkenberg 106 sqq. varie tractati : *μόνοι δ' ἀκηκόασιν ὡς* Stadtmueller : *Μενέλεως ἐγώ θ'· ἃ δ' οὐ | καλῶς τότ' ἔγνων μεταγράφω* Vitelli 109 *εὐφρόνης* (omisso *σκιὰν*) L P : *σκιὰν* add. *p* vel P[2], *σκ* in ras. : *εὐφρόνην* L[2] 112 sq. cf. I. T. 760 ff. 1 incipit, puto, fabula ab Euripide iuniore scaenae commissa eiusque prologo, opere sane pulcherrimo, instructa *τῶνδε δόμων πάροιθεν* L : ordinem corr. L[2]

ΠΡΕΣΒΥΤΗΣ

στείχω. τί δὲ καινουργεῖς,
Ἀγάμεμνον ἄναξ; Αγ. σπεύσεις; Πρ. σπεύδω.
μάλα τοι γῆρας τοὐμὸν ἄυπνον
καὶ ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεστιν.

Αγ. τίς ποτ' ἄρ' ἀστὴρ ὅδε πορθμεύει;

Πρ. Σείριος ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ᾄσσων ἔτι μεσσήρης.

Αγ. οὔκουν φθόγγος γ' οὔτ' ὀρνίθων
οὔτε θαλάσσης· σιγαὶ δ' ἀνέμων
τόνδε κατ' Εὔριπον ἔχουσιν.

Πρ. τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀίσσεις,
Ἀγάμεμνον ἄναξ;
ἔτι δ' ἡσυχία τῆδε κατ' Αὖλιν
καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
στείχωμεν ἔσω. Αγ. ζηλῶ σέ, γέρον,
ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ' ἀγνὼς ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.

Πρ. καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίου.

Αγ. τοῦτο δέ γ' ἐστὶν τὸ καλὸν σφαλερόν,
καὶ τὸ πρότιμον
γλυκὺ μέν, λύπῃ δὲ προσιστάμενον.
τοτὲ μὲν τὰ θεῶν οὐκ ὀρθωθέντ'

3 σπεύσεις; Dobree: πεύσῃ L P: σπεῦδε Porson 4 τοι Barnes: τὸ L[2] P: om. L 6 cf. Theon. Smyrn. de astron. 16 ὁ τραγικὸς ἐπί τινος τῶν πλανήτων· τί ποτ' ἄρ' ὁ ἀστὴρ ὅδε πορθμεύει σείριος;: punctum post πορθμεύει delet, vv. 7, 8 Agamemnoni continuat Bremius: sed cf. Ennius Iph. 1. p. 94 Mueller 'AG. Quid noctis videtur in altisono | Caeli clipeo? SEN. Temo superat' &c. 8 ἀΐσσων L P μεσήρης primitus L P 11 ἔχουσι L P 14 τήνδε Blomfield 16 στείχομεν P: cf. Cic. Tusc. iii. 24. 1 16–19 citant Alex. Aphr. in Arist. Top. p. 117, Stob. fl. 58. 2: 16–18 Plut. Mor. p. 471 19 ἧσσον ἐπαινῶ Stobaeus (ex Hip. 264) 21 ἐστὶ L P 22 πρότιμον Nauck: φιλότιμον L P: v. del. Bothe: τό τε φιλότιμον Markland 23 Cf. Macho ap. Athen. vi. p. 244 γλυκὺ μέν, προσιστάμενον δὲ λυπεῖ (λύπῃ?) πανταχῇ λύπῃ Hermann: λυπεῖ L P

ἀνέτρεψε βίον, τοτὲ δ' ἀνθρώπων
γνῶμαι πολλαὶ
καὶ δυσάρεστοι διέκναισαν.
Πρ. οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως.
οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς,
'Αγάμεμνον, 'Ατρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι·
θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω βουλόμεν' ἔσται.
σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας
δέλτον τε γράφεις
τήνδ' ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
καὶ ταὐτὰ πάλιν γράμματα συγχεῖς
καὶ σφραγίζεις λύεις τ' ὀπίσω
ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
κατὰ δάκρυ χέων,
καὶ τῶν ἀπόρων οὐδενὸς ἐνδεὴς
μὴ οὐ μαίνεσθαι.
τί πονεῖς; τί νέον περὶ σοί, βασιλεῦ;
φέρε κοίνωσον μῦθον ἐς ἡμᾶς.
πρὸς ⟨δ'⟩ ἄνδρ' ἀγαθὸν πιστόν τε φράσεις·
σῇ γάρ μ' ἀλόχῳ τότε Τυνδάρεως
πέμπει φερνὴν
συνυυμφοκόμον τε δίκαιον.

. . . . . .

Αγ. πέμπω σοι πρὸς ταῖς πρόσθεν

28-33 citat Stob. fl. 105. 6 (ordine perturbato): 28 Chrysippus, Journal des Sav. 1838, p. 313: 29-33 Plut. Mor. p. 103, 29-31 id. ib. p. 33 28 *ἀριστέως* Stobaeus et Chrysippus: *ἀριστέος* L P 29 *πᾶσι* L P 33 *βουλόμεν' ἔσται*] *βουλομένων ἔσται* Plutarchus : *νενόμισται* Stobaeus 39 *πέδῳ πεύκην*] *πεύκην πέδω* primitus L : *πέδοι* Wecklein 42 *μὴ οὐ μαίνεσθαι* L² P² : *μὴ θυμαίνεσθαι* primitus L P 43 *τί πονεῖς; τί νέον;* Blomfield : *τί πονεῖς τί πονεῖς τί νέον τί νέον* L² P² : alterum *τί νέον* omiserat P : primum *τί πονεῖς* et primum *νέον* in ras. scr. L² 45 *δ'* add. *p* 46 *ποτὲ* Barnes 47 *πέμπει* apogr. Paris. : *πέμπεν* L P 115 sq. post 118 trai. Reiske, male : Agamemno epistulam legere incipit : graviter commotus desistit: '*perge legens*' inquit senex, et pergit ille 115 *ταῖς*] *τὰς* Monk, cl. 891

δέλτους, ὦ Λήδας ἔρνος . . .
Πρ. λέγε καὶ σήμαιν', ἵνα καὶ γλώσσῃ
σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.
Αγ. μὴ στέλλειν τὰν σὰν ἶνιν πρὸς
τὰν κολπώδη πτέρυγ' Εὐβοίας
Αὖλιν ἀκλύσταν.
εἰς ἄλλας ὥρας γὰρ δὴ
παιδὸς δαίσομεν ὑμεναίους.
Πρ. καὶ πῶς Ἀχιλεὺς λέκτρων ἀπλακὼν
οὐ μέγα φυσῶν θυμὸν ἐπαρεῖ
σοὶ σῇ τ' ἀλόχῳ;
τόδε καὶ δεινόν· σήμαιν' ὅ τι φῄς.
Αγ. ὄνομ', οὐκ ἔργον, παρέχων Ἀχιλεὺς
οὐκ οἶδε γάμους, οὐδ' ὅ τι πράσσομεν,
οὐδ' ὅτι κείνῳ παῖδ' ἐπεφήμισα
νυμφείους εἰς ἀγκώνων
εὐνὰς ἐκδώσειν λέκτροις.
Πρ. δεινά γ' ἐτόλμας, Ἀγάμεμνον ἄναξ,
ὃς τῷ τῆς θεᾶς σὴν παῖδ' ἄλοχον
φατίσας ἦγες σφάγιον Δαναοῖς.
Αγ. οἴμοι, γνώμας ἐξέσταν,
αἰαῖ, πίπτω δ' εἰς ἄταν.
ἀλλ' ἴθ' ἐρέσσων σὸν πόδα, γήρᾳ
μηδὲν ὑπείκων. Πρ. σπεύδω, βασιλεῦ.
Αγ. μή νυν μήτ' ἀλσώδεις ἵζου

116 δέλτους Monk : δέλτοις L P 122 ἄλλας] τὰς suprascr. L² P² 122–123 ὥρας post δαίσομεν trai. Verrall 124–132 cf. in altero prologo 97 105 124 ἀχιλλεὺς L P : corr. *l* λέκτρων Scaliger : λέκτρ' L P : κατὰ suprascr. L² ἀμπλακὼν L P 125 φυσσῶν L P ἐπαρεῖ Reiske : ἐπαίρει L P 128 Cf. Liban. Epist. 1398 p. 642 τοῦτο δέ ἐστι δοκοῦντος φιλεῖν οὐ φιλοῦντος καὶ κατὰ τὴν τραγῳδίαν ὄνομ' †ἓν τέρπου† (ἀντ' ἔργου corr. Unger, idemque hic legere iubet) παρεχομένου ἀχιλλεὺς primitus L P 130 ἐπεφήμισα Markland : ἐπέφησα L P 132 ἐκδώσειν Markland : ἐνδώσειν L P λέκτρον Monk 133 δεινά γε τολμᾷς L P : corr. Markland 134 ὃς τῷ apogr. Paris. (et Canter) : οὕτω L P 135 φατήσας primitus P 139 ἴθι in ἴθ' correctum L : εἶθ' P 141 μὴ νῦν L P

κρήνας μήθ' ὕπνῳ θελχθῇς.
Πρ. εὔφημα θρόει.
Αγ. πάντῃ δὲ πόρον σχιστὸν ἀμείβων
λεῦσσε, φυλάσσων μή τίς σε λάθῃ
τροχαλοῖσιν ὄχοις παραμειψαμένη
παῖδα κομίζουσ' ἐνθάδ' ἀπήνη
Δαναῶν πρὸς ναῦς.
Πρ. ἔσται τάδε. Αγ. κλῄθρων δ' ἐξόρμοις
ἤν νιν πομπαῖς ἀντήσῃς,
πάλιν εἰσόρμα, σεῖε χαλινούς,
ἐπὶ Κυκλώπων ἱεὶς θυμέλας.
Πρ. πιστὸς δὲ φράσας τάδε πῶς ἔσομαι,
λέγε, παιδὶ σέθεν τῇ σῇ τ' ἀλόχῳ;
Αγ. σφραγῖδα φύλασσ' ἣν ἐπὶ δέλτῳ
τήνδε κομίζεις. ἴθι. λευκαίνει
τόδε φῶς ἤδη λάμπουσ' ἠὼς
πῦρ τε τεθρίππων τῶν Ἀελίου·
σύλλαβε μόχθων.
θνητῶν δ' ὄλβιος ἐς τέλος οὐδεὶς
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος.

ΧΟΡΟΣ

— ἔμολον ἀμφὶ παρακτίαν [στρ.
ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων
κέλσασα στενοπόρθμων,
Χαλκίδα πόλιν ἐμὰν προλιποῦσ',

142 θελχθεὶς primitus P 145 τίς Markland: τι L P 148 ναῦς L^2 P^2: ναούς L P 149 ἔσται τάδε L^2: ἔσται L P ἐξόρμοις Bothe: ἐξόρμα L P (sed ἐξώρμ' primitus L) 150 ἤν L P: ἢν γάρ (sic) L^2 P^2 ἀντήσῃς L P: ἀντήσας P^2 151 εἰσόρμα, σεῖε post Blomfieldum Wecklein: ἐξορμάσεις L^2 P^2: ἐξορμάσῃς L P τοὺς χαλίνους L^2 P^2 154 verba τῇ σῇ τ' ἀλόχῳ seclusit Vitelli 155 personae notam om. P 156 τήνδε L P: τῇδε L^2 164 παρακτίαν L^2 P^2: παρ' ἀκτὰν L P 167 στενόπορθμον L P: corr. Weil

ἀγχιάλων ὑδάτων τροφὸν
τᾶς κλεινᾶς Ἀρεθούσας,
Ἀχαιῶν στρατιὰν ὡς ἐσιδοίμαν
Ἀχαιῶν τε πλάτας ναυσιπόρους ἡ-
μιθέων, οὓς ἐπὶ Τροίαν
ἐλάταις χιλιόναυσιν
τὸν ξανθὸν Μενέλαόν θ'
ἁμέτεροι πόσεις
ἐνέπουσ' Ἀγαμέμνονά τ' εὐπατρίδαν
στέλλειν ἐπὶ τὰν Ἑλέναν, ἀπ'
Εὐρώτα δονακοτρόφου
Πάρις ὁ βουκόλος ἂν ἔλαβε
δῶρον τᾶς Ἀφροδίτας,
ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρᾳ Παλλάδι τ' ἔριν ἔριν
μορφᾶς ἁ Κύπρις ἔσχεν.

— πολύθυτον δὲ δι' ἄλσος Ἀρ- [ἀντ.
τέμιδος ἤλυθον ὀρομένα,
φοινίσσουσα παρῇδ' ἐμὰν
αἰσχύνᾳ νεοθαλεῖ,
ἀσπίδος ἔρυμα καὶ κλισίας
ὁπλοφόρους Δαναῶν θέλουσ'
ἵππων τ' ὄχλον ἰδέσθαι.
κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω,
τὸν Οἰλέως Τελαμῶνός τε γόνον, τὸν
Σαλαμῖνος στέφανον· Πρω-

171 Ἀχαιῶν] Ἀτρειδᾶν Camper : cf. 172   ὡς ἐσιδοίμαν Elmsley, cf. El. 1242 : ὡς ἴδοιμ' ἂν L P   172 Ἀχαιῶν] ἀγαυῶν Nauck   ἠιθέων Markland   173 οὓς Scaliger : ὡς L P   174 χιλιόναυσι L P : corr. P²   175 Μενέλαόν θ' Fritzsche : μενέλαον L P   177 ἐν-νέπουσ' primitus L P   184 ἔσχεν P² : ἔσχε L P   186 ὀρομένα Canter : ὀρωμέναν L P   187 παρηΐδ' L P   190 ἐθέλουσ' primitus L P   191 τ' post ὄχλον L P (tum erasum in L) : trai. Heath   192 δύ' L *p* : δι' P   193 τε γόνον L² P² : ἔκγονον L P   τὸν Hartung : τοῖς L P   194 Σαλαμῖνος P² vel *p* : σαλαμινίοις L P

τεσίλαόν τ' ἐπὶ θάκοις
πεσσῶν ἡδομένους μορ-
φαῖσι πολυπλόκοις
Παλαμήδεά θ', ὃν τέκε παῖς ὁ Ποσει-
δᾶνος, Διομήδεά θ' ἡδο-
ναῖς δίσκου κεχαρημένον,
παρὰ δὲ Μηριόνην, Ἄρεος
ὄζον, θαῦμα βροτοῖσιν,
τὸν ἀπὸ νησαίων τ' ὀρέων
Λαέρτα τόκον, ἅμα δὲ Νι-
ρέα, κάλλιστον Ἀχαιῶν.

— τὸν ἰσάνεμόν τε ποδοῖν
λαιψηροδρόμον Ἀχιλῆα,
τὸν ἁ Θέτις τέκε καὶ Χείρων
ἐξεπόνησεν, εἶδον
αἰγιαλοῖς παρά τε κροκάλαις
δρόμον ἔχοντα σὺν ὅπλοις·
ἅμιλλαν δ' ἐπόνει ποδοῖν
πρὸς ἅρμα τέτρωρον
ἑλίσσων περὶ νίκας.
ὁ δὲ διφρηλάτας ἐβοᾶτ',
Εὔμηλος Φερητιάδας,
ᾧ καλλίστους ἰδόμαν
χρυσοδαιδάλτους στομίοις
πώλους κέντρῳ θεινομένους,
τοὺς μὲν μέσους ζυγίους
λευκοστίκτῳ τριχὶ βαλιούς,

195 *θώκοις* suprascr. P² 196 *πεσῶν* primitus P *ἁδομένους* Fritzsche 199 *δ' ἁδοναῖς* Hartung 202 *βροτοῖσι* L P : *ν* add. *l* 209 *ἐξεπόνησεν* primitus L (et Elmsley) : *ἐξεπόναυεν* L² P 210 *αἰγιαλοῖσιν* L P *κροκάλαις* L : *κροτάλαις* P 215 *ἐρίζων* Piccolo 216 *ἐβοᾶτ'* Dindorf : *βοᾶτ'* L P 218 *ᾧ*] *οὗ* Hermann *ἰδόμαν* Dindorf : *εἰδόμαν* L P 219 *στομίοισι* P 221 *μέσους* del. Wecklein : fortasse *μεσοζυγίους*

τοὺς δ' ἔξω σειροφόρους
ἀντήρεις καμπαῖσι δρόμων,
πυρσότριχας, μονόχαλα δ' ὑπὸ σφυρὰ
ποικιλοδέρμονας· οἷς παρεπάλλετο
Πηλεΐδας σὺν ὅπλοισι παρ' ἄντυγα καὶ σύ-
ριγγας ἁρματείους.

— ναῶν δ' εἰς ἀριθμὸν ἤλυθον [στρ.
καὶ θέαν ἀθέσφατον,
τὰν γυναικεῖον ὄψιν ὀμμάτων
ὡς πλήσαιμι, μέλινον ἁδονάν.
καὶ κέρας μὲν ἦν
δεξιὸν πλάτας ἔχων
Φθιώτας ὁ Μυρμιδὼν Ἄρης
πεντήκοντα ναυσὶ θουρίαις.
χρυσέαις δ' εἰκόσιν κατ' ἄκρα Νη-
ρῇδες ἕστασαν θεαί,
πρύμναις σῆμ' Ἀχιλλείου στρατοῦ.

— Ἀργείων δὲ ταῖσδ' ἰσήρετμοι [ἀντ.
νᾶες ἕστασαν πέλας·
ὧν ὁ Μηκιστέως στρατηλάτας
παῖς ἦν, Ταλαὸς ὃν τρέφει πατήρ,
Καπανέως τε παῖς
Σθένελος· Ἀτθίδας δ' ἄγων
ἑξήκοντα ναῦς ὁ Θησέως
παῖς ἑξῆς ἐναυλόχει, θεὰν
Παλλάδ' ἐν μωνύχοις ἔχων πτερω-

223 ἔξω del. Wecklein σειροφόρους Dindorf: σειραφόρους L P 224 καμπαῖς primitus L 225 πυρρότριχας L P 226 ποικιλλοδέρμονας L 229 πηλείδας σὺν ὅπλοις L P 231–302 interpolatori tribuit Hermann 233 γυναικείαν L P: corr. Boeckh 234 μείλινον L P: fortasse ἐλεινὸν, cf. El. 452 sqq., 479 sq., Hdt. vii. 45 237 Μυρμιδὼν Hermann: μυρμιδόνων L P 239 χρυσέαισι P: corr. *p* ἄκρα Pierson: ἄκραν L P 241 πρύμναισι primitus L P 247 Ἀτθίδας Dobree: ἀτθίδος L P 248 νῆας *p*

τοῖσιν ἅρμασιν θετόν,
εὔσημόν γε φάσμα ναυβάταις.

Βοιωτῶν δ' ὅπλισμα πόντιον [στρ.
πεντήκοντα νῆας εἰδόμαν
σημείοισιν ἐστολισμένας·
τοῖς δὲ Κάδμος ἦν
χρύσεον δράκοντ' ἔχων
ἀμφὶ ναῶν κόρυμβα·
Λήιτος δ' ὁ γηγενὴς
ἆρχε ναΐου στρατοῦ·
Φωκίδος δ' ἀπὸ χθονὸς
Λοκρᾶς τε τοῖσδ' ἴσας ἄγων
ναῦς ⟨ἦλθ'⟩ Οἰλέως τόκος κλυτὰν
Θρονιάδ' ἐκλιπὼν πόλιν.

— *Μυκήνας δὲ τᾶς Κυκλωπίας* [ἀντ.
παῖς 'Ατρέως ἔπεμπε ναυβάτας
ναῶν ἑκατὸν ἠθροϊσμένους·
σὺν δ' Ἄδραστος ἦν
ταγός, ὡς φίλος φίλῳ,
τᾶς φυγούσας μέλαθρα
βαρβάρων χάριν γάμων
πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
ἐκ Πύλου δὲ Νέστορος
Γερηνίου κατειδόμαν
πρύμνας σῆμα ταυρόπουν ὁρᾶν,

251 *ἅρμασι θετόν* P : *ἁρματήλατον* Wecklein : *ἅρμασιν θοάν* Firnhaber 252 *γε* Musgrave : *τε* L P 253 *τῶν* ante *Βοιωτῶν* add. L^2 P^2 *πόντιον* England : *ποντίας* L P 255 *εὐστολισμένας* L P : corr. Scaliger 258 *κόρυβα* primitus P 260 *ἄρχει*, ut videtur, primitus L P post 261 lacunam duorum vv. indicaverunt L P : lacunam esse negant L^2 P^2 262 *Λοκρᾶς τε* Madvig : *λοκροῖς δὲ* L P : *Λοκρὰς δὲ ταῖσδ'* Markland 263 *ναῦς ἦλθ'* Matthiae : *ναῦς* L P : *ἦν ναῦς* Nauck, cf. 275 265 *Μυκήνας* Nauck : *ἐκ μυκήνας* L P *τὰς κυκλωπείας* L P (tum *ε* deletum in P) 267 *ἠθροισμένους* P 268 *Ἄδραστος*] *ἀδελφὸς* Markland, perperam puto 275 *πρύμνας*] fortasse *πρυμνᾶν*

τὸν πάροικον Ἀλφεόν.

— Αἰνιάνων δὲ δωδεκάστολοι
νᾶες ἦσαν, ὧν ἄναξ
Γουνεὺς ἆρχε· τῶνδε δ' αὖ πέλας
Ἤλιδος δυνάστορες,
οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·
Εὔρυτος δ' ἄνασσε τῶνδε,
λευκήρετμον δ' Ἄρη
Τάφιον ἦγεν, ὧν Μέγης ἄνασσε,
Φυλέως λόχευμα,
τὰς Ἐχίνας λιπὼν
νήσους ναυβάταις ἀπροσφόρους.

— Αἴας δ' ὁ Σαλαμῖνος ἔντροφος
δεξιὸν κέρας †πρὸς τὸ λαιὸν ξυνᾶγε†,
τῶν ἆσσον ὥρμει πλάταισιν
ἐσχάταισι συμπλέκων
δώδεκ' εὐστροφωτάταισι ναυσίν. ὣς
ἄιον καὶ ναυβάταν
εἰδόμαν λεών·
ᾧ τις εἰ προσαρμόσει
βαρβάρους βάριδας,
νόστον οὐκ ἀποίσεται,
ἐνθάδ' οἷον εἰδόμαν
νάιον πόρευμα,
τὰ δὲ κατ' οἴκους κλύουσα συγκλήτου

276 τὸν del. *p* 277–287 stropham 288–302 antistropham statuit Hermann, complura excidisse ratus 277 δώδεκα στόλοι ναῶν L P: corr. Hermann 279 Γουνεὺς L : Ἰουνεὺς P 281 Ἐπειὸν . . . λεών Conradt ὀνόμαζε P 284 ἡγεμὼν Μέγης Hermann, ἄνασσε deleto post h. v. fortasse desunt qui versibus 297–299 respondeant 286 Ἐχίνας Brodeau : ἐχίδνας L P : τὰς Ἐχινάδας φησί P^2 in marg. : 290 sq. metro conveniret ξυνάγε δεξιὸν κέρας | λαιόν τ', ἆσσον ὧν ὥρμει πλάταις : vv. vix sani ξυνᾶγε Hermann : ξύναγε L P 293 ὡς L P 299 οἷον Hermann : ἄιον L P 301 τάδε P^2

μνήμην σῴζομαι στρατεύματος.

Πρ. Μενέλαε, τολμᾷς δείν', ἅ σ' οὐ τολμᾶν χρεών.

ΜΕΝΕΛΑΟΣ

ἄπελθε· λίαν δεσπόταισι πιστὸς εἶ.

Πρ. καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.
Με. κλαίοις ἄν, εἰ πράσσοις ἃ μὴ πράσσειν σε δεῖ.
Πρ. οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φερον.
Με. οὐδέ γε φέρειν σὲ πᾶσιν Ἕλλησιν κακά.
Πρ. ἄλλοις ἁμιλλῶ ταῦτ'· ἄφες δὲ τήνδ' ἐμοί.
Με. οὐκ ἂν μεθείμην. Πρ. οὐδ' ἔγωγ' ἀφήσομαι.
Με. σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.
Πρ. ἀλλ' εὐκλεές τοι δεσποτῶν θνῄσκειν ὕπερ.
Με. μέθες· μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους.
Πρ. ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
'Αγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.

Αγ. ἔα·
τίς ποτ' ἐν πύλαισι θόρυβος καὶ λόγων ἀκοσμία;
Με. οὑμὸς οὐχ ὁ τοῦδε μῦθος κυριώτερος λέγειν.
Αγ. σὺ δὲ τί τῷδ' ἐς ἔριν ἀφῖξαι, Μενέλεως, βίᾳ τ' ἄγεις;
Με. βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.
Αγ. μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, 'Ατρέως γεγώς;
Με. τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;
Αγ. εἰσορῶ· καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.

302 μνήμην del. England 304 γε supra λίαν add. P^2 305-316 singulis vv. paragraphos praef. L P: personarum notas P^2 305 ἐξωνείδησας primitus P 306 κλαίεις ἂν P: corr. *p* 308 γε φέρειν σε δεῖ L P: δεῖ del. Kirchhoff: σε φέρειν δεῖ L^2 P^2 309 ἄλλοις Markland: ἄλλως L P (ἄλλως ἁμιλλᾷ *p*) 310 Πρ. add. P^2: paragraphum om. L P 311 ἄρα primitus L P 313 δὲ] γὰρ suprascr. *p* 317 τίς ποτ' citat. in Bekk. Anecd. i. 369. 8: τίς δήποτ' L: τίς δῆτ' L^2 P πύλαισι L: πύλαις L^2: πύλαισιν P: θύραισι Bekk. Anecd. θόρυβος ἐστὶ primitus L alter v. Agamemnonis hic excidisse visus est Hermanno 318 Με. Hermann: πρε. L P 319 τῷδ'] τόδ' primitus P 320 εἰς L^2: ἐς L P

Με. οὔ, πρὶν ἂν δείξω γε Δαναοῖς πᾶσι τἀγγεγραμμένα.
Αγ. ἦ γὰρ οἶσθ' ἃ μή σε καιρὸς εἰδέναι σήμαντρ' ἀνείς;
Με. ὥστε σ' ἀλγῦναί γ', ἀνοίξας ἃ σὺ κάκ' εἰργάσω λάθρᾳ.
Αγ. ποῦ δὲ κἄλαβές νιν; ὦ θεοί, σῆς ἀναισχύντου φρενός.
Με. προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους, εἰ στράτευμ' ἀφίξεται.
Αγ. τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντου τόδε;
Με. ὅτι τὸ βούλεσθαί μ' ἔκνιζε· σὸς δὲ δοῦλος οὐκ ἔφυν.
Αγ. οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;
Με. πλάγια γὰρ φρονεῖς, τὰ μὲν νῦν, τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.
Αγ. εὖ κεκόμψευσαι πονηρά· γλῶσσ' ἐπίφθονον σοφή.
Με. νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα κοὐ σαφὲς φίλοις.
βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μήτ' ὀργῆς ὕπο
ἀποτρέπου τἀληθὲς οὔτ' αὖ κατατενῶ λίαν ἐγώ.
οἶσθ', ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον,
τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων,
ὡς ταπεινὸς ἦσθα, πάσης δεξιᾶς προσθιγγάνων
καὶ θύρας ἔχων ἀκλῄστους τῷ θέλοντι δημοτῶν
καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι—κεἰ μή τις θέλοι—
τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
κᾆτ', ἐπεὶ κατέσχες ἀρχάς, μεταβαλὼν ἄλλους τρόπους
τοῖς φίλοισιν οὐκέτ' ἦσθα τοῖς πρὶν ὡς πρόσθεν φίλος,
δυσπρόσιτος ἔσω τε κλῄθρων σπάνιος. ἄνδρα δ' οὐ χρεὼν
τὸν ἀγαθὸν πράσσοντα μεγάλα τοὺς τρόπους μεθιστάναι,

324–334 paragraphi pro person. notis in L 324 ἅπασι τἀγγεγραμμένα P: πασι**γγεγραμμένα primitus L: corr. L^2 325 οἶσθ'] ἦσθ' *p* vel P^2 327 κἄλαβές νιν L^2 *p*: καὶ ἔλαβές νιν L: κἄλαβέσιν P σῆς] τῆς Kirchhoff 329 τἄμ' ἔδει Herwerden 333 ἐκκεκόμψευσαι· πονηρὸν L P: corr. post Ruhnkenium Monk: εὖ κεκόμψευσαι· πονηρῶν Bothe 334 δέ γ' οὐ L^2 P^2: δ' οὐ L P 335 ἐξελέγξαι L^2 P^2: ἐλέγξαι L P ὀργῆς ὕπο] ς ὕπο in ras. L^2 336 ἀποτρέπου L^2 P^2: ἀποστρέφου L P οὔτ' αὖ Blomfield: οὔτοι L P: οὔτε Hermann κατατενῶ λίαν Boeckh: καταινῶ λίαν σ' L P (σ' om. apogr. Paris.) 337 δαναΐδ*ς P: corr. *p* 339 ἦσ ἁπάσης L P (ἀπάσης P): corr. Markland 345 ἔσω] ἔξω Portus

ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις,
ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
  ταῦτα μέν σε πρῶτ' ἐπῆλθον, ἵνα σε πρῶθ' ηὗρον κακόν.
ὡς δ' ἐς Αὖλιν ἦλθες αὖθις χὡ Πανελλήνων στρατός,
οὐδὲν ἦσθ', ἀλλ' ἐξεπλήσσου τῇ τύχῃ τῇ τῶν θεῶν,
οὐρίας πομπῆς σπανίζων· Δαναΐδαι δ' ἀφιέναι
ναῦς διήγγελλον, μάτην δὲ μὴ πονεῖν ἐν Αὐλίδι.
ὡς ἄνολβον εἶχες ὄμμα σύγχυσίν τ', εἰ μὴ νεῶν
χιλίων ἄρχων τὸ Πριάμου πεδίον ἐμπλήσεις δορός.
κἀμὲ παρεκάλεις· Τί δράσω; τίνα δὲ πόρον εὕρω πόθεν;—
ὥστε μὴ στερέντα σ' ἀρχῆς ἀπολέσαι καλὸν κλέος.
κᾆτ', ἐπεὶ Κάλχας ἐν ἱεροῖς εἶπε σὴν θῦσαι κόρην
Ἀρτέμιδι, καὶ πλοῦν ἔσεσθαι Δαναΐδαις, ἡσθεὶς φρένας
ἄσμενος θύσειν ὑπέστης παῖδα· καὶ πέμπεις ἑκών,
οὐ βίᾳ—μὴ τοῦτο λέξῃς—σῇ δάμαρτι, παῖδα σὴν
δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην.
κᾆθ' ὑποστρέψας λέληψαι μεταβαλὼν ἄλλας γραφάς,
ὡς φονεὺς οὐκέτι θυγατρὸς σῆς ἔσῃ. μάλιστά γε.
οὗτος αὐτός ἐστιν αἰθὴρ ὃς τάδ' ἤκουσεν σέθεν.
μυρίοι δέ τοι πεπόνθασ' αὐτό· πρὸς τὰ πράγματα
ἐκπονοῦσ' ἔχοντες, εἶτα δ' ἐξεχώρησαν κακῶς,
τὰ μὲν ὑπὸ γνώμης πολιτῶν ἀσυνέτου, τὰ δ' ἐνδίκως
ἀδύνατοι γεγῶτες αὐτοὶ διαφυλάξασθαι πόλιν.
Ἑλλάδος μάλιστ' ἔγωγε τῆς ταλαιπώρου στένω,

349 *μέν σε* L P : *μέν σοι p* vel P² *ηὗρον*] *εὗρον* Reiske : *εὕρω* L P *κακόν* L sed *ακ* corr. vel rescr. L² 350 *ἦλθες* Musurus : *ἦλθεν* L P *αὖτις καὶ ὁ* L P 351 del. Wecklein 354 *ὡς δ'* L² P² *ὄνομα* P 354 sq. *τ' εἰ μὴ . . . ἐμπλήσεις* Musgrave : *τε μὴ . . . ἐμπλήσας* L P : *τε μὴ οὐ . . . ἐμπλήσῃς* Wecklein 355 *τὸ Πριάμου τε* L P : *πριάμου τε* L²: corr. Elmsley 356 *τίνα δὲ* L² P² : *τίνα* L P *πόθεν* Ludv. Dindorf: *ποθὲν* L P *τίν' ἀπορῶν* (*ἀπόρων* Weil) *εὕρω πόρον*; Nauck 357 *στερέντας ἀρχῆς* Musgrave 362 *ἀπόστελλ'* P : corr. P² 363 sq. del. Nauck 363 *λέλησαι* L² P² 365 *αὐτὸς* L P 366 punctum post *αὐτό* pos. Wecklein 367 *ἐγκονοῦσ'* Wecklein *ἑκόντες* Canter 368 *γνώσης* primitus P v. delebat Hermann 370 Eubulus ap. Athen. xiii. 569 A *Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου* [*περι*]*στένω*

ἤ, θέλουσα δρᾶν τι κεδνόν, βαρβάρους τοὺς οὐδένας
καταγελῶντας ἐξανήσει διὰ σὲ καὶ τὴν σὴν κόρην.
    μηδέν' ἀνδρείας ἕκατι προστάτην θείμην χθονός,
μηδ' ὅπλων ἄρχοντα· νοῦν χρὴ τὸν στρατηλάτην ἔχειν·
πόλεος ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἢν ἔχων τύχῃ.
Χο. δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους
μάχας θ', ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.
Αγ. βούλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρὸς τἀναιδὲς ἀγαγών, ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντ'· ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ.
    εἰπέ μοι, τί δεινὰ φυσᾷς αἱματηρὸν ὄμμ' ἔχων;
τίς ἀδικεῖ σε; τοῦ κέχρησαι; χρηστὰ λέκτρ' ἐρᾷς λαβεῖν;
οὐκ ἔχοιμ' ἄν σοι παρασχεῖν· ὧν γὰρ ἐκτήσω, κακῶς
ἦρχες. εἶτ' ἐγὼ δίκην δῶ σῶν κακῶν, ὁ μὴ σφαλείς;
οὐ δάκνει σε τὸ φιλότιμον τοὐμόν, ἀλλ' ἐν ἀγκάλαις
εὐπρεπῆ γυναῖκα χρῄζεις, τὸ λελογισμένον παρεὶς
καὶ τὸ καλόν, ἔχειν. πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
εἰ δ' ἐγώ, γνοὺς πρόσθεν οὐκ εὖ, μετετέθην εὐβουλίᾳ,
μαίνομαι; σὺ μᾶλλον, ὅστις ἀπολέσας κακὸν λέχος
ἀναλαβεῖν θέλεις, θεοῦ σοι τὴν τύχην διδόντος εὖ.
    ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
φιλόγαμοι μνηστῆρες—ἡ δέ γ' Ἐλπίς, οἶμαι μέν, θεός,
κἀξέπραξεν αὐτὸ μᾶλλον ἢ σὺ καὶ τὸ σὸν σθένος—
οὓς λαβὼν στράτευε· ἕτοιμοι δ' εἰσὶ μωρίᾳ φρενῶν.

373 μηδὲν primitus P   ἀνδρείας Pantazidis: ἂν χρείους L P: ἂν χρέους L² P²   375 πόλεος L: πόλεως L² P   ἄρχον P: corr. p   376 λόγους L P et Stob. fl. 84. 3: ψόγους Musgrave   378 εὖ L P et Stob. fl. 31. 2: αὖ p in marg. idque postea in αὖθις correctum   ἄνω Stobaeus: ἂν ὦ L P: γρ. ἀνῶ L   379 ἀνάγων Naber   σωφρονεστέρως Stobaeus: σωφρονέστερος L P   380 χρηστὸς Grotius: χρηστὸς χρηστὸν Stobaeus: αἰσχρὸς οὐκ L P: ὄντ'· ἀνὴρ οὐκ αἰσχρὸς αἰδεῖσθαι Kvičala   382 λέκτ' (λέκτρ' P²) ἐρᾷς χρηστὰ L P: trai. Reiske: λέκτρ' ἐραστὰ χρῇς Wecklein   384 δῶ σῶν Dawes: δώσω L P   385 οὐ scripsi: ἢ L P   386 cf. 922, 1021: 385–387 suspecti Wecklinio   388 μετεθέμην εὐβουλίαν Monk   392 ἥδε γ' P²   393 κἀξέπραξεν L P: ἐξέπραξεν P²   394 στράτευ'· ἕτοιμοι δ' εἰσὶ Monk: στράτευε. οἶμαι δ' εἴσῃ L P (στράτευε γ' p)

οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι
τοὺς κακῶς παγέντας ὅρκους καὶ κατηναγκασμένους.
τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα· κοὐ τὸ σὸν μὲν εὖ
παρὰ δίκην ἔσται κακίστης εὔνιδος τιμωρίᾳ,
ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις,
ἄνομα δρῶντα κοὐ δίκαια παῖδας οὓς ἐγεινάμην.
ταῦτά σοι βραχέα λέλεκται καὶ σαφῆ καὶ ῥᾴδια·
εἰ δὲ μὴ βούλῃ φρονεῖν εὖ, τἄμ' ἐγὼ θήσω καλῶς.

Χο. οἵδ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
μύθων, καλῶς δ' ἔχουσι, φείδεσθαι τέκνων.

Με. αἰαῖ, φίλους ἄρ' οὐχὶ κεκτήμην τάλας.

Αγ. εἰ τοὺς φίλους γε μὴ θέλεις ἀπολλύναι.

Με. δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταὐτοῦ γεγώς;

Αγ. συσσωφρονεῖν σοι βούλομ', ἀλλ' οὐ συννοσεῖν.

Με. ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.

Αγ. εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.

Με. οὐκ ἄρα δοκεῖ σοι τάδε πονεῖν σὺν Ἑλλάδι;

Αγ. Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.

Με. σκήπτρῳ νυν αὔχει, σὸν κασίγνητον προδούς.
ἐγὼ δ' ἐπ' ἄλλας εἶμι μηχανάς τινας
φίλους τ' ἐπ' ἄλλους. . . .

ΑΓΓΕΛΟΣ Α

ὦ Πανελλήνων ἄναξ,
Ἀγάμεμνον, ἥκω παῖδά σοι τὴν σὴν ἄγων,

394ª om. L P: adferunt Stob. fl. 28. 10 et Theophil. ad Autol. ii. 54 cum v. sequenti   395 κατηναγκασμένους Stobaeus et Theophilus : συνηναγκασμένους L P   396 κοὐ Lenting : καὶ L P   397 παρὰ δίκην Porson : πέρα δίκης L P   399 ἐγεινάμην L^2 : ἐγείναμεν P : utrumque (per compendium) L   401 εὖ] σὺ Markland   404 οὐκ ἐκεκτήμην Heath   406–412 paragraphos praef. L P: notas personarum P^2 407 συσσωφρονεῖν γὰρ οὐχὶ συννοσεῖν ἔφυν Plut. Mor. p. 64C fortasse ex Soph. Ant. 523 : βουλόμεσθ' οὐ Fix : sed in hac fabula αι fortasse potuit elidi ut in Nova Comoedia, cf. Menand. Ἐπιτρ. 138, 140, 226, &c.   408 ἐς hic L P   412 αὔχει Tyrwhitt : αὐχεῖς L P   413–441 interpolatori tribuit Kirchhoff

ἣν Ἰφιγένειαν ὠνόμαζες ἐν δόμοις.
μήτηρ δ᾽ ὁμαρτεῖ, σῆς Κλυταιμήστρας δέμας,
καὶ παῖς Ὀρέστης, ὥς τι τερφθείης ἰδών,
χρόνον παλαιὸν δωμάτων ἔκδημος ὤν.
  ἀλλ᾽ ὡς μακρὰν ἔτεινον, εὔρυτον παρὰ
κρήνην ἀναψύχουσι θηλύπουν βάσιν,
αὐταί τε πῶλοί τ᾽· ἐς δὲ λειμώνων χλόην
καθεῖμεν αὐτάς, ὡς βορᾶς γευσαίατο.
ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
ἥκω· πέπυσται γὰρ στρατός—ταχεῖα γὰρ
διῇξε φήμη—παῖδα σὴν ἀφιγμένην.
πᾶς δ᾽ ἐς θέαν ὅμιλος ἔρχεται δρόμῳ,
σὴν παῖδ᾽ ὅπως ἴδωσιν· οἱ δ᾽ εὐδαίμονες
ἐν πᾶσι κλεινοὶ καὶ περίβλεπτοι βροτοῖς.
λέγουσι δ᾽· Ὑμέναιός τις ἢ τί πράσσεται;
ἢ πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ
ἐκόμισε παῖδα; τῶν δ᾽ ἂν ἤκουσας τάδε·
Ἀρτέμιδι προτελίζουσι τὴν νεάνιδα,
Αὐλίδος ἀνάσσῃ. τίς νιν ἄξεταί ποτε;
  ἀλλ᾽ εἶα, τἀπὶ τοισίδ᾽ ἐξάρχου κανᾶ,
στεφανοῦσθε κρᾶτα καὶ σύ, Μενέλεως ἄναξ
ὑμέναιον εὐτρέπιζε καὶ κατὰ στέγας
λωτὸς βοάσθω καὶ ποδῶν ἔστω κτύπος·
φῶς γὰρ τόδ᾽ ἥκει μακάριον τῇ παρθένῳ.
Αγ. ἐπῄνεσ᾽, ἀλλὰ στεῖχε δωμάτων ἔσω·
τὰ δ᾽ ἄλλ᾽ ἰούσης τῆς τύχης ἔσται καλῶς.

οἴμοι, τί φῶ δύστηνος; ἄρξωμαι πόθεν;
ἐς οἷ᾽ ἀνάγκης ζεύγματ᾽ ἐμπεπτώκαμεν.

416 ὠνόμαξας L P (ποτ᾽ add. P²) : corr. Markland : v. fortasse spurius 417 ὁμαρτοῖ primitus P σὴ Κλυταιμνήστρα δάμαρ Elmsley, cl. I. T. 22 418 ὥς τι Hermann : ὥστε L P 422 τ᾽ Markland : γ᾽ L P 425 ταχεῖα γὰρ] ταχεῖα δὲ *p* 430 πράσσεται ε super αι scripto L P : ε del. P² 434 ποτε] πόσις Nauck 435 τοῖσι δ᾽ L P : τοῖσιν *l* 438 λοτὸς primitus L P βοάτω Rauchenstein 442 ἄρξωμαι Burges : ἄρξομαι L P πόθεν Grotius: σέθεν L P 443 εἰς οἷ P² : εἰς οἷα γ᾽ L et voluit P ἐπεπτώκαμεν P : corr. P²

ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον.
καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
ἅπαντά τ' εἰπεῖν. τῷ δὲ γενναίῳ φύσιν
ἄνολβα ταῦτα. προστάτην δὲ τοῦ βίου
τὸν ὄγκον ἔχομεν τῷ τ' ὄχλῳ δουλεύομεν.
ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,
τὸ μὴ δακρῦσαι δ' αὖθις αἰδοῦμαι τάλας,
ἐς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.
εἶέν· τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;
καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς ἅ μοι πάρος
ἐλθοῦσ' ἄκλητος. εἰκότως δ' ἅμ' ἕσπετο
θυγατρὶ νυμφεύσουσα καὶ τὰ φίλτατα
δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
τὴν δ' αὖ τάλαιναν παρθένον—τί παρθένον;
Ἅιδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα—
ὡς ᾤκτισ'· οἶμαι γάρ νιν ἱκετεύσειν τάδε·
Ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
γήμειας αὐτὸς χὤστις ἐστί σοι φίλος.
παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
οὐ συνετὰ συνετῶς· ἔτι γάρ ἐστι νήπιος.
αἰαῖ, τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
γήμας ὁ Πριάμου Πάρις, ὃς εἴργασται τάδε.

Χο. κἀγὼ κατῴκτιρ', ὡς γυναῖκα δεῖ ξένην
ὑπὲρ τυράννων συμφορᾶς καταστένειν.

Με. ἀδελφέ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.

448, 449 ἅπαντά . . . ἄνολβα Musgrave : ἄνολβά . . . ἅπαντα L P 449 δὲ Plut. Nic. 5 : γε L P : γὰρ suprascr. p 450 ὄγκον Plutarchus : δῆμον L P τ'] δ' Plutarchus 452 αὖτις L P 454–468 suspecti iis qui 413–441 delent 455 συμβαλῶ P^2 : συμβάλω L P 456 πάρος] πάρα Musurus : κακοῖσι τοῖς πάρος Fix 458 νυμφεύσουσα Markland : νυμφεύουσα L P 462 ἱκετεύσειν Markland : ἱκετεῦσαι L P 466 οὐ ξυνετὰ ξυνετῶς L P : corr. L^2 468 ὃς Heath : ὅς μ' L P

Αγ. δίδωμι· σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.
Με. Πέλοπα κατόμνυμ', ὃς πατὴρ τοὐμοῦ πατρὸς
τοῦ σοῦ τ' ἐκλήθη, τὸν τεκόντα τ' Ἀτρέα,
ἦ μὴν ἐρεῖν σοι τἀπὸ καρδίας σαφῶς
καὶ μὴ 'πίτηδες μηδέν, ἀλλ' ὅσον φρονῶ.
ἐγώ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ
ᾤκτιρα, καὐτὸς ἀνταφῆκά σοι πάλιν
καὶ τῶν παλαιῶν ἐξαφίσταμαι λόγων,
οὐκ ἐς σὲ δεινός· εἰμὶ δ' οὗπερ εἶ σὺ νῦν·
καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον
μήτ' ἀνθελέσθαι τοὐμόν. οὐ γὰρ ἔνδικον
σὲ μὲν στενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
θνῄσκειν τε τοὺς σούς, τοὺς δ' ἐμοὺς ὁρᾶν φάος.
τί βούλομαι γάρ; οὐ γάμους ἐξαιρέτους
ἄλλους λάβοιμ' ἄν, εἰ γάμων ἱμείρομαι;
ἀλλ' ἀπολέσας ἀδελφόν, ὅν μ' ἥκιστα χρῆν,
Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθοῦ;
ἄφρων νέος τ' ἦ, πρὶν τὰ πράγματ' ἐγγύθεν
σκοπῶν ἐσεῖδον οἷον ἦν κτείνειν τέκνα.
ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης
ἐσῆλθε, συγγένειαν ἐννοουμένῳ,
ἣ τῶν ἐμῶν ἕκατι θύεσθαι γάμων
μέλλει. τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος,
σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σόν,
ἀδελφέ, κἀμὲ παρακαλῶν ἐς δάκρυα.
εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστι σοί,
μὴ 'μοὶ μετέστω· σοὶ νέμω τοὐμὸν μέρος.

473 *κατόμνυσ'* primitus P 480 *εἰμὶ* Kirchhoff: *εἶμι* L P 481 *ἀποκτεῖναι τέκνον* Elmsley : *ἀποκτείνειν τέκνα* Wecklein 487 *ἥκιστ' ἐχρῆν* L P 489 *ἦ*] *ἦν* L P *πράγματ'* Lenting: *πράγματα δ'* L P 491 *μ'*] *μοι* suprascr. *p* *ταλαιπόρου* primitus P 492 *ἐσῆλθε* hic L P *ἐννουμένῳ* P : *ἐννοούμενον* Markland 495 *στρατιὰ* L P : corr. Barnes *διαλυσεῖσ* primitus L P 496 *τέγκων* P 498 sq. *μέτεστί σοι μή μοι* L P

ἀλλ᾽ ἐς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων;
εἰκὸς πέπονθα· τὸν ὁμόθεν πεφυκότα
στέργων μετέπεσον. ἀνδρὸς οὐ κακοῦ τροπαὶ
τοιαίδε, χρῆσθαι τοῖσι βελτίστοις ἀεί.
Χο. γενναῖ᾽ ἔλεξας Ταντάλῳ τε τῷ Διὸς
πρέποντα· προγόνους οὐ καταισχύνεις σέθεν.
Αγ. αἰνῶ σε, Μενέλα᾽, ὅτι παρὰ γνώμην ἐμὴν
ὑπέθηκας ὀρθῶς τοὺς λόγους σοῦ τ᾽ ἀξίως.
ταραχὴ δ᾽ ἀδελφῶν διά τ᾽ ἔρωτα γίγνεται
πλεονεξίαν τε δωμάτων· ἀπέπτυσα
τοιάνδε συγγένειαν ἀλλήλοιν πικράν.
ἀλλ᾽ ἥκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.
Με. πῶς; τίς δ᾽ ἀναγκάσει σε τήν γε σὴν κτανεῖν;
Αγ. ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.
Με. οὔκ, ἤν νιν εἰς Ἄργος γ᾽ ἀποστείλῃς πάλιν.
Αγ. λάθοιμι τοῦτ᾽ ἄν. ἀλλ᾽ ἐκεῖν᾽ οὐ λήσομεν.
Με. τὸ ποῖον; οὔτοι χρὴ λίαν ταρβεῖν ὄχλον.
Αγ. Κάλχας ἐρεῖ μαντεύματ᾽ Ἀργείων στρατῷ.
Με. οὔκ, ἢν θάνῃ γε πρόσθε· τοῦτο δ᾽ εὐμαρές.
Αγ. τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.
Με. †κοὐδέν γ᾽ ἄχρηστον, οὐδὲ χρήσιμον παρόν.†
Αγ. ἐκεῖνο δ᾽ οὐ δέδοικας ὃ ἔμ᾽ ἐσέρχεται;

502 sq. *τρόποι* sed *αὶ* super *οι* scr. L P: *τοιαίδε οι* super *αι* scr. L: *τοιοῖδε* P: scilicet duplex lectio *τρόποι τοιοίδε* et *τροπαὶ τοιαίδε* fuit *χρῆσθαι*] suprascr. *τὸ* L   505 *καταισχύνεῖς* (sic) L   506 *Μενέλα᾽* Markland: *μενέλαος* L P: *Μενέλεως* Barnes   507 *μετέθηκας* Musgrave   508–510 Menelao trib. L P: Agamemnoni restituit Hermann: del. Boeckh   508 δ᾽ Hermann: *γ᾽* L P   *διά τ᾽* Dobree: *δι᾽** L: *δι* P: *γε δι᾽* L² P²: etiam *τις δι᾽* L ut videtur   510 *ἀλλήλοιν* Markland: *ἀλλήλων* L P   513 *σε* om. L P: supra add. L² P²   515 *ἤν*] *εἰ* P²   *γ᾽* om. L P: add. L² P²: fortasse *Ἄργος εἰσαποστείλῃς* (*ἐξαποστείλῃς* Kirchhoff)   *ἀποστείλῃς* Markland: *ἀποστελεῖς* L P²: *ἀποστελεῖ* P   516 *λήσομαι* P²   521 *ἀπόν γ᾽ ἄχρηστον* post Hermannum Hartman: possis *χοὖ δεῖ γ᾽ ἄχρηστον, οὗ δὲ χρήσιμον πικρόν*: *κοὐδέν γε χρηστὸν* Canter   522 *ὃ ἔμ᾽*] *οὔμ᾽* Markland: *ὅμ᾽* L P: *ὅτι μ᾽* L²

Με. ὃν μὴ σὺ φράζεις, πῶς ὑπολάβοιμ' ἂν λόγον;
Αγ. τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.
Με. οὐκ ἔστ' Ὀδυσσεὺς ὅ τι σὲ κἀμὲ πημανεῖ.
Αγ. ποικίλος ἀεὶ πέφυκε τοῦ τ' ὄχλου μέτα.
Με. φιλοτιμίᾳ μὲν ἐνέχεται, δεινῷ κακῷ.
Αγ. οὐκ οὖν δοκεῖς νιν στάντ' ἐν Ἀργείοις μέσοις
λέξειν ἃ Κάλχας θέσφατ' ἐξηγήσατο,
κἄμ' ὡς ὑπέστην θῦμα, κᾆτ' ἐψευδόμην,
Ἀρτέμιδι θύσειν; οὐ ξυναρπάσας στρατόν,
σὲ κἄμ' ἀποκτείναντας Ἀργείους κόρην
σφάξαι κελεύσει; κἂν πρὸς Ἄργος ἐκφύγω,
ἐλθόντες αὐτοῖς τείχεσιν Κυκλωπίοις
συναρπάσουσι καὶ κατασκάψουσι γῆν.
τοιαῦτα τἀμὰ πήματ'· ὦ τάλας ἐγώ,
ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε.
ἕν μοι φύλαξον, Μενέλεως, ἀνὰ στρατὸν
ἐλθών, ὅπως ἂν μὴ Κλυταιμήστρα τάδε
μάθῃ, πρὶν Ἅιδῃ παῖδ' ἐμὴν προσθῶ λαβών,
ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
ὑμεῖς τε σιγήν, ὦ ξέναι, φυλάσσετε.

Χο. — μάκαρες οἳ μετρίας θεοῦ [στρ.
μετά τε σωφροσύνας μετέ-
σχον λέκτρων Ἀφροδίτας,
γαλανείᾳ χρησάμενοι
μανιάδων οἴστρων, ὅθι δὴ

523 ὑπολάβοιμ' ἂν Markland : ὑπολάβοιμεν L P : fortasse πῶς ὑπολάβοιμ' ἂν ὃν σὺ μὴ φράζεις λόγον ; 524 οἶδεν *p* : εἶδε L P : εἶδεν L^2 P^2 526 τ' Reiske : γ' L P 528–542 interpolatori trib. Dindorf 528 δοκεῖς Musgrave : δόκει L P, cf. Or. 1238 codd. νιν L : νυν P : δὴ suprascr. P^2 529 λέξιν primitus P 530 κᾆτ' ἐψευδόμην scripsi : κᾆτα ψεύδομαι L P : κᾆτ' ἐψεύσομαι Kidd 531 οὐ Reiske : ὃς L P 534 κυκλωπείοις L et ει ex ι facto P 537 ἠμπόλημαι Kirchhoff 539 κλυταιμνήστρας primitus P 542 cf. Ion. 666 sq. 543 super μάκαρες scr. εἰσὶν L 545 θέλκτρων Nauck 547 μανιάδων Wecklein : μαινόμεν' L P : μαινολῶν Nauck

δίδυμ᾽ Ἔρως ὁ χρυσοκόμας
τόξ᾽ ἐντείνεται χαρίτων,
τὸ μὲν ἐπ᾽ εὐαίωνι πότμῳ,
τὸ δ᾽ ἐπὶ συγχύσει βιοτᾶς.
ἀπενέπω νιν ἁμετέρων,
Κύπρι καλλίστα, θαλάμων.
εἴη δέ μοι μετρία μὲν
χάρις, πόθοι δ᾽ ὅσιοι,
καὶ μετέχοιμι τᾶς Ἀφροδί-
τας, πολλὰν δ᾽ ἀποθείμαν.

— διάφοροι δὲ φύσεις βροτῶν, [ἀντ.
διάφοροι δὲ τρόποι· τὸ δ᾽ ὀρ-
θῶς ἐσθλὸν σαφὲς αἰεί·
τροφαί θ᾽ αἱ παιδευόμεναι
μέγα φέρουσ᾽ ἐς τὰν ἀρετάν·
τό τε γὰρ αἰδεῖσθαι σοφία,
τάν τ᾽ ἐξαλλάσσουσαν ἔχει
χάριν ὑπὸ γνώμας ἐσορᾶν
τὸ δέον, ἔνθα δόξα φέρει
κλέος ἀγήρατον βιοτᾷ.
μέγα τι θηρεύειν ἀρετάν,
γυναιξὶ μὲν κατὰ Κύπριν
κρυπτάν, ἐν ἀνδράσι δ᾽ αὖ
κόσμος ἐνὼν ὁ μυριοπλη-
θὴς μείζω πόλιν αὔξει.

— ἔμολες, ὦ Πάρις, ᾗτε σύ γε
βουκόλος ἀργενναῖς ἐτράφης

548 ὁ χρυσοκόμας ἔρως L P : trai. L^2 P^2 550 πότμῳ] τύχᾳ Ath. xiii. p. 562 E 552 ἀπεν*έπω L : ἀπεννέπων P : corr. P^2 553 ὦ κύπρι primitus L P 557 δ᾽ Reiske : τ᾽ L P 559 διάφοροι Hoepfner : διάτροποι L P τρόποις· ὁ δ᾽ ὀρθὸς L P : corr. Barnes Musgrave 560 ἀεί P^2 562 ἐς P : εἰς L P^2 τὰν L P : del. L^2 P^2 566 δόξα Barnes : δόξαν L P 567 ἀγήραον Ritschl βιοτᾷ Markland : βιοτὰν L P 570 κρυπτὰν* P : fuit γ᾽ vel δ᾽ ἐν ἀνδράσι δ᾽ L^2 P^2 : ἐν δ᾽ ἀνδράσιν L P 571 ἐνὼν Markland : ἔνδον L P

Ἰδαίαις παρὰ μόσχοις,
βάρβαρα συρίζων, Φρυγίων
αὐλῶν Ὀλύμπου καλάμοις
μιμήματα πνείων.
εὔθηλοι δὲ τρέφοντο βόες,
ὅτε σε κρίσις ἔμηνε θεᾶν,
ἅ σ' Ἑλλάδα πέμπει·
ἐλεφαντοδέτων πάροι-
θεν δόμων δὲ στὰς Ἑλένας
ἐν ἀντωποῖς βλεφάροισιν
ἔρωτα τ' ἔδωκας, ἔρωτι δ'
αὐτὸς ἐπτοάθης.
ὅθεν ἔρις ἔριν
Ἑλλάδα σὺν δορὶ ναυσί τ' ἄγει
[ἐς] Τροίας πέργαμα. . .

ΧΟΡΟΣ ΑΝΔΡΩΝ ΑΡΓΕΙΩΝ

ἰὼ ἰώ· μεγάλαι μεγάλων
εὐδαιμονίαι· τὴν τοῦ βασιλέως
ἴδετ' Ἰφιγένειαν, ἄνασσαν ἐμήν,
τὴν Τυνδάρεω τε Κλυταιμήστραν·
ὡς ἐκ μεγάλων ἐβλαστήκασ'
ἐπί τ' εὐμήκεις ἥκουσι τύχας.
θεοί γ' οἱ κρείσσους οἵ τ' ὀλβοφόροι
τοῖς οὐκ εὐδαίμοσι θνητῶν.

577 Οὐλύμπου Heath 578 πνείων Dindorf, cf. Soph. Ant. 1146: πνέων L P[2]: πλέων P: πλέκων *p* 580 ὅτε Musurus: ὅτι L P: ὅθι Bothe ἔμηνε Hermann (vel ἔμαινε): ἔμενε L P 582 sq. τῶν ἐλεφαντοδέτων πάροιθεν θρόνων Hermann πάροιθε L et primitus P 583 δὲ στὰς Kirchhoff: ὃς τᾶς L P: οὗ τᾶς Musgrave: ὅθι τᾶς Weil 585 τ' ἔδωκας Blomfield: δέδωκας L P fortasse ἔρωτί τ' 587 ἔριν Ἑλλάδα] τὴν ἐριστικὴν Ἑλλάδα, ὥς που καὶ πόλεμον ἔριν (Or. 13) ἔφη, τὸν ἐριστικόν L in margine ἔρις ἔρις Hervagiana secunda 589 πρὸς πέργαμα Τροίας Hermann: fortasse Τροίας πέργαμα ⟨πέρσαι⟩: ἐς delevit Bothe 590 Χο. Ἀνδρῶν Ἀργείων scripsi: Χο. praef. L[2]: sed hos vv. non a mulieribus Chalcidicis dici arguunt et v. 592 (ἐμήν) et tota felicitatio 592 ἴδετ' L[2]: εἴδετ' L P 593 Τυνδαρέου L P: corr. Dindorf: cf. El. 117, 989 τε Musurus: γε L P 594 βεβλαστήκασ' Monk 597 θνητῶν Markland: θνατῶν L P: τῶν θνατῶν L[2] P[2]

Χο. στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα,
τὴν βασίλειαν δεξώμεθ' ὄχων
ἄπο μὴ σφαλερῶς ἐπὶ γαῖαν,
ἀγανῶς δὲ χεροῖν μαλακῇ ῥώμῃ,
μὴ ταρβήσῃ† νεωστί μοι μολὸν
κλεινὸν τέκνον Ἀγαμέμνονος,
μηδὲ θόρυβον† μηδ' ἔκπληξιν
ταῖς Ἀργείαις
ξεῖναι ξείναις παρέχωμεν.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
τὸ σόν τε χρηστὸν καὶ λόγων εὐφημίαν·
ἐλπίδα δ' ἔχω τιν' ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
πάρειμι νυμφαγωγός. ἀλλ' ὀχημάτων
ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
καὶ πέμπετ' ἐς μέλαθρον εὐλαβούμενοι.
σὺ δ', ὦ τέκνον μοι, λεῖπε πωλικοὺς ὄχους,
ἁβρὸν τιθεῖσα κῶλον ἀσθενές θ' ἅμα.
ὑμεῖς δέ, νεάνιδές, νιν ἀγκάλαις ἔπι
δέξασθε καὶ πορεύσατ' ἐξ ὀχημάτων.
κἀμοὶ χερός τις ἐνδότω στηρίγματα,
θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
αἳ δ' ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν·
φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν·
καὶ παῖδα τόνδε, τὸν Ἀγαμέμνονος γόνον,

598–606 del. Dindorf: 602 sq. iam Bothe Χο. praescripsi 599 τὴν L^2 (in ras.) et P^2: τήνδε P δεξόμεθ' L^2 ὄχων Canter: ὄχλων L P 600 ἐπὶ L P: ἐπὶ τὴν L^2 P^2 601 ῥώμῃ Hermann: γνώμῃ L P 602–606 μὴ ταρβήσῃ, μηδ' ἔκπληξιν ξεῖναι ξείναις ceteris deletis Verrall 602 τὸ νεωστὶ μολὸν Hermann 603 fortasse κλεινὸν φίτυμ' (Hermann) Ἀγαμεμνόνιον (Markland) 604 καὶ μὴ θόρυβον Hermann 606 ξείναις L^2 *p*: ξ*ναις P: ξείναισι L 614 κῶλον ἀσφαλῶς χαμαί Hermann 615 νεάνιδές νιν Pierson: νεανίδαισιν L P: νεανίδεσσιν L^2: possis ἐπ' ἀγκάλαις νιν, ὦ νεάνιδες 617 καί μοι L P 619 637 lacunae explendae gratia interpolatos iudicavit Kirchhoff: cf. 626 cum 696 619 οἳ δ' Hoepfner

λάζυσθ', Ὀρέστην· ἔτι γάρ ἐστι νήπιος.
τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς·
ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος αὐτὸς ἐσθλὸς ὢν
λήψῃ, κόρης Νηρῇδος ἰσόθεον γένος.
ἑξῆς κάθησο δεῦρό μου ποδός, τέκνον·
πρὸς μητέρ', Ἰφιγένεια, μακαρίαν δέ με
ξέναισι ταῖσδε πλησία σταθεῖσα δός,
καὶ—δεῦρο δὴ—πατέρα πρόσειπε σὸν φίλον.

ΙΦΙΓΕΝΕΙΑ

ὦ μῆτερ, ὑποδραμοῦσά σ'· ὀργισθῇς δὲ μή·
πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ περιβαλῶ.

Κλ. ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.

Ιφ. [ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου·]
ποθῶ γὰρ ὄμμα δὴ σόν. ὀργισθῇς δὲ μή.

Κλ. ἀλλ', ὦ τέκνον, χρή· φιλοπάτωρ δ' ἀεί ποτ' εἶ
μάλιστα παίδων τῷδ' ὅσους ἐγὼ ᾿τεκον.

Ιφ. ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.

Αγ. καὶ γὰρ πατὴρ σέ· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.

Ιφ. χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρὸς σ' ἐποίησας, πάτερ.

623 καθεύδεις *p*: θακεύεις L P 626 κόρης Νηρῇδος scripsi, cf. 1062, 701, Andr. 1225 : τὸ νηρηῖδος L : τὸ νηρηίδος P : τὸ τῆς Portus : τὸ Νηρέως παιδὸς Milton 627 καθίστω Markland : sed, ni fallor, a curru in sedem a servis positam pergit regina ; infantem ad pedes sedere (sc. in nutricis gremio), virginem prope cathedram stare iubet, ut regem mox egressurum excipiant δεῦρ' ἐμοῦ Hennig : δεῦρό μοι Camper 629 δός] θές Camper 630 προσείπωμεν Weil : fortasse προσείπω σοι 631 sq. et 635–636 dittographiae sunt : altera delenda; alteram ante an post 633 sq. scribas paulum refert, nam simul loquuntur puella et mater : minus corrupti videntur 631 sq., igitur 635–636 post Porsonum seclusi : 637 potest genuinus esse et in theatro efficax : hic enim patrem, v. 631 matrem adloquitur 631 σ' L P: γ' L^2 P^2 632 aut στέρνοισι (Heimsoeth) aut προσβαλῶ (Porson) leg. 637 δὴ supra add. L^2 P^2 ὀργισθεὶς primitus P 638 Κλ. Porson : Αγ. L P, sed stat ille silens χρή] χρῶ P^2 639 τῷδ' Bothe : τῶνδ' L P τέκνον P : corr. *p* 642 προσεποίησας P : corr. P^2

Αγ. οὐκ οἶδ' ὅπως φῶ τοῦτο καὶ μὴ φῶ, τέκνον.
Ιφ. ἔα·
ὡς οὐ βλέπεις ἕκηλον ἄσμενός μ' ἰδών.
Αγ. πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.
Ιφ. παρ' ἐμοὶ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέπου.
Αγ. ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας κοὐκ ἄλλοθι.
Ιφ. μέθες νυν ὀφρὺν ὄμμα τ' ἔκτεινον φίλον.
Αγ. ἰδού, γέγηθά σ' ὡς γέγηθ' ὁρῶν, τέκνον.
Ιφ. κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;
Αγ. μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.
Ιφ. †οὐκ οἶδ' ὅ τι φῄς, οὐκ οἶδα, φίλτατ' ἐμοὶ πάτερ.†
Αγ. συνετὰ λέγουσα μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.
Ιφ. ἀσύνετά νυν ἐροῦμεν, εἰ σέ γ' εὐφρανῶ.
Αγ. παπαῖ. τὸ σιγᾶν οὐ σθένω· σὲ δ' ᾔνεσα.
Ιφ. μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.
Αγ. θέλω γε· τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.
Ιφ. ὄλοιντο λόγχαι καὶ τὰ Μενέλεω κακά.
Αγ. ἄλλους ὀλεῖ πρόσθ' ἃ 'μὲ διολέσαντ' ἔχει.
Ιφ. ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς.
Αγ. καὶ νῦν γέ μ' ἴσχει δή τι μὴ στέλλειν στρατόν.
Ιφ. ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκίσθαι, πάτερ;
Αγ. οὗ μήποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
Ιφ. μακρὰν ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ.
Αγ. †εἰς ταὐτόν, ὦ θύγατερ, ἥκεις σῷ πατρί.†

644–677 paragraphos praef. L P: notas P[2] 644 βλέπεις μ' P εὔκηλον L P: corr. Blomfield 645 στρατηλάτει L P: corr. *p* 646 παρ' ἐμοῦ P: πρὸς ἐμοῦ P[2] μὴ Barnes: καὶ μὴ L P φροντίδα primitus P 647 εἰμὶ P[2]: εἶμι L P 648 νῦν primitus L 649 γέγηθ' ἕως γέγηθά σ' L P: corr. Musgrave 651 sq. del. England: 652–655 Dindorf 652 ὃ φῄς et φίλτατ' ὦ πάτερ Heath Markland: οὐκ οἶδά θ' ὅ τι φῄς, κοἶδα Weil: fortasse οὐ, φίλταθ', ὅ τι φῄς οἶδα, πάτερ, οὐκ οἶδα, μοι 653 μ' εἰς οἶκτον ἄγεις P: corr. P[2] 654 νῦν L: μὲν P: μέν γ' P[2] 657 fortasse θέλω μέν, ὃ θέλω δ' 659 πρόσθ' P: πρόσθεν L P[2] 660 ἀπῆσθα L *p*: ἀπῆλθα P 661 γ' ἔμ' L P 662 τοὺς] γῆς Elmsley ᾠκῆσθαι L P: corr. Porson 664 μακράν γ' L[2] ἀπαρεῖς Wecklein 665 ἐς ταὐτὸν ⟨αὖθις⟩ ὦ θύγατερ ἥξεις πατρί Weil: fortasse ἔτ' εἶ σὺ pro ἥκεις

Ιφ. φεῦ·
εἴθ' ἦν καλόν μοι σοί τ' ἄγειν σύμπλουν ἐμέ.
Αγ. ἔτ' ἔστι καὶ σοὶ πλοῦς, ἵν' ἀμμνήσῃ πατρός.
Ιφ. σὺν μητρὶ πλεύσασ' ἢ μόνη πορεύσομαι;
Αγ. μόνη, μονωθεῖσ' ἀπὸ πατρὸς καὶ μητέρος.
Ιφ. οὔ πού μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;
Αγ. ἐατέ'· οὐ χρὴ τοιάδ' εἰδέναι κόρας.
Ιφ. σπεῦδ' ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
Αγ. θῦσαί με θυσίαν πρῶτα δεῖ τιν' ἐνθάδε.
Ιφ. ἀλλὰ ξὺν ἱεροῖς χρὴ τό γ' εὐσεβὲς σκοπεῖν.
Αγ. εἴσῃ σύ· χερνίβων γὰρ ἑστήξῃ πέλας.
Ιφ. στήσομεν ἄρ' ἀμφὶ βωμόν, ὦ πάτερ, χορούς;
Αγ. ζηλῶ σὲ μᾶλλον ἢ 'μὲ τοῦ μηδὲν φρονεῖν.
χώρει δὲ μελάθρων ἐντός—ὀφθῆναι κόραις
πικρόν—φίλημα δοῦσα δεξιάν τέ μοι,
μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
ὦ στέρνα καὶ παρῇδες, ὦ ξανθαὶ κόμαι,
ὡς ἄχθος ὑμῖν ἐγένεθ' ἡ Φρυγῶν πόλις
Ἑλένη τε.—παύω τοὺς λόγους· ταχεῖα γὰρ
νοτὶς διώκει μ' ὀμμάτων ψαύσαντά σου.
ἴθ' ἐς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
μέλλων 'Αχιλλεῖ θυγατέρ' ἐκδώσειν ἐμήν.
ἀποστολαὶ γὰρ μακάριαι μέν, ἀλλ' ὅμως
δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.

666 εἴσθ' ut vid. primitus P 667 ἔτ' ἔστι Porson : αἰτεῖς τί; L P ἵν' ἀμμνήσῃ] ἵναμνήσῃ L P : ὑπο suprascr. L² : ἵν' οὐ Musgrave 670 οὔ· ποῦ L : οὐ ποῦ P : ἦ που P² οἰκιεῖς Wecklein 671 ἐατέ'· Stadtmueller : ἔα γε L P : ἔα γέ τ' P² : ἔασον Blomfield τοιάδ' Markland : τοι τάδ' L P 674 τό γ' L : τόδ' P versus suspectus 675 ἑστήξει primitus P : ἑστήξεις Elmsley 677 ἢ 'μὲ P² : ἤ με L P 678 sq. puncta posuit England 679 τ' ἐμοί L P 681 παρηίδες L P 682 ὑμῖν Musgrave : ἡμῖν L P 684 διαίνει μ' Herwerden 686 ἄταν P : corr. *p* 688 fortasse μακάριον μὲν

Κλ. οὐχ ὧδ' ἀσύνετός εἰμι, πείσεσθαι δέ με
καὐτὴν δόκει τάδ', ὥστε μή σε νουθετεῖν,
ὅταν σὺν ὑμεναίοισιν ἐξάγω κόρην·
ἀλλ' ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
τοὔνομα μὲν οὖν παῖδ' οἶδ' ὅτῳ κατῄνεσας,
γένους δ' ὁποίου χὡπόθεν, μαθεῖν θέλω.
Αγ. Αἴγινα θυγάτηρ ἐγένετ' Ἀσωποῦ πατρός.
Κλ. ταύτην δὲ θνητῶν ἢ θεῶν ἔζευξε τίς;
Αγ. Ζεύς· Αἰακὸν δ' ἔφυσεν, Οἰνώνης πρόμον.
Κλ. τὰ δ' Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
Αγ. Πηλεύς· ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην.
Κλ. θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
Αγ. Ζεὺς ἠγγύησε καὶ δίδωσ' ὁ κύριος.
Κλ. γαμεῖ δὲ ποῦ νιν; ἦ κατ' οἶδμα πόντιον;
Αγ. Χείρων ἵν' οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
Κλ. οὗ φασι Κενταύρειον ᾠκίσθαι γένος;
Αγ. ἐνταῦθ' ἔδαισαν Πηλέως γάμους θεοί.
Κλ. Θέτις δ' ἔθρεψεν ἢ πατὴρ Ἀχιλλέα;
Αγ. Χείρων, ἵν' ἤθη μὴ μάθοι κακῶν βροτῶν.
Κλ. φεῦ·
σοφός γ' ὁ θρέψας χὠ διδοὺς σοφώτερος.
Αγ. τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
Κλ. οὐ μεμπτός. οἰκεῖ δ' ἄστυ ποῖον Ἑλλάδος;
Αγ. Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
Κλ. ἐκεῖσ' ἀπάξει σὴν ἐμήν τε παρθένον;
Αγ. κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
Κλ. ἀλλ' εὐτυχοίτην. τίνι δ' ἐν ἡμέρᾳ γαμεῖ;
Αγ. ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
Κλ. προτέλεια δ' ἤδη παιδὸς ἔσφαξας θεᾷ;

694 συνισχανεῖ Porson : (συνισχνανεῖ anonymus) : συνισχάνει P[2] : συνανίσχει L P : συνανίσχεται L[2] 696 δ' ὁποίου Porson : δὲ ποίου L P 700 τὰ Elmsley : τοῦ L P 701–738 paragraphos praef. L P 704 ἢ L P 705 πηλείου L P 706 ᾠκίσθαι Porson : οἰκεῖσθαι L P 709 μάθοι Musgrave : μάθῃ L P 710 σοφωτέροις Musgrave 716 εὐτυχείτην L P : corr. Portus

Αγ. μέλλω· 'πὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
Κλ. κἄπειτα δαίσεις τοὺς γάμους ἐς ὕστερον;
Αγ. θύσας γε θύμαθ' ἃ ἐμὲ χρὴ θῦσαι θεοῖς.
Κλ. ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
Αγ. ἐνθάδε παρ' εὐπρύμνοισιν Ἀργείων πλάταις.
Κλ. καλῶς ἀναγκαίως τε· συνενέγκοι δ' ὅμως.
Αγ. οἶσθ' οὖν ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.
Κλ. τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
Αγ. ἡμεῖς μὲν ἐνθάδ', οὗπέρ ἐσθ' ὁ νυμφίος. . . .
Κλ. μητρὸς τί χωρὶς δράσεθ', ἃ ἐμὲ δρᾶν χρεών;
Αγ. ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
Κλ. ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
Αγ. χώρει πρὸς Ἄργος παρθένους τε τημέλει.
Κλ. λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
Αγ. ἐγὼ παρέξω φῶς ὃ νυμφίοις πρέπει.
Κλ. οὐχ ὁ νόμος οὗτος οὐδὲ φαῦλ' ἡγητέα.
Αγ. οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ.
Κλ. καλὸν τεκοῦσαν τἀμά μ' ἐκδοῦναι τέκνα.
Αγ. καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
Κλ. ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
Αγ. πιθοῦ. Κλ. μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
ἐλθὼν δὲ τἄξω πρᾶσσε, τἂν δόμοις δ' ἐγώ,
[ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.]

Αγ. οἴμοι· μάτην ᾖξ', ἐλπίδος δ' ἀπεσφάλην,
ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.

719 μέλλω ἐπὶ P: γ' suprascr. *p* 720 ἐς L^2 P^2: εἰς L P 721 ἁμὲ χρὴ Porson: ἅ μ' ἐχρῆν L P: ἅπερ μ' ἐχρῆν L^2 P^2 722 θήσομεν] δαίσομεν Nauck 724 καλῶς δ' P: κακῶς Heath: φαύλως Weil: κάλῳς ἐν ἀγκύραις τε A. Palmer συνένεγκαι L P: corr. Ludv. Dindorf 726 πείθεσθαι] αι in ras. *l* εἴθισμαι L P: εἴθισμ' ἐκ L^2: εἰθίσμεσθά σοι Hermann 727 bis scripsit P, alterum del. *p* 728 ἅ με L P^2: ἄν με P 731 ἄργους P: corr. P^2 παρθένων Herwerden 734 οὐδὲ φαῦλ' ἡγητέα Tucker: σὺ δὲ φαῦλ' ἡγῇ τάδε L P: ὧδε φαῦλ' Stadtmueller: κἂν σὺ φαῦλ' Musgrave 736 μ' Markland: γ' L P 739 super μὰ scr. οὐ L θεόν Wecklein, cl. Tro. 23 740 δὲ] γε L^2 741 del. Monk: νυμφίοις ἢ παρθένοις Nauck 742 ἦξα L P: cf. Ion. 572

σοφίζομαι δὲ κἀπὶ τοῖσι φιλτάτοις
τέχνας πορίζω, πανταχῇ νικώμενος.
ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ
κοινῇ τὸ τῆς θεοῦ φίλον, ἐμοὶ δ' οὐκ εὐτυχές,
ἐξευπορήσων εἶμι, μόχθον Ἑλλάδος.
χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
γυναῖκα χρηστὴν κἀγαθήν, ἢ μὴ τρέφειν.

Χο. ἥξει δὴ Σιμόεντα καὶ [στρ.
δίνας ἀργυροειδεῖς
ἄγυρις Ἑλλάνων στρατιᾶς
ἀνά τε ναυσὶν καὶ σὺν ὅπλοις
Ἴλιον ἐς τὸ Τροίας
Φοιβήιον δάπεδον,
τὰν Κασάνδραν ἵν' ἀκούω
ῥίπτειν ξανθοὺς πλοκάμους
χλωροκόμῳ στεφάνῳ δάφνας
κοσμηθεῖσαν, ὅταν θεοῦ
μαντόσυνοι πνεύσωσ' ἀνάγκαι.

στάσονται δ' ἐπὶ περγάμων [ἀντ.
Τροίας ἀμφί τε τείχη
Τρῶες, ὅταν χάλκασπις Ἄρης
πόντιος εὐπρῴροιο πλάτας
εἰρεσίᾳ πελάζῃ
Σιμουντίοις ὀχετοῖς,
τὰν τῶν ἐν αἰθέρι δισσῶν
Διοσκούρων Ἑλέναν

746–748 del. Monk 747 *κοινῇ* del. L[2] *φίλον* L P : *φίλον γ'* L[2] P[2] 748 *ἐξευπορήσων* England : *ἐξ***ορήσων* L P : *ιστ* in rasura add. L[2] P[2] vel *l p* : *ι* ex *ε* factum in P *μόχθων* P : corr. *p* 749 sq. delebat Hartung 750 *ἢ μὴ γαμεῖν* Hermann 754 *ἀνά*] *σύν* suprascr. L[2] *ναυσὶν* P : *ναυσὶ* L 755 *ἐς* hic P[2] 759 *χλωροκόμου* Fritzsche 761 *παντόσυνοι* P *πνεύσωσι* primitus L, ut vid. 763 *τύχη* primitus L : corr. ipse, ut vid. 765 *πόντιος* v. antithetico vix respondet *εὐπρῴροιο πλάτας* Wecklein : *εὐπρώροισι* (*εὐπρώροισ* L[2]) *πλάταις* L P 767 *σιμουντείοις* L

ἐκ Πριάμου κομίσαι θέλων
ἐς γᾶν Ἑλλάδα δοριπόνοις
ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.

Πέργαμον δὲ Φρυγῶν πόλιν
λαΐνους περὶ πύργους
κυκλώσας Ἄρει φονίῳ,
λαιμοτόμου κεφαλᾶς
σπάσας ⟨Πάριν Ἀτρεΐδας,⟩
πέρσας κατάκρας πόλιν,
θήσει κόρας πολυκλαύτους
δάμαρτά τε Πριάμου.
ἁ δὲ Διὸς Ἑλένα κόρα
πολύκλαυτος ἐδεῖται
πόσιν προλιποῦσα.
μήτ᾽ ἐμοὶ
μήτ᾽ ἐμοῖσι τέκνων τέκνοις
ἐλπὶς ἅδε ποτ᾽ ἔλθοι,
οἵαν αἱ πολύχρυσοι
Λυδαὶ καὶ Φρυγῶν ἄλοχοι
στήσουσι παρ᾽ ἱστοῖς
μυθεῦσαι τάδ᾽ ἐς ἀλλήλας·
Τίς ἄρα μ᾽ εὐπλοκάμου κόμας
ῥῦμα δακρυόεν τανύσας
πατρίδος ὀλλυμένας ἀπολωτιεῖ;
διὰ σέ, τὰν κύκνου δολιχαύχενος γόνον,

771 δοριπόνων Kirchhoff 773–783 del. Hartung 774 λαΐνους] suprascr. αι et in marg. ὅρα L²: fortasse voluit λαιναίους, h. e. λαϊνέους 775 Ἄρει] ἄρω fortasse primitus L φονίῳ] φοινίω P² 776 λαιμοτόμου κεφαλᾶς scripsi: λαιμοτόμους κεφαλὰς L P (λαιμητόμους P²) 777 Πάριν Ἀτρεΐδας ex. gr. scripsi: πόλισμα τροίας L P: cf. 773 779 πολυκλαύτους Musurus: πολυκλαύστους L P 782 πολύκλαυστος primitus L ἐδεῖται Musgrave: ἐσεῖται L P 784 τέκνοισιν L² aut fortasse L 788 sq. στήσουσι et μυθεῦσαι suspecta: μυθεύουσαι Matthiae: cf. Ion. 196 790 εὐπλοκάμου Musgrave: εὐπλοκάμους L P 791 ῥῦμα Hermann: ἔρυμα L P δακρυόεντ᾽ ἀνύσας P² 792 ὀλλυμένας Erfurdt: οὐλομένας L P 793 γονὰν Bothe

εἰ δὴ φάτις ἔτυμος ὡς
ἔτυχεν, [Λήδα] ὄρνιθι πταμένῳ
Διὸς ὅτ' ἠλλάχθη δέμας, εἴτ'
ἐν δέλτοις Πιερίσιν
μῦθοι τάδ' ἐς ἀνθρώπους
ἤνεγκαν παρὰ καιρὸν ἄλλως.

ΑΧΙΛΛΕΥΣ

ποῦ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
τίς ἂν φράσειε προσπόλων τὸν Πηλέως
ζητοῦντά νιν παῖδ' ἐν πύλαις Ἀχιλλέα;
οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
οἳ μὲν γὰρ ἡμῶν, ὄντες ἄζυγες γάμων,
οἴκους ἐρήμους ἐκλιπόντες ἐνθάδε
θάσσουσ' ἐπ' ἀκταῖς, οἳ δ' ἔχοντες εὔνιδας
ἄπαιδες· οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
τῆσδε στρατείας Ἑλλάδ' οὐκ ἄνευ θεῶν.
τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών,
ἄλλος δ' ὁ χρῄζων αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
γῆν γὰρ λιπὼν Φάρσαλον ἠδὲ Πηλέα
μένω 'πὶ λεπταῖς ταισίδ' Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων· οἳ δ' ἀεὶ προσκείμενοι
λέγουσ'· Ἀχιλλεῦ, τί μένομεν; πόσον χρόνον
ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἰλίου στόλον;

795 *ἔτυχε* primitus L 795 sq. *Λήδα* delevi: *ὡς ἔτεκεν Λήδα σ'* Elmsley: *ὡς ἔτυχεν Λήδα ⟨μιγεῖσ'⟩ ὄρνιθι πταμένῳ* Scaliger *ὄρνιθ' ἱπταμένω* L P 797 *ἀλλάχθη* L P 798 *πιερίσι* L P (*πιεροῖσι* primitus P) 802 *τὸν* L² P²: *τῶν* L P 804 *εὐρίππου* P *πέλας* Barnes: *πύλας* L P: *πνοάς;* Hermann, cl. v. 813 807 *ἀκταῖς* Markland: *ἀκτὰς* L P 807 sq. fortasse aut *οἳ δ' ἔχοντες εὔνιδας καὶ παῖδας* (Musgrave) aut *οἱ δ' ἔχοντες εὔνιδες ἄπαιδες* ('*etiam qui habent soli et orbi sunt*') 808 fortasse *ἐσπέπτωκ'* 809 Ἑλλάδ' Scaliger et, ut vid., L: cf. Soph. O. C. 942: *ἑλλάδι γ'* L² P 812: *Φάρσαλον* P²: *φαρσάλιον* L P: fortasse *Φαρσαλίδ'* post h. v. in P tres lineae vacuae 813 *ταισίδ'* Blomfield: *ταῖσδε γ'* L P *εὐρίπου* L²: *εὐρίππου* L P *πνοαῖς*] *πύλαις* Hermann, cf. 804 814 *οἳ δ'* Monk: *οἵ μ'* L P, fortasse recte 815 *πόσον* Monk (ex apogr.): *ποῖον* L P 816 *πρὸς Ἰλίου* L P: *πρὸς Ἴλιον* L² P²: *τὸν Ἰλίου* England: fortasse *πρὸς* adverbium est

δρᾶ γ', εἴ τι δράσεις, ἢ ἄπαγ' οἴκαδε στρατόν,
τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.
Κλ. ὦ παῖ θεᾶς Νηρῇδος, ἔνδοθεν λόγων
τῶν σῶν ἀκούσασ' ἐξέβην πρὸ δωμάτων.
Αχ. ὦ πότνι' αἰδώς, τήνδε τίνα λεύσσω ποτὲ
γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;
Κλ. οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οἷς μὴ πάρος
προσῆκες· αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.
Αχ. τίς δ' εἶ; τί δ' ἦλθες Δαναϊδῶν ἐς σύλλογον,
γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;
Κλ. Λήδας μέν εἰμι παῖς, Κλυταιμήστρα δέ μοι
ὄνομα, πόσις δέ μοὐστὶν Ἀγαμέμνων ἄναξ.
Αχ. καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.
Κλ. μεῖνον—τί φεύγεις;—δεξιάν τ' ἐμῇ χερὶ
σύναψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.
Αχ. τί φῄς; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἂν
Ἀγαμέμνον', εἰ ψαύοιμεν ὧν μή μοι θέμις.
Κλ. θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.
Αχ. ποίους γάμους φῄς; ἀφασία μ' ἔχει, γύναι·
εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον;
Κλ. πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
καινοὺς ὁρῶσι καὶ γάμου μεμνημένοις.
Αχ. οὐπώποτ' ἐμνήστευσα παῖδα σήν, γύναι,
οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.

817 *δρᾶ γ'* P²: *δρᾶ* L P: *δρᾶ δ'* Fix 818 *μελήματα* P² 819 *νηρηΐδος* L P 823–853 paragraphi pro notis in L 823 *οἷς* Nauck: *οὓς* L P 824 *προσῆκες* Nauck: *προσέβης* L P²: *προσέβης ἂν* L² P: *γρ. κατεῖδες* manus *p* non alias obvia nisi forte in Danaae fragmento 825 *τίς εἶ* Bothe 828 *μοι 'στιν* L P 831 *μεῖνον* Valckenaer: *δεινὸν* L P *τ'* Markland: *γ'* L P 832 *μακαρίων* Markland 833 *αἰδούμεθ'* P 834 *ψαύοιμεν ἂν ὧν* L P: *ἂν* del. *p* vel P² 835 *γαμοῖς* L P: corr. *p* 837 *φῄς* Barnes: *ἔφησθ'* L P 840 *μεμνημένους* ed. Commelin.

Κλ. τί δῆτ᾽ ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
θαύμαζ᾽· ἐμοὶ γὰρ θαύματ᾽ ἐστὶ τὰ παρὰ σοῦ.
Αχ. εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
ἄμφω γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.
Κλ. ἀλλ᾽ ἦ πέπονθα δεινά; μνηστεύω γάμους
οὐκ ὄντας, ὥς εἴξασιν· αἰδοῦμαι τάδε.
Αχ. ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις·
ἀλλ᾽ ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.
Κλ. χαῖρ᾽· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ᾽ ἔτ᾽ εἰσορῶ,
ψευδὴς γενομένη καὶ παθοῦσ᾽ ἀνάξια.
Αχ. καὶ σοὶ τόδ᾽ ἐστὶν ἐξ ἐμοῦ· πόσιν δὲ σὸν
στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

Πρ. ὦ ξέν᾽, Αἰακοῦ γένεθλον, μεῖνον· ὦ, σέ τοι λέγω,
τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σέ, τὴν Λήδας κόρην.
Αχ. τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ.
Πρ. δοῦλος, οὐχ ἁβρύνομαι τῷδ᾽· ἡ τύχη γάρ οὐκ ἐᾷ.
Αχ. τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ καὶ ᾽Αγαμέμνονος.
Πρ. τῆσδε τῆς πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.
Αχ. ἕσταμεν· φράζ᾽, εἴ τι χρῄζεις, ὧν μ᾽ ἐπέσχες οὕνεκα.
Πρ. ἦ μόνω παρόντε δῆτα ταῖσδ᾽ ἐφέστατον πύλαις;
Αχ. ὡς μόνοιν λέγοις ἄν, ἔξω δ᾽ ἐλθὲ βασιλείων δόμων.
Πρ. ὦ Τύχη πρόνοιά θ᾽ ἡμή, σῴσαθ᾽ οὓς ἐγὼ θέλω.
Αχ. ὁ λόγος ἐς μέλλοντ᾽ †ἂν ὤσῃ† χρόνον· ἔχει δ᾽ ὄγκον
τινά.
Κλ. δεξιᾶς ἕκατι μὴ μέλλ᾽, εἴ τί μοι χρῄζεις λέγειν.

844 τἀπὸ σοῦ Dobree, cf. 1214: fortasse σοῦ πάρα 846 γὰρ ἐψευδόμεθα apogr. Paris. 847 ἢ L P 848 ἐοίκασιν suprascr. L² 850 ἀμελία P²: ἀμελεία L P 851 σ᾽ om. L P: add. P² 855 sqq. ΠΡΕΣΒΥΤΗΣ Markland: θεράπων L P 855 ὦ σέ Markland: ὡς σέ L P 857 τεταρβηκὸς England 858 τῷδ᾽] τόδ᾽ suprascr. L² οὐκ apogr. Paris.: μ᾽ οὐκ L P 860 τῆσδε τῆς L: τῶνδε τῶν P 862–865 paragraphi praef. in L P 862 παρόντε Bothe: πάροιθεν L P ταῖσδ᾽ L: παῖς δ᾽ P: παῖ δ᾽ P² vel *p* 863 μόνοιν Markland: μόνοις L P βασιλικῶν Matthiae 864 σῴσαθ᾽ Musgrave: σώσασ᾽ L: σώσας P: σῶσον *p* 865 ἂν ὤσῃ] ἀνοίσει Markland: μέλλοντα σώσει Monk 866 μέλλ᾽ L²: μέλ᾽ L P

Πρ. οἶσθα δῆτ' ἔμ', ὅστις ὢν σοὶ καὶ τέκνοις εὔνους ἔφυν;
Κλ. οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.
Πρ. χὤτι μ' ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ;
Κλ. ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν καὶ ἐμὸς ἦσθ' ἀεί ποτε.
Πρ. ὧδ' ἔχει. καὶ σοὶ μὲν εὔνους εἰμί, σῷ δ' ἧσσον πόσει.
Κλ. ἐκκάλυπτε νῦν ποθ' ἡμῖν οὕστινας λέγεις λόγους.
Πρ. παῖδα σὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτενεῖν.
Κλ. πῶς; ἀπέπτυσ', ὦ γεραιέ, μῦθον· οὐ γὰρ εὖ φρονεῖς.
Πρ. φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην.
Κλ. ὦ τάλαιν' ἐγώ. μεμηνὼς ἆρα τυγχάνει πόσις;
Πρ. ἀρτίφρων, πλὴν ἐς σὲ καὶ σὴν παῖδα· τοῦτο δ' οὐ φρονεῖ.
Κλ. ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;
Πρ. θέσφαθ', ὥς γέ φησι Κάλχας, ἵνα πορεύηται στρατός.
Κλ. ποῖ; τάλαιν' ἐγώ, τάλαινα δ' ἣν πατὴρ μέλλει κτενεῖν.
Πρ. Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.
Κλ. εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;
Πρ. πάντ' ἔχεις· Ἀρτέμιδι θύσειν παῖδα σὴν μέλλει πατήρ.
Κλ. ὁ δὲ γάμος τίν' εἶχε πρόφασιν, ᾧ μ' ἐκόμισεν ἐκ δόμων;
Πρ. ἵν' ἀγάγοις χαίρουσ' Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.
Κλ. ὦ θύγατερ, ἥκεις ἐπ' ὀλέθρῳ καὶ σὺ καὶ μήτηρ σέθεν.
Πρ. οἰκτρὰ πάσχετον δύ' οὖσαι· δεινὰ δ' Ἀγαμέμνων ἔτλη.
Κλ. οἴχομαι τάλαινα, δακρύων τ' ὄμματ' οὐκέτι στέγω.

867 δῆτ' ἔμ'] δῆτά μ' Porson : δῆτά γ' L^2 P^2 : δῆθ' L P 868 παλαιὸν Musurus : παλαιῶν L P 869 μ' ἐν ταῖς in rasura L^2 : με ταῖς P : δή με ταῖς ut vid. *p* σαῖσι L^2 : σαῖς L P 870–896 paragraphi pro notis in L P 870 εἰς L^2 : ἐς L P καὶ ἐμὸς L : καὶ ἐμοὶ P 872 νῦν L P : sed suprascr. δὴ (i. e. νυν) L^2 λέγεις] στέγεις F. Gu. Schmidt 873 κτενεῖν Elmsley : κτανεῖν L P 876 ἄρα L P 880 κτενεῖν Elmsley : κτανεῖν L P 881 λάβῃ P^2 : λάβοι L P 884 τίν' εἶχε τὴν πρόφασιν P^2 vel *p* ᾧ Musgrave : ᾗ L P ἐκόμισ' L P 885 ἀγάγοις Blomfield : ἀγάγῃς L P νυμφεύουσα L P : corr. Barnes 886 καὶ σὺ Musurus : καὶ σὴ L P : καὶ erasum in L 887 δύ' ὄντε Wecklein 888 δακρύων P (vel P^2) : δάκρυον L^2 : δάκρυ L et fortasse P τ' οἶματ' Tucker : νάματ' Hense στεγω L P : στέγει *lp*

Πρ. εἴπερ ἀλγεινὸν τὸ τέκνων στερόμενον, δακρυρρόει.
Κλ. σὺ δὲ τάδ', ὦ γέρον, πόθεν φῂς εἰδέναι πεπυσμένος;
Πρ. δέλτον ᾠχόμην φέρων σοι πρὸς τὰ πρὶν γεγραμμένα.
Κλ. οὐκ ἐῶν ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;
Πρ. μὴ μὲν οὖν ἄγειν· φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ' εὖ.
Κλ. κᾆτα πῶς φέρων γε δέλτον οὐκ ἐμοὶ δίδως λαβεῖν;
Πρ. Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.
Κλ. ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;
Αχ. ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ' ἐμὸν οὐ φαύλως φέρω.
Κλ. παῖδά μου κατακτενοῦσι σοῖς δολώσαντες γάμοις.
Αχ. μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.
Κλ. οὐκ ἐπαιδεσθήσομαί γε προσπεσεῖν τὸ σὸν γόνυ,
θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
ἢ τίνος σπουδαστέον μοι μᾶλλον ἢ τέκνου πέρι;
ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυσπραξίᾳ
τῇ τε λεχθείσῃ δάμαρτι σῇ—μάτην μέν, ἀλλ' ὅμως.
σοὶ καταστέψασ' ἐγώ νιν ἦγον ὡς γαμουμένην,
νῦν δ' ἐπὶ σφαγὰς κομίζω· σοὶ δ' ὄνειδος ἵξεται,
ὅστις οὐκ ἤμυνας· εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
πρὸς γενειάδος ⟨σε⟩, πρός σε δεξιᾶς, πρὸς μητέρος—
ὄνομα γὰρ τὸ σόν μ' ἀπώλεσ', ᾧ σ' ἀμυναθεῖν χρεών—
οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον ἢ τὸ σὸν γόνυ·
οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι· τὰ δ' Ἀγαμέμνονος κλύεις,
ὠμὰ καὶ πάντολμ'· ἀφῖγμαι δ', ὥσπερ εἰσορᾷς, γυνὴ

889 *στερόμενον, δακρυρρόει* Weil: *στερομένην δακρυρροεῖν* L P 890 *πεπυσμένος* L² P²: *πεπυσμένα* L P 895 *ὃς τῶν κακῶν* L P: *τῶν* del. L² P² (vel *l* P²) 897 *σε*] *γε* P² 899 del. Hennig 900 fortasse *κοὐκ* 901 *γεγῶτος* ut vid. L² 902 *ἢ* Porson: *ἐπὶ* L P *μοι σπουδαστέον* L P; trai. L² P² vel *l p* 906 *ἵζεται* primitus P 907 *μὴ*] *οὐ* Wecklein 909 *σε, πρός σε* Markland: *πρὸς σῆς* L P *πρὸς μητέρος* L: *πρός τε μητέρος* L² P 910 *ἀμυνάθειν* L P 911 *ἄλλον* L: *ἄλλ'* P 912 *γελᾷ*] *πέλας* Markland

ναυτικὸν στράτευμ' ἄναρχον κἀπὶ τοῖς κακοῖς θρασύ . . .
χρήσιμον δ', ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃς σύ μου
χεῖρ' ὑπερτεῖναι, σεσῴσμεθ'· εἰ δὲ μή, οὐ σεσῴσμεθα.

Χο. δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα
πᾶσίν τε κοινὸν ὥσθ' ὑπερκάμνειν τέκνων.

Αχ. ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω·
ἐπίσταμαι δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾶν
μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.
λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶν βροτῶν
ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.
ἔστιν μὲν οὖν ἵν' ἡδὺ μὴ λίαν φρονεῖν,
ἔστιν δὲ χὤπου χρήσιμον γνώμην ἔχειν.
ἐγὼ δ', ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
πεισόμεθ', ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
ἀλλ' ἐνθάδ' ἐν Τροίᾳ τ' ἐλευθέραν φύσιν
παρέχων, Ἄρη τὸ κατ' ἐμὲ κοσμήσω δορί.
σὲ δ', ὦ σχέτλια παθοῦσα πρὸς τῶν φιλτάτων,
ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
ἐμὴ φατισθεῖσ'· οὐ γὰρ ἐμπλέκειν πλοκὰς
ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
τοὔνομα γάρ, εἰ καὶ μὴ σίδηρον ἤρατο,
τοὐμὸν φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον
πόσις σός. ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμόν,

916 σεσώσμεθ' . . . σεσώσμεθα L P   919–974 aliquot locos in hac oratione interpolatoribus tribuunt vv. docti, praesertim 919–925, vel saltem 922 sq., 932–934, 946 sq., 952–954, 962–974 : frustra, me iudice   920 ἐπίσταμαι Musgrave : ἐπίσταται L P   922 sq. Choro trib. L P : corr. Burges   εἰσὶ vel εἰσι L P   929 οὐ πείσομαι L² : οὐ πεισόμεθα L P   931 Ἄρη suprascr. ἄρει in textu L P   τὸ Brodeau : τῶ L P   932 παθοῦσα σχέτλια Barnes   935 οὔποτε England   938 καὶ μὴ Musurus : μὴ καὶ L P   ἠράμην Nauck : cf. v. 920   940 ἄγνὸς P

εἰ δι' ἔμ' ὀλεῖται διά τε τοὺς ἐμοὺς γάμους
ἡ δεινὰ τλᾶσα κοὐκ ἀνεκτὰ παρθένος,
θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνήρ,
ἐγὼ τὸ μηδέν, Μενέλεως δ' ἐν ἀνδράσιν,
ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγώς,
εἴπερ φονεύει τοὐμὸν ὄνομα σῷ πόσει.
μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον
Νηρέα, φυτουργὸν Θέτιδος ἥ μ' ἐγείνατο,
οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ,
οὐδ' εἰς ἄκραν χεῖρ', ὥστε προσβαλεῖν πέπλοις·
ἢ Σίπυλος ἔσται πόλις, ὅρισμα βαρβάρων,
ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
Φθίας δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.
πικροὺς δὲ προχύτας χέρνιβάς τ' ἀνάξεται
Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ' ἀνήρ,
ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
τυχών, ὅταν δὲ μὴ τύχῃ, διοίχεται;
οὐ τῶν γάμων ἕκατι—μυρίαι κόραι
θηρῶσι λέκτρον τοὐμόν—εἴρηται τόδε·
ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ.
χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
θήραμα παιδός· ἡ Κλυταιμήστρα δ' ἐμοὶ
μάλιστ' ἐπείσθη θυγατέρ' ἐκδοῦναι πόσει.
ἔδωκά τἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
ἐν τῷδ' ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ' ἂν
τὸ κοινὸν αὔξειν ὧν μέτ' ἐστρατευόμην.

945 δ' suprascr. L : τ' L P 947 εἴπερ Musurus : ὅσπερ L P, sed teste Prinzio ὅσ in ras. in P φονεύσει Schaefer 952 μέγα, πόλισμα Markland : πόλις, ἔρεισμα Hartung 954 Φθίας δὲ τοὔνομ' Jacobs : φθία δὲ τοὐμόν τ' L P : τ' del. *p* 955 ἐνάρξεται Musgrave : sed vid. Stengel, Opferbraüche p. 48 959 οὐ Lenting : ἢ et ἦ L : ἦ P γάμων Canter : γαμούντων L P 961 ἐς delebat Hartung 963 δέ μοι L P 964 ἐκδοῦναι L P, sed ἐκ fortasse postmodo inseruit ipse L 965 ἔδωκα Hervag. secunda : ἔδωκε L P τ' ἂν L P

νῦν δ᾽ οὐδέν εἰμι, παρὰ δὲ τοῖς στρατηλάταις
ἐν εὐμαρεῖ με δρᾶν τε καὶ μὴ δρᾶν κακῶς.
τάχ᾽ εἴσεται σίδηρος, ὃν πρὶν ἐς Φρύγας
ἐλθεῖν, †φόνου κηλῖσιν αἵματι† χρανῶ,
εἴ τίς με τὴν σὴν θυγατέρ᾽ ἐξαιρήσεται.
    ἀλλ᾽ ἡσύχαζε· θεὸς ἐγὼ πέφηνά σοι
μέγιστος, οὐκ ὤν· ἀλλ᾽ ὅμως γενήσομαι.
Χο. ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ᾽ ἄξια
καὶ τῆς ἐναλίας δαίμονος, σεμνῆς θεοῦ.
Κλ. φεῦ·
πῶς ἄν σ᾽ ἐπαινέσαιμι μὴ λίαν λόγοις,
μηδ᾽ ἐνδεὴς τοῦδ᾽ ἀπολέσαιμι τὴν χάριν;
αἰνούμενοι γὰρ οἱ ἀγαθοὶ τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ᾽ ἄγαν.
αἰσχύνομαι δὲ παραφέρουσ᾽ οἰκτροὺς λόγους,
ἰδίᾳ νοσοῦσα· σὺ δ᾽ ἄνοσος κακῶν ἐμῶν.
ἀλλ᾽ οὖν ἔχει τοι σχῆμα, κἂν ἄπωθεν ᾖ
ἀνὴρ ὁ χρηστός, δυστυχοῦντας ὠφελεῖν.
οἴκτιρε δ᾽ ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν·
ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ᾽ ἔχειν,
κενὴν κατέσχον ἐλπίδ᾽· εἶτά σοι τάχα
ὄρνις γένοιτ᾽ ἂν τοῖσι μέλλουσιν γάμοις
θανοῦσ᾽ ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
    ἀλλ᾽ εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη·
σοῦ γὰρ θέλοντος παῖς ἐμὴ σωθήσεται.
    βούλῃ νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
ἀπαρθένευτα μὲν τάδ᾽· εἰ δέ σοι δοκεῖ,

968 δὲ Hermann : γε L P   969 με Tournier : τε L P   κακῶς Kirchhoff : καλῶς L P   970 σίδηρος L² P² : σίδηρον P et ut vid. L   971 αἵματι] fortasse αἱματὶν, si forma sana cf. Arist. Color. 797ᵃ 6 : Ἕλληνος Herwerden   978 μηδ᾽ Dindorf : μήτ᾽ L P   ἐνδεὴς L² : ἐνδεῶς L P   τοῦδ᾽ Markland : μὴ τοῦδ᾽ L P   μηδ᾽ ἐνδεῶς που διολέσαιμι Weil   979 ἀγαθοὶ L P : οἱ add. p   980 ἢν] ἐὰν p   985 cf. El. 672   981 προσφέρουσ᾽ Hartung   982 κακῶν γ᾽ L P : γ᾽ del. Musurus

ἥξει, δι' αἰδοῦς ὄμμ' ἔχουσ' ἐλεύθερον.
εἰ δ' οὐ παρούσης ταὐτὰ τεύξομαι σέθεν,
μενέτω κατ' οἴκους· σεμνὰ γὰρ σεμνύνεται.
ὅμως δ' ὅσον γε δυνατὸν αἰδεῖσθαι χρεών.
Αχ. σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμήν,
μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι·
στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
πάντως δέ μ' ἱκετεύοντέ θ' ἥξετ' εἰς ἴσον,
εἴ τ' ἀνικέτευτος· εἷς ἐμοὶ γάρ ἐστ' ἀγὼν
μέγιστος ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
ὡς ἕν γ' ἀκούσασ' ἴσθι, μὴ ψευδῶς μ' ἐρεῖν·
ψευδῆ λέγων δὲ καὶ μάτην ἐγκερτομῶν,
θάνοιμι· μὴ θάνοιμι δ', ἢν σῴσω κόρην.
Κλ. ὄναιο συνεχῶς δυστυχοῦντας ὠφελῶν.
Αχ. ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς.
Κλ. τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου.
Αχ. †πείθωμεθ' αὖτις† πατέρα βέλτιον φρονεῖν.
Κλ. κακός τίς ἐστι καὶ λίαν ταρβεῖ στρατόν.
Αχ. ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.
Κλ. ψυχρὰ μὲν ἐλπίς· ὅ τι δὲ χρή με δρᾶν φράσον.
Αχ. ἱκέτευ' ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα·
ἢν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
ᾗ γὰρ τὸ χρῇζον ἐπίθετ', οὐ τοὐμὸν χρεὼν

994 ἐρευθιῶν post Burgesium Wecklein 995 εἰ δ' οὐ Hartung : ἰδοὺ L P ταῦτα L P 996 Achilli, 997 Clytaemestrae trib. L P : corr. Elmsley 997 del. Nauck : 998–1035 interpolatori trib. Paley 1002 ἱκετεύοντέ θ' Wecklein : ἱκετεύοντες L P ἥξετ' P² : ἔξετ' L P 1003 ἐπ' ἀνικετεύτῳ (vel ἀνικετεύτοις) θ' Weil : εἴ τ' ἀνικετεύτως Nauck εἷς Nauck : ᾗσ L P 1005–1007 del. Conington 1007 θάνοιμι μὴ] θάνοι μὴ primitus P 1008 συνεχῶς L² P : συνεχ** L 1009 δὴ νῦν L P ἔχῃ L P² : ἔχει L² P 1011 πειθώμεθ' L P¹ : πείθωμεν L² : πεισώμεθ' primitus P : πεῖσον μεταῦθις England, sed μεταῦθις non Euripideum : possis πεῖσον μετ' αὐτῆς vel πεῖθ', ὡς μετ' αὐτῆς : πειθὼ μὲν . . . ; Vitelli 1013 οἱ L P : οὖν Markland λόγους] φόβους Musgrave 1014 ψυχὰ primitus P ὅ τι Reiske : τί L P 1016 ἢν Markland : ἂν L P 1017–1023 interpolatoribus trib. Dindorf 1017 ᾗ Weil : εἴη L P : εἰ P² vel p ἐπύθετ' p totius versus lectio dubia

χωρεῖν· ἔχει γὰρ αὐτὸ τὴν σωτηρίαν.
κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι,
στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
λελογισμένως πράσσοιμι μᾶλλον ἢ σθένει.
†καλῶς δὲ κρανθέντων [καὶ] πρὸς ἡδονὴν φίλοις
σοί τ' ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.†
Κλ. ὡς σώφρον' εἶπας. δραστέον δ' ἅ σοι δοκεῖ.
ἢν δ' αὖ τι μὴ πράσσωμεν ὧν ἐγὼ θέλω,
ποῦ σ' αὖθις ὀψόμεσθα, ποῦ; χρή μ' ἀθλίαν
ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;
Αχ. ἡμεῖς σε φύλακες οὗ χρεὼν φυλάξομεν,
μή τις σ' ἴδῃ στείχουσαν ἐπτοημένην
Δαναῶν δι' ὄχλου· μηδὲ πατρῷον δόμον
αἴσχυν'· ὁ γάρ τοι Τυνδάρεως οὐκ ἄξιος
κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.
Κλ. ἔστιν τάδ'· ἄρχε· σοί με δουλεύειν χρεών.
εἰ δ' εἰσὶ θεοί, δίκαιος ὢν ἀνὴρ ⟨θεῶν⟩
ἐσθλῶν κυρήσεις· εἰ δὲ μή, τί δεῖ πονεῖν;

Χο. τίν' ἄρ' Ὑμέναιος διὰ λωτοῦ Λίβυος [στρ.
μετά τε φιλοχόρου κιθάρας
συρίγγων θ' ὑπὸ καλαμοεσ-
σᾶν ἔστασεν ἰαχάν,
ὅτ' ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι
δαιτὶ θεῶν ἔνι Πιερίδες
χρυσεοσάνδαλον ἴχνος

1018 *αὐτὸ* Kirchhoff: *τοῦτο* L P 1021 *σθένω* suprascr. L² 1022 *καὶ* deletum in L fortasse *καλῶς δὲ κρανθὲν κἂν ἐμοῦ χωρὶς τόδε σοί τ' ἂν γένοιτο καὶ φίλοις πρὸς ἡδονήν* post Stadtmuellerum 1024 *ὡς* L² P²: *ὦ* L P, quo recepto *εἶπας* scribendum, cf. Philem. fr. 42 K. 1025 *αὖ τι μὴ πράξωμεν ὧν* Monk: *αὐτὰ μὴ πράσσωμεν ἂν* L P 1026 *ὀψόμεθα* primitus L *ποῦ;*]; *ποῖ* Wecklein 1028 *φύλακος οὗ χρέος* England *φυλάξομεν* Markland: *φυλάσσομεν* L P 1033 *ἔσται* Markland 1034 *θεῶν* suppl. Vitelli: *σύ γε l*: om. L P 1036 *τίς ἄρ' ὑμέναιος* L P: corr. Markland: *τίν' ἄρ' ὑμεναίων* Wecklein 1038 *καλαμόεσσαν* L P 1039 *ἔστασαν* L P (*ἔστησαν* suprascr. L): corr. Portus 1040 *ὅτ' ἀνὰ* L² P²: *ὅταν ἀνὰ* P et sine dubio L 1041 *πιερίδες ἐν δαιτὶ θεῶν* L P: traieci: cf. 1063

ἐν γᾷ κρούουσαι
Πηλέως ἐς γάμον ἦλθον,
μελῳδοῖς Θέτιν ἀχήμασι τόν τ' Αἰακίδαν,
Κενταύρων ἐν ὄρεσι κλέουσαι
Πηλιάδα καθ' ὕλαν.
ὁ δὲ Δαρδανίδας, Διὸς
λέκτρων τρύφημα φίλον,
χρυσέοισιν ἄφυσσε λοιβὰν
ἐν κρατήρων γυάλοις,
ὁ Φρύγιος Γανυμήδης.
παρὰ δὲ λευκοφαῆ ψάμαθον
εἱλισσόμεναι κύκλια
πεντήκοντα κόραι γάμους
Νηρέως ἐχόρευσαν.

ἀνὰ δ' ἐλάταισι στεφανώδει τε χλόᾳ [ἀντ.
θίασος ἔμολεν ἱπποβάτας
Κενταύρων ἐπὶ δαῖτα τὰν
θεῶν κρατῆρά τε Βάκχου.
μέγα δ' ἀνέκλαγον· Ὦ Νηρηὶ κόρα,
παῖδα σὲ Θεσσαλίᾳ μέγα φῶς
μάντις ὁ φοιβάδα μοῦσαν
εἰδὼς γεννάσειν
Χείρων ἐξονόμαζεν,
ὃς ἥξει χθόνα λογχήρεσι σὺν Μυρμιδόνων
ἀσπισταῖς Πριάμοιο κλεινὰν

1044 πηλέος L   1045 μελῳδοῖς . . . ἀχήμασι Elmsley: μελωδοὶ . . . ἰαχήμασι L P   1046 ἀν' ὄρος Hermann: possis ἐν ὄρει κλέουσαι Monk: κλύουσαι L P   1050 φίλον Musurus: φίλιον L P   1056 sq. γάμους Νηρέως Fritzsche: νηρέως (νηρῆος L^2 P^2) γάμους L P   1058 στεφάνω δεῖ L^2 1059 ἱπποβότας L P: corr. Gomperz   1062 νηρηεῖ, ut videtur, primitus L P   1063 παῖδα σὲ Θεσσαλίᾳ post Kirchhoffium Weil: παῖδες αἱ θεσσαλαὶ L P   1064 sq. ὁ φοιβάδα μοῦσαν Hermann: δ' ὁ φοῖβα μοῦσαν L P: ὁ φοῖβος ὁ μοῦσαν τ' L^2 P^2 1065 γεννάσειν Weil: γεννάσεις L P: γεννήσεις suprascr. L^2 P^2 1066 ἐξονόμαζεν Monk: ἐξωνόμασεν L P: ἐξωνόμασσεν P^2 1068 λογχήρεσσι P et primitus L   1069 ἀσπισταῖσι L^2

γαῖαν ἐκπυρώσων,
περὶ σώματι χρυσέων
ὅπλων Ἡφαιστοπόνων
κεκορυθμένος ἔνδυτ', ἐκ θεᾶς
ματρὸς δωρήματ' ἔχων
Θέτιδος, ἅ νιν ἔτικτεν.
μακάριον τότε δαίμονες
τᾶς εὐπάτριδος γάμον
Νηρῄδων ἔθεσαν πρώτας
Πηλέως θ' ὑμεναίους.

— σὲ δ' ἐπὶ κάρα στέψουσι καλλικόμαν
πλόκαμον Ἀργεῖοι, βαλιὰν
ὥστε πετραίων ἀπ' ἄντρων
†ἐλθοῦσαν ὀρέων†
μόσχον ἀκήρατον, βρότειον
αἱμάσσοντες λαιμόν·
οὐ σύριγγι τραφεῖσαν οὐδ'
ἐν ῥοιβδήσεσι βουκόλων,
παρὰ δὲ ματέρι νυμφοκόμον
Ἰναχίδαις γάμον.
ποῦ τὸ τᾶς Αἰδοῦς
ἢ τὸ τᾶς Ἀρετᾶς ἔχει
σθένειν τι πρόσωπον,
ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
δύνασιν, ἁ δ' Ἀρετὰ κατόπι-
σθεν θνατοῖς ἀμελεῖται,
Ἀνομία δὲ νόμων κρατεῖ,

1070 Ἰλιάδα πυρώσων England 1073 ἐνδύτ' Dindorf 1075 ἔτικτεν L²: ἔτικτε L P 1078 Νηρῄδων Heath: νηρῆδος L P: νηρηΐδος L² P² πρώτας] ης suprascr. L² 1080 σὲ δ', ὦ κόρα Hermann 1081 βαλιὰν Scaliger: γ' ἁλιᾶν L P 1082 ὀρέων del. Dindorf: fortasse ἔλαφον ἢ σ' ὀρείαν post Monkium 1086 ῥοιβδήσει L P: corr. Dobree 1087 μητέρι L P νυμφόκομον Reiske 1090 ἔχει Bothe: δύνασιν ἔχει L P: cf. 1093 1093 δύνασιν Bothe: δύναμιν L P

καὶ ⟨μὴ⟩ κοινὸς ἀγὼν βροτοῖς
μή τις θεῶν φθόνος ἔλθῃ;

Κλ. ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,
χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας.
ἐν δακρύοισι δ' ἡ τάλαινα παῖς ἐμή,
πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
θάνατον ἀκούσασ', ὃν πατὴρ βουλεύεται.
μνήμην δ' ἄρ' εἶχον πλησίον βεβηκότος
Ἀγαμέμνονος τοῦδ', ὃς ἐπὶ τοῖς αὑτοῦ τέκνοις
ἀνόσια πράσσων αὐτίχ' εὑρεθήσεται.
Αγ. Λήδας γένεθλον, ἐν καλῷ σ' ἔξω δόμων
ηὕρηχ', ἵν' εἴπω παρθένου χωρὶς λόγους
οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.
Κλ. τί δ' ἔστιν, οὗ σοι καιρὸς ἀντιλάζυται;
Αγ. ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα·
ὡς χέρνιβες πάρεισιν εὐτρεπισμέναι,
προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν,
μόσχοι τε, πρὸ γάμων ἃς θεᾷ πεσεῖν χρεών.
['Αρτέμιδι, μέλανος αἵματος φυσήματα.]
Κλ. τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ' ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
χώρει δέ, θύγατερ, ἐκτός—οἶσθα γὰρ πατρὸς
πάντως ἃ μέλλει—χὐπὸ τοῖς πέπλοις ἄγε
λαβοῦσ' Ὀρέστην, σὸν κασίγνητον, τέκνον.
ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.

1096 μὴ add. Hermann 1098–1105 et plura usque ad 1213 suspecta Weckleinio: 1117–1123 del. Paley: 1122–1126 del. Bremi: 1178–1208, 1264–1275 interpolatori trib. Dindorf, alii 1098 προσσκοπουμένη L et primitus P 1099 ἀπόντ' ἐκλελοιπότα L P: corr. L² P² 1100 ἐδακρύοισί P δ' Markland: θ' L P 1101 ἱεῖσα πολλὰς Blaydes 1107 εὕρηχ' L P 1111 ηὐτρεπισμένοι L P (-έναι P²): vid. Praefat. 1112 καθάρειον L P: corr. Reiske: ἐκ add. L² P² χεροῖν Musgrave: χερῶν L P: χερί Wecklein 1114 del. England φυσσήματα L P, sed φυσήματα primitus L 1115 ὀνόμασι L P: corr. P² 1117 χώρει δὲ ut videtur, L P: δὲ del. *l* 1118 μέλλει γε χὐπὸ L² P² τοῖς] σοῖς Matthiae

τὰ δ' ἄλλ' ἐγὼ πρὸ τῆσδε κἀμαυτῆς φράσω.
Αγ. τέκνον, τί κλαίεις, οὐδ' ἔθ' ἡδέως ὁρᾷς,
ἐς γῆν δ' ἐρείσασ' ὄμμα πρόσθ' ἔχεις πέπλους;
Κλ. φεῦ·
τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
ἅπασι γὰρ πρώτοισι χρήσασθαι πάρα
κἀν ὑστάτοισι κἀν μέσοισι πανταχοῦ.
Αγ. τί δ' ἔστιν; ὥς μοι πάντες εἰς ἓν ἥκετε,
σύγχυσιν ἔχοντες καὶ ταραγμὸν ὀμμάτων.
Κλ. εἴφ' ἂν ἐρωτήσω σε γενναίως, πόσι.
Αγ. οὐδὲν κελευσμοῦ δεῖ σ'· ἐρωτᾶσθαι θέλω.
Κλ. τὴν παῖδα τὴν σὴν τήν τ' ἐμὴν μέλλεις κτενεῖν;
Αγ. ἔα·
τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ' ἃ μή σε χρή.
Κλ. ἔχ' ἥσυχος.
κἀκεῖνό μοι τὸ πρῶτον ἀπόκριναι πάλιν.
Αγ. σὺ δ', ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοις.
Κλ. οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.
Αγ. ὦ πότνια μοῖρα καὶ τύχη δαίμων τ' ἐμός.
Κλ. κἀμός γε καὶ τῆσδ', εἷς τριῶν δυσδαιμόνων.
Αγ. τίν' ἠδίκησαι; Κλ. τοῦτ' ἐμοῦ πεύθῃ πάρα;
ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.
Αγ. ἀπωλόμεσθα. προδέδοται τὰ κρυπτά μου.
Κλ. πάντ' οἶδα, καὶ πεπύσμεθ' ἃ σὺ μέλλεις με δρᾶν·
αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου

1121 πρὸ Barnes: πρὸς L P 1124 Κλ. praef. L P: Ιφ. *p* 1130 κέλευσμ' οὐ δεῖ (η super ει add. L[2]) L P: corr. Canter σ' Dobree: γ' LP: μ' Markland 1131 κτενεῖν Elmsley: κτανεῖν L P 1132 τλήμονά γ'] τλήμον primitus L: πλήμονά γ' P[2] θ' in ras. P[2] 1133–1140 paragraphi in L P 1134 εἰκότ' ἂν Markland: εἰκότα L P 1136 τύχη καὶ μοῖρα L P: trai. Musgrave καὶ δαίμων γ' *p* 1137 γε Matthiae: τε L P 1138 τίν' ἠδίκησαι P[2] et voluit L[2] (ἠδίκησε): τί μ' ἠδίκησε L P: τί σ' ἠδίκησα vel τίς σ' ἠδίκησε Markland: τί δ' ἠδίκησαι mavult Matthiae: fortasse τί ἠδίκησαι; cf. Hel. 56 necnon 456, Phoen. 878 1139 non 1140 paragraphum praef. L P: h. e. 1139 sq. Agamemnoni tribuunt: corr. Musurus 1141 πεπύσμεθ' ἃ σὺ Elmsley: πέπεισμ' (πέπεισμαι primitus L) ἃ σὺ L P: γε post σύ add. L[2] P[2]

καὶ τὸ στενάζειν· πολλὰ μὴ κάμῃς λέγων.
Αγ. ἰδοὺ σιωπῶ· τὸ γὰρ ἀναίσχυντον τί δεῖ
ψευδῆ λέγοντα προσλαβεῖν τῇ συμφορᾷ;
Κλ. ἄκουε δή νυν· ἀνακαλύψω γὰρ λόγους,
κοὐκέτι παρῳδοῖς χρησόμεσθ' αἰνίγμασιν.
πρῶτον μέν, ἵνα σοι πρῶτα τοῦτ' ὀνειδίσω,
ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ,
τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών·
βρέφος τε τοὐμὸν σῷ προσούδισας πάλῳ,
μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.
καὶ τὼ Διός σε παῖδ', ἐμὼ δὲ συγγόνω,
ἵπποισι μαρμαίροντ' ἐπεστρατευσάτην·
πατὴρ δὲ πρέσβυς Τυνδάρεώς σ' ἐρρύσατο
ἱκέτην γενόμενον, τἀμὰ δ' ἔσχες αὖ λέχη.
οὗ σοι καταλλαχθεῖσα περὶ σὲ καὶ δόμους
συμμαρτυρήσεις ὡς ἄμεμπτος ἦ γυνή,
ἔς τ' Ἀφροδίτην σωφρονοῦσα καὶ τὸ σὸν
μέλαθρον αὔξουσ', ὥστε σ' εἰσιόντα τε
χαίρειν θύραζέ τ' ἐξιόντ' εὐδαιμονεῖν.
σπάνιον δὲ θήρευμ' ἀνδρὶ τοιαύτην λαβεῖν
δάμαρτα· φλαύραν δ' οὐ σπάνις γυναῖκ' ἔχειν.
τίκτω δ' ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι
τόνδ', ὧν μιᾶς σὺ τλημόνως μ' ἀποστερεῖς.
κἄν τίς σ' ἔρηται τίνος ἕκατί νιν κτενεῖς,
λέξον, τί φήσεις; ἢ 'μὲ χρὴ λέγειν τὰ σά;
Ἑλένην Μενέλεως ἵνα λάβῃ. καλὸν †γένος†,
κακῆς γυναικὸς μισθὸν ἀποτεῖσαι τέκνα.

1143 κάμῃς Porson: κάμνης L P 1144 τί Elmsley: με L P 1146 δὴ νῦν L P γὰρ om. P: add. P²: ἀνακαλύψομεν Kirchhoff 1147 χρησώμεθ' primitus L: χρησόμεθ' P 1148 ὀνειδήσω primitus P 1151 σῷ . . . πάλῳ] ζῶν . . . πέδῳ Jacobs: sed sensus est '*eum in spoliis sortitus*' προσούδισας Scaliger: προσούρισας L: προσούδεσας P²: προσούρησας P 1153 σε Markland: γε L P δὲ Matthiae: τε L P 1158 ἦν L P 1160 ὥστε σ' Canter: ὥστ' L P 1164 τρισσὶ L P 1168 ἑλένην μενέλεως Faehse: ἑλένην μενέλαος L P: Μενέλαος Ἑλένην Elmsley, cf. Or. 20 γένος] γε νῷν Musgrave: γ' ἔπος Vitelli: γέ τοι Fix: possis γ' ὁ νοῦς,

τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα.
ἄγ', εἰ στρατεύσῃ καταλιπών μ' ἐν δώμασιν,
κἀκεῖ γενήσῃ διὰ μακρᾶς ἀπουσίας,
τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς;
ὅταν θρόνους τῆσδ' εἰσίδω πάντας κενούς,
κενοὺς δὲ παρθενῶνας, ἐπὶ δὲ δακρύοις
μόνη κάθωμαι, τήνδε θρηνῳδοῦσ' ἀεί·
Ἀπώλεσέν σ', ὦ τέκνον, ὁ φυτεύσας πατήρ,
αὐτὸς κτανών, οὐκ ἄλλος οὐδ' ἄλλῃ χερί,
τοιόνδε ⟨νόστον⟩ καταλιπὼν πρὸς τοὺς δόμους.
ἐπεὶ βραχείας προφάσεως ἔδει μόνον,
ἐφ' ᾗ σ' ἐγὼ καὶ παῖδες αἱ λελειμμέναι
δεξόμεθα δέξιν ἥν σε δέξασθαι χρεών.
μή δῆτα πρὸς θεῶν μήτ' ἀναγκάσῃς ἐμὲ
κακὴν γενέσθαι περὶ σέ, μήτ' αὐτὸς γένῃ.
εἶέν·
θύσεις †δὲ παῖδ', ἔνθα† τίνας εὐχὰς ἐρεῖς;
τί σοι κατεύξῃ τἀγαθόν, σφάζων τέκνον;
νόστον πονηρόν, οἴκοθέν γ' αἰσχρῶς ἰών;
ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;
οὔ τἄρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἄν,
εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν;
ἥκων δ' ἂν Ἄργος προσπέσοις τέκνοισι σοῖς;

1170 τἄχθιστα Brodeau : ταχθεῖσα L P ὠνούμενον Wecklein : ὠνουμένῳ Musgrave 1171 εἰ Elmsley : ἢν L P δόμασι P : corr. *p* 1174 ὅταν δόμους μὲν τούσδε προσίδω κενούς Apsines Rhet. Gr. ix. 593 Walz : unde παιδὸς pro πάντας Rauchenstein (προσίδω = παιδὸς ἴδω) 1176 κάθωμαι Elmsley : κάθημαι L P 1177 ἀπώλεσέ L P φιτεύσας cl. Alc. 294 Blomfield 1179 νόστον scripsi : μισθὸν L P πρὸς τοὺς in rasura in L versus varie tentatus : ποῖον δὲ Canter : τοιάνδε μ' ἴσθ' ἂν Herwerden : post h. v. lacunam statuit Matthiae 1180 ἔπει· Ludv. Dindorf : ἄπει· Madvig (tum δὲ δεῖ Vitelli) ἔδει] ἐνδεῖ Reiske 1182 δεξόμεσθα P et primitus L 1185 δὲ παῖδ' ἔνθα L P, sed rasura super δ' in L et ἐν in rasura : τὴν παῖδ' *l* vel L[2] ἔνθα] εἶτα Elmsley 1186 ὁ σφάζων L P : ὁ deletum in L 1189 ἦ τἄρ' Valckenaer : οὔ τἄρα συνετοὺς Wecklein 1191 ἂν Ἄργος προσπέσοις England : εἰς ἄργος προσπέσῃς L P

ἀλλ' οὐ θέμις σοι. τίς δὲ καὶ προσβλέψεταί
παίδων σ', ἵν' αὐτῶν προσέμενος κτάνῃς τινά;
ταῦτ' ἦλθες ἤδη διὰ λόγων, ἢ σκῆπτρά σοι
μόνον διαφέρειν καὶ στρατηλατεῖν μέλει;
ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν·
Βούλεσθ', Ἀχαιοί, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
κλῆρον τίθεσθε παῖδ' ὅτου θανεῖν χρεών.
ἐν ἴσῳ γὰρ ἦν τόδ', ἀλλὰ μὴ σὲ ἐξαίρετον
σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σήν,
ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,
οὗπερ τὸ πρᾶγμ' ἦν. νῦν δ' ἐγὼ μὲν ἡ τὸ σὸν
σῴζουσα λέκτρον παιδὸς ἐστερήσομαι,
ἡ δ' ἐξαμαρτοῦσ', ὑπότροφον νεάνιδα
Σπάρτῃ κομίζουσ', εὐτυχὴς γενήσεται.
τούτων ἄμειψαί μ' εἴ τι μὴ καλῶς λέγω·
εἰ δ' εὖ λέλεκται, †νῶι μὴ δή γε κτάνῃς†
τὴν σήν τε κἀμὴν παῖδα, καὶ σώφρων ἔσῃ.

Χο. πιθοῦ. τὸ γάρ τοι τέκνα συνσῴζειν καλόν,
Ἀγάμεμνον· οὐδεὶς πρὸς τάδ' ἀντερεῖ βροτῶν.

Ιφ. εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,
πείθειν ἐπᾴδουσ', ὥσθ' ὁμαρτεῖν μοι πέτρας,
κηλεῖν τε τοῖς λόγοισιν οὓς ἐβουλόμην,
ἐνταῦθ' ἂν ἦλθον· νῦν δέ, τἀπ' ἐμοῦ σοφά,
δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ' ἄν.
ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν

1193 ἵν' Elmsley : ἐὰν L P προσέμενος Weil : προθέμενος L P 1194 ἦλθες Hermann : ἦλθεν L : ἦλθ' P 1195 μέλει Musgrave : σε δεῖ L P 1196 χρῆν Reiske : χρὴ L P 1198 ὅπου primitus P 1199 σὲ] σ' L P 1201 πρὸ Scaliger : πρὸς L P 1203 ὑστερήσομαι L P : corr. Reiske 1204 ὑπότροφον L : ὑπόστροφον P : ὑπόροφον Scaliger 1206 ἄμειψον ut videtur P² 1207 νῶι L P² : νῶ P μετανόει μὴ δὴ κτανεῖν Heimsoeth : μὴ κτάνῃς ⟨ἱκνούμεθα⟩ Hermann 1210 ἀντερεῖ Elmsley : ἀντείποι L P : τοῖσδ' ἂν ἀντείποι Burges 1214 ἐνταῦθ' ἀνῆλθον L P : corr. P² 1215 ταῦτα] τοῦτο Wecklein δυναίμεθ' ἄν Markland : δυναίμεθα L P

τὸ σῶμα τοὐμόν, ὅπερ ἔτικτεν ἥδε σοι,
μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
βλέπειν· τὰ δ' ὑπὸ γῆς μή μ' ἰδεῖν ἀναγκάσῃς.
πρώτη σ' ἐκάλεσα πατέρα καὶ σὺ παῖδ' ἐμέ·
πρώτη δὲ γόνασι σοῖσι σῶμα δοῦσ' ἐμὸν
φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.
λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'· Ἆρά σ', ὦ τέκνον,
εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
  οὑμὸς δ' ὅδ' ἦν αὖ περὶ σὸν ἐξαρτωμένης
γένειον, οὗ νῦν ἀντιλάζυμαι χερί·
Τί δ' ἆρ' ἐγὼ σέ; πρέσβυν ἆρ' ἐσδέξομαι
ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
  τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
σὺ δ' ἐπιλέλησαι, καί μ' ἀποκτεῖναι θέλεις.
μή, πρός σε Πέλοπος και πρὸς Ἀτρέως πατρὸς
καὶ τῆσδε μητρός, ἣ πρὶν ὠδίνουσ' ἐμὲ
νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τὠμῷ, πάτερ;
βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.
  ἀδελφέ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
ὅμως δὲ συνδάκρυσον, ἱκέτευσον πατρὸς
τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τοι
κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
  ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.

1219 λεύσσειν· τὰ δ' ὑπὸ γῆν Plut. Mor. p. 17 D 1221 γούνασι L P 1224 εὐδαίμονος L P: corr. Pierson 1227 νῦν L: νιν P ἀντιλάζομαι L P: corr. Markland 1230 πόνους et τροφῆς Kayser 1233 σε Markland: γε L P 1234 τῆσδε L: τῆς γε P 1237 del. Matthiae 1240 ἢν Hermann: εἰ L P: εἰ . . . πείσῃ Elmsley: v. del. Nauck 1242 σὺν δάκρυσιν P 1243 τοι L P: τι L² P² 1245 σ' ὅδ' ὦ L *p*: σ' ὦ P: etiam σέ γ' ὦ *p*

ἀλλ' αἴδεσαί με καὶ κατοίκτιρον βίου.
ναί, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω·
ὁ μὲν νεοσσός ἐστιν, ἡ δ' ηὐξημένη.
  ἓν συντεμοῦσα πάντα νικήσω λόγον·
τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὰ νέρθε δ' οὐδέν· μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον ἢ καλῶς θανεῖν.
Χο. ὦ τλῆμον Ἑλένη, διὰ σὲ καὶ τοὺς σοὺς γάμους
ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.
Αγ. ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μή,
φιλῶ τ' ἐμαυτοῦ τέκνα· μαινοίμην γὰρ ἄν.
δεινῶς δ' ἔχει μοι ταῦτα τολμῆσαι, γύναι,
δεινῶς δὲ καὶ μή· τοῦτο γὰρ πρᾶξαί με δεῖ.
  ὁρᾶθ' ὅσον στράτευμα ναύφρακτον τόδε,
χαλκέων θ' ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι,
εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει,
οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον.
μέμηνε δ' Ἀφροδίτη τις Ἑλλήνων στρατῷ
πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα,
παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικῶν·
οἳ τὰς ἐν Ἄργει παρθένους κτενοῦσί μου
ὑμᾶς τε κἀμέ, θέσφατ' εἰ λύσω θεᾶς.
οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον,
οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
ἀλλ' Ἑλλάς, ᾗ δεῖ, κἂν θέλω κἂν μὴ θέλω,

1246 *βίου* Markland : *βίον* L P 1247 *ἀντόμεθα* primitus L *δύω* L P 1248 *ἐστιν*] *ὢν ἔθ'* Weil : *ἔτεσιν* Madvig 1251 *οὐδέν* Stob. fl. 119. 5 : *οὐδείς* L P 1251 sq. *θανεῖν* in fine v. 1251 scr. L P : initio v. 1252 trai. L^2 P^2 1252 *θανεῖν καλῶς* *p* 1256 *φιλῶ τ'* Markland : *φιλῶν* L P 1257 *μοι* Monk : *με* L P 1258 *τοῦτο*] *ταὐτὰ* Kirchhoff: *τοῦτο γὰρ θρᾶξάν μ' ἔχει* Madvig: lectio dubia 1259 *ναύφαρκτον* Dindorf 1260 *καλκέων* L P : corr. L^2 P^2 (vel *p*) 1262 post 1263 trai. Markland 1263 *οὐδ'*] malim *οὐκ* *κλεινὸν* Reiske : *καινὸν* L P 1266 *Ἑλληνικῶν* Elmsley : *ἑλληνικάς* L P 1267 *κτενοῦσί* Scaliger : *κτείνουσί* L P 1268 *θέσφατον* L P : corr. Scaliger

θῦσαί σε· τούτου δ' ἥσσονες καθέσταμεν.
ἐλευθέραν γὰρ δεῖ νιν ὅσον ἐν σοί, τέκνον,
κἀμοὶ γενέσθαι, μηδὲ βαρβάροις ὕπο
Ἕλληνας ὄντας λέκτρα συλᾶσθαι βίᾳ.

Κλ. ὦ τέκνον, ὦ ξέναι,
οἲ 'γὼ θανάτου ⟨τοῦ⟩ σοῦ μελέα.
φεύγει σε πατὴρ Ἅιδῃ παραδούς.
Ιφ. οἲ 'γώ, μᾶτερ· ταὐτὸν τόδε γὰρ
μέλος εἰς ἄμφω πέπτωκε τύχης,
κοὐκέτι μοι φῶς
οὐδ' ἀελίου τόδε φέγγος.

ἰὼ ἰώ.
νιφόβολον Φρυγῶν νάπος Ἴδας τ' ὄρεα,
Πρίαμος ὅθι ποτὲ βρέφος ἁπαλὸν ἔβαλε
ματέρος ἀποπρὸ νοσφίσας ἐπὶ μόρῳ
θανατόεντι Πάριν, ὃς Ἰδαῖος Ἰ-
δαῖος ἐλέγετ' ἐλέγετ' ἐν Φρυγῶν πόλει,
μή ποτ' ὤφελες τὸν ἀμφὶ
βουσὶ βουκόλον τραφέντ'
Ἀλέξανδρον οἰκίσαι
ἀμφὶ τὸ λευκὸν ὕδωρ, ὅθι κρῆναι
Νυμφᾶν κεῖνται
λειμών τ' ἔρνεσι θάλλων
χλωροῖς καὶ ῥοδόεντ'
ἄνθε' ὑακίνθινά τε θεαῖς δρέπειν· ἔνθα ποτὲ

1274 βαρβάρων Musgrave 1275 συλλᾶσθαι primitus L 1277 et 1279 οἲ ἐγὼ P²: οἶ ἐγὼ L P 1277 τοῦ add. Heath 1279 μᾶτερ· ταὐτὸν τόδε γὰρ post Musgravium scripsi: μ̄ερ ταυτὸν ταυτὸν γὰρ P et ut videtur L (sed μῆτερ L): μ̄ερ μ̄ρ ταυτὸν ταυτὸ γὰρ P²: μᾶτερ μᾶτερ ταυτὸ γὰρ L²: μᾶτερ ταὐτὸν ταὐτὸν Wecklein 1280 πέπτωκα teste Prinzio L P 1283–1335 non omni ex parte Euripidis esse monuit Dindorf 1284 νιφοβόλον L P: νειφοβόλον P² 1286 μ̄ρς L P 1291 ὤφελες Elmsley: ὤφειλε L P: ὤφελεν Hermann 1293 Ἀλέξανδρον del. Monk: sed sensus est: *utinam ne bubulcum aluisses ut Alexander, 'Virorum defensor,' fieret* 1296 ἔρνεσι Hermann: ἄνθεσι L P 1299 ἄνθεα L P θεαῖσι L P

Παλλὰς ἔμολε καὶ δολιόφρων Κύπρις
Ἥρα θ' Ἑρμᾶς θ', ὁ Διὸς ἄγγελος,
ἃ μὲν ἐπὶ πόθῳ τρυφῶσα
Κύπρις, ἃ δὲ δορὶ Παλλάς,
Ἥρα τε Διὸς ἄνακτος
εὐναῖσι βασιλίσιν,
κρίσιν ἐπὶ στυγνὰν ἔριν τε
καλλονᾶς, ἐμοὶ δὲ θάνατον—
ὄνομα μὲν φέροντα Δαναΐ-
δαισιν, ὦ κόραι, πρόθυμα δ'
ἔλαβεν Ἄρτεμις πρὸς Ἴλιον.
ὁ δὲ τεκών με τὰν τάλαιναν,
ὦ μᾶτερ ὦ μᾶτερ,
οἴχεται προδοὺς ἔρημον.
ὦ δυστάλαιν' ἐγώ, πικρὰν
πικρὰν ἰδοῦσα δυσελέναν,
φονεύομαι διόλλυμαι
σφαγαῖσιν ἀνοσίοισιν ἀνοσίου πατρός.
μή μοι ναῶν χαλκεμβολάδων
πρύμνας [ἅδ'] Αὐλὶς δέξασθαι
τούσδ' εἰς ὅρμους [ἐς Τροίαν]
ὤφελεν ἐλάταν πομπαίαν,
μηδ' ἀνταίαν Εὐρίπῳ
πνεῦσαι πομπὰν Ζεύς, μειλίσσων
αὔραν ἄλλοις ἄλλαν θνατῶν
λαίφεσι χαίρειν,
τοῖσι δὲ λύπαν, τοῖσι δ' ἀνάγκαν,

1300 fortasse Παλλάς τ' 1302 Ἑρμᾶς θ' L²: ἑρμᾶς L P 1307 βασιλίσι L P (βασιλοῖσι primitus P) 1309 τᾶς καλλόνας L P: τᾶς del. Matthiae 1310 sq. Χο. ante πρόθυμα L P: ante ὄνομα trai. Hartung ὦ κόρα legens totum locum Iphigeniae continuat Reiske 1310 μὲν L P: μὰν suprascr. L 1311 πρόθυμα δ' Hennig: πρόθυμά σ' L P: προθύματ' Hermann 1318 ἀνοσίοισι primitus L 1320 sq. ἅδ' del. Monk εἰς Τροίαν del. Hartung locus vix sanus 1323 μηδ' Hermann: μήτ' L P 1324 εἱλίσσων Tyrwhitt 1327 τοῖσι . . . τοῖσι Heath: τοῖς . . . τοῖς L P

τοῖς δ' ἐξορμᾶν, τοῖς δὲ στέλλειν,
τοῖσι δὲ μέλλειν.
ἦ πολύμοχθον ἄρ' ἦν γένος, ἦ πολύμοχθον
ἁμερίων, ⟨τὸ⟩ χρεὼν δέ τι δύσποτμον
ἀνδράσιν ἀνευρεῖν.
ἰὼ ἰώ,
μεγάλα πάθεα, μεγάλα δ' ἄχεα
Δαναΐδαις τιθεῖσα Τυνδαρὶς κόρα.
Χο. ἐγὼ μὲν οἰκτίρω σε συμφορᾶς κακῆς
τυχοῦσαν, οἵας μήποτ' ὤφελες τυχεῖν.

Ιφ. ὦ τεκοῦσα μῆτερ, ἀνδρῶν ὄχλον εἰσορῶ πέλας.
Κλ. τόν τε τῆς θεᾶς παῖδα, τέκνον, ᾧ ⟨σὺ⟩ δεῦρ' ἐλήλυθας.
Ιφ. διαχαλᾶτέ μοι μέλαθρα, δμῶες, ὡς κρύψω δέμας.
Κλ. τί δὲ τέκνον, φεύγεις;
Ιφ. Ἀχιλλέα τόνδ' ἰδεῖν αἰσχύνομαι.
Κλ. ὡς τί δή;
Ιφ. τὸ δυστυχές μοι τῶν γάμων αἰδῶ φέρει.
Κλ. οὐκ ἐν ἁβρότητι κεῖσαι πρὸς τὰ νῦν πεπτωκότα.
ἀλλὰ μίμν'· οὐ σεμνότητος ἔργον, ἢν ὀνώμεθα.
Αχ. ὦ γύναι τάλαινα, Λήδας θύγατερ . . .
Κλ. οὐ ψευδῆ θροεῖς.
Αχ. δεῖν' ἐν Ἀργείοις βοᾶται . . .
Κλ. τίνα βοήν; σήμαινέ μοι.
Αχ. ἀμφὶ σῆς παιδός . . .
Κλ. πονηρὸν εἶπας οἰωνὸν λόγον.

1331 τὸ add. Hermann 1332 ἀνδράσιν] fortasse ἦν δράσασιν 'semper miserum fuit post factum invenire id quod faciendum erat' 1333 Χο. praef. L P: del. Blomfield ἰὼ ἰὼ L^2 P^2: ἰὼ L P 1335 τοῖς δαναΐδαις L^2 P^2 1336 κακῆς L: κακῶν P 1339 τε] γε Reiske παῖδα, τέκνον Heath et teste Vitellio fortasse L (παι** τέκνον): ἀχιλλέα τέκνον P et teste Prinzio L: ἀχιλλέα τέκνον γ' P^2: παῖδ' ὦ τέκνον γ' l ᾧ ⟨σὺ⟩ δεῦρ' ἐλήλυθας Hermann: ᾧ δεῦρ' ἤλυθες Vitelli 1341 τέκνον, φεύγεις Heath: φεύγεις τέκνον L P τόνδ' Musgrave: τὸν L P 1343 νῦν πεπραγμένα (vel πράγματα) p 1344 ὀνώμεθα Wecklein: δυνώμεθα L P 1345–1348 Αχ. Brubachiana: Χο. L P 1346 τίς βοή; Herwerden 1347 πονηρῶν Nauck

Αχ. ὡς χρεὼν σφάξαι νιν.

Κλ. οὐδεὶς ⟨τοῖσδ'⟩ ἐναντίον λέγει;

Αχ. ἐς θόρυβον ἐγώ τι καὐτὸς ἤλυθον . . .

Κλ. τίν', ὦ ξένε;

Αχ. σῶμα λευσθῆναι πέτροισι.

Κλ. μῶν κόρην σῴζων ἐμήν;

Αχ. αὐτὸ τοῦτο.

Κλ. τίς δ' ἂν ἔτλη [τοῦ] σώματος τοῦ σοῦ θιγεῖν;

Αχ. πάντες Ἕλληνες.

Κλ. στρατὸς δὲ Μυρμιδὼν οὔ σοι παρῆν;

Αχ. πρῶτος ἦν ἐκεῖνος ἐχθρός.

Κλ. δι' ἄρ' ὀλώλαμεν, τέκνον.

Αχ. οἵ με τὸν γάμων ἀπεκάλουν ἥσσονα.

Κλ. ἀπεκρίνω δὲ τί;

Αχ. τὴν ἐμὴν μέλλουσαν εὐνὴν μὴ κτανεῖν . . .

Κλ. δίκαια γάρ.

Αχ. ἣν ἐφήμισεν πατήρ μοι.

Κλ. καὶ 'Αργόθεν γ' ἐπέμψατο.

Αχ. ἀλλ' ἐνικώμην κεκραγμοῦ.

Κλ. τὸ πολὺ γὰρ δεινὸν κακόν.

Αχ. ἀλλ' ὅμως ἀρήξομέν σοι.

Κλ. καὶ μαχῇ πολλοῖσιν εἷς;

Αχ. εἰσορᾷς τεύχη φέροντας τούσδε;

Κλ. ὄναιο τῶν φρενῶν.

Αχ. ἀλλ' ὀνησόμεσθα.

Κλ. παῖς ἄρ' οὐκέτι σφαγήσεται;

Αχ. οὔκ, ἐμοῦ γ' ἑκόντος.

Κλ. ἥξει δ' ὅστις ἅψεται κόρης;

1348 οὐδεὶς Heath : κοὐδεὶς L P τοῖσδ' ἐναντίον λέγει *p* (τοῖσδ' fortasse P²) : ἐναντία λέγει L P : locus non sanatus 1349 τι Musgrave : τοι L P : γε Markland τίν' Nauck : ἐς τίν' L P 1350 σῴζων Canter : σώζειν L P 1351 τίς ἂν ἔτλη δὲ Hermann, deleto τοῦ (τοῦ delevit *l*) 1352 Μυρμιδὼν Elmsley : μυρμιδόνων L P 1354 ἥσσον' L² vel. *l* ὑπεκρίνω L P : corr. *l* 1356 κἀργόθεν L P ἐφήμισε L P 1358 μάχῃ L : μάχη P 1359 τούσδε L P

Αχ. μυρίοι γ', ἄξει δ' Ὀδυσσεύς.
Κλ. ἆρ' ὁ Σισύφου γόνος;
Αχ. αὐτὸς οὗτος.
Κλ. ἴδια πράσσων, ἢ στρατοῦ ταχθεὶς ὕπο;
Αχ. αἱρεθεὶς ἑκών.
Κλ. πονηράν γ' αἵρεσιν, μιαιφονεῖν.
Αχ. ἀλλ' ἐγὼ σχήσω νιν.
Κλ. ἄξει δ' οὐχ ἑκοῦσαν ἁρπάσας;
Αχ. δηλαδὴ ξανθῆς ἐθείρας.
Κλ. ἐμὲ δὲ δρᾶν τί χρὴ τότε;
Αχ. ἀντέχου θυγατρός.
Κλ. ὡς τοῦδ' εἵνεκ' οὐ σφαγήσεται.
Αχ. ἀλλὰ μὴν ἐς τοῦτό γ' ἥξει.
Ιφ. μῆτερ, εἰσακούσατε
τῶν ἐμῶν λόγων· μάτην γάρ σ' εἰσορῶ θυμουμένην
σῷ πόσει· τὰ δ' ἀδύναθ' ἡμῖν καρτερεῖν οὐ ῥᾴδιον.
τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας·
ἀλλὰ καὶ σὲ τοῦθ' ὁρᾶν χρή, μὴ διαβληθῇ στρατῷ,
καὶ πλέον πράξωμεν οὐδέν, ὅδε δὲ συμφορᾶς τύχῃ.
οἷα δ' εἰσῆλθέν μ', ἄκουσον, μῆτερ, ἐννοουμένην·
κατθανεῖν μέν μοι δέδοκται· τοῦτο δ' αὐτὸ βούλομαι
εὐκλεῶς πρᾶξαι, παρεῖσά γ' ἐκποδὼν τὸ δυσγενές.
δεῦρο δὴ σκέψαι μεθ' ἡμῶν, μῆτερ, ὡς καλῶς λέγω·
εἰς ἔμ' Ἑλλὰς ἡ μεγίστη πᾶσα νῦν ἀποβλέπει,
κἀν ἐμοὶ πορθμός τε ναῶν καὶ Φρυγῶν κατασκαφαὶ
τάς τε μελλούσας γυναῖκας, ἤν τι δρῶσι βάρβαροι,
μηκέθ' ἁρπάζειν ἐᾶν τούσδ' ὀλβίας ἐξ Ἑλλάδος,

1362 ὅσια σύφου P: corr. P^2 1363 ἰδία (sc. ἰδίᾳ) L P 1366 ἐθείρης L P δρᾶν τί χρὴ Kirchhoff: τί χρὴ δρᾶν L P: χρὴ τί δρᾶν Gaisford 1367 ἀντέχη primitus P εἵνεκ'] ἕνεκ' L P: οὕνεκ' Musurus 1368 suprascripsit λείπει P^2, debuit supra v. sequentem 1369 sic L^2: τῶν ἐμῶν· μάτην γὰρ εἰσορῶ L P (εἰς σ' ὁρῶ P^2), adscr. λείπει L et voluit P 1372 διαβληθῇς L P: corr. Hartung 1373 ὅδε δὲ Musgrave: ὁ δὲ L P: ὁ ἀχιλλεὺς suprascr. in L 1374 εἰσῆλθε P et primitus L ἐννοουμένη primitus P 1375 μὲν ἐμὲ Rauchenstein 1376 γ'] τ' Hermann δυσγενές L: δυσμενές P 1378 νῦν ἀποβλέπει L^2 P^2: συναποβλέπει L P 1380 sq. τάς τε μελλούσας γυναῖκας μηκέθ' ἁρπάζειν ἐᾶν, ceteris deletis, Conington 1381 τούσδ' scripsi: τὰς L P

τὸν Ἑλένης τείσαντας ὄλεθρον, ἣν ⟨ἀν⟩ήρπασεν Πάρις.
ταῦτα πάντα κατθανοῦσα ῥύσομαι, καί μου κλέος,
Ἑλλάδ' ὡς ἠλευθέρωσα, μακάριον γενήσεται.
καὶ γὰρ οὐδέ τοί τι λίαν ἐμὲ φιλοψυχεῖν χρεών·
πᾶσι γάρ μ' Ἕλλησι κοινὸν ἔτεκες, οὐχὶ σοὶ μόνῃ.
ἀλλὰ μυρίοι μὲν ἄνδρες ἀσπίσιν πεφραγμένοι,
μυρίοι δ' ἐρέτμ' ἔχοντες, πατρίδος ἠδικημένης,
δρᾶν τι τολμήσουσιν ἐχθροὺς χὐπὲρ Ἑλλάδος θανεῖν,
ἡ δ' ἐμὴ ψυχὴ μί' οὖσα πάντα κωλύσει τάδε;
τί τὸ δίκαιον τοῦτό γε; ἆρ' ἔχοιμ' ἂν ἀντειπεῖν ἔπος;
    κἀπ' ἐκεῖν' ἔλθωμεν· οὐ δεῖ τόνδε διὰ μάχης μολεῖν
πᾶσιν Ἀργείοις γυναικὸς εἵνεκ' οὐδὲ κατθανεῖν.
εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρᾶν φάος.
εἰ βεβούληται δὲ σῶμα τοὐμὸν Ἄρτεμις λαβεῖν,
ἐμποδὼν γενήσομαι 'γὼ θνητὸς οὖσα τῇ θεῷ;
ἀλλ' ἀμήχανον· δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι.
θύετ', ἐκπορθεῖτε Τροίαν. ταῦτα γὰρ μνημεῖά μου
διὰ μακροῦ, καὶ παῖδες οὗτοι καὶ γάμοι καὶ δόξ' ἐμή.
βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκός, ἀλλ' οὐ βαρ-
        βάρους,
μῆτερ, Ἑλλήνων· τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι.

Χο. τὸ μὲν σόν, ὦ νεᾶνι, γενναίως ἔχει·
τὸ τῆς τύχης δὲ καὶ τὸ τῆς θεοῦ νοσεῖ.

Αχ. Ἀγαμέμνονος παῖ, μακάριόν μέ τις θεῶν
ἔμελλε θήσειν, εἰ τύχοιμι σῶν γάμων.

1382 del. Monk ἣν ἀνήρπασεν Vitelli, cf. Hel. 50, supra 75 : ἣν (ἥν τιν' *l* P²) ἥρπασεν L P 1385 τοί τι Elmsley : τοι L P λίαν γ' P² vel *p* 1386 κοινὴν Elmsley 1389 τολμήσουσ' primitus L P καὶ ὑπὲρ ut vid. L : χὐπὲρ P : τε χὐπὲρ L² P² vel *l p* 1391 τοῦτό γ'; ἆρ' ἔχοιμ' ἂν Hermann, dubio metro : τοῦτό γ' (τ' P²) ἆρ' ἔχοιμεν L² P² : τοῦτ' ἄρ' ἔχοιμεν L P : ἆρα τούτοις ἔχομεν Weil 1393 ἕνεκ' L P, cf. 1367 1394 εἷς γ'] εἷς Hermann : fortasse εἷς δ' 1395 βεβούληται δὲ Headlam : δ' ἐβουλήθη L P : δ' ἐβουλήθη τὸ P² : δ' ἐβουλήθη γε Fix 1396 γενήσομ' ἐγὼ L P : corr. Reiske 1398 θύετε πορθεῖτε primitus P 1400 ἄρχειν εἰκός Aristot. Pol. 1. 2 : εἰκὸς ἄρχειν L P 1401 οἵδ' ἐλεύθεροι L² P² : τὸ δ' ἐλεύθερον P et ut vid. L

ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ.
εὖ γὰρ τόδ' εἶπας ἀξίως τε πατρίδος·
τὸ θεομαχεῖν γὰρ ἀπολιποῦσ', ὅ σου κρατεῖ,
ἐξελογίσω τὰ χρηστὰ τἀναγκαῖά τε.
μᾶλλον δὲ λέκτρων σῶν πόθος μ' ἐσέρχεται
ἐς τὴν φύσιν βλέψαντα· γενναία γὰρ εἶ.
ὅρα δ'· ἐγὼ γὰρ βούλομαί σ' εὐεργετεῖν
λαβεῖν τ' ἐς οἴκους· ἄχθομαί τ', ἴστω Θέτις,
εἰ μή σε σώσω Δαναΐδαισι διὰ μάχης
ἐλθών. ἄθρησον· ὁ θάνατος δεινὸν κακόν.
Ιφ. λέγω τάδ' οὐδὲν οὐδέν' εὐλαβουμένη.
ἡ Τυνδαρὶς παῖς διὰ τὸ σῶμ' ἀρκεῖ μάχας
ἀνδρῶν τιθεῖσα καὶ φόνους· σὺ δ', ὦ ξένε,
μὴ θνῇσκε δι' ἐμὲ μηδ' ἀποκτείνῃς τινά,
ἔα δὲ σῷσαί μ' Ἑλλάδ', ἢν δυνώμεθα.
Αχ. ὦ λῆμ' ἄριστον, οὐκ ἔχω πρὸς τοῦτ' ἔτι
λέγειν, ἐπεί σοι τάδε δοκεῖ· γενναῖα γὰρ
φρονεῖς· τί γὰρ τἀληθὲς οὐκ εἴποι τις ἄν;
ὅμως δ', ἴσως γὰρ κἂν μεταγνοίης τάδε,
[ὡς οὖν ἂν εἰδῇς τἀπ' ἐμοῦ λελεγμένα,]
ἐλθὼν τάδ' ὅπλα θήσομαι βωμοῦ πέλας,
ὡς οὐκ ἐάσων σ' ἀλλὰ κωλύσων θανεῖν.
χρήσῃ δὲ καὶ σὺ τοῖς ἐμοῖς λόγοις τάχα,
ὅταν πέλας σῆς φάσγανον δέρης ἴδῃς.
οὔκουν ἐάσω σ' ἀφροσύνῃ τῇ σῇ θανεῖν·
ἐλθὼν δὲ σὺν ὅπλοις τοῖσδε πρὸς ναὸν θεᾶς
καραδοκήσω σὴν ἐκεῖ παρουσίαν.

1406 *σοῦ* apogr. Paris. : *τοῦ* L P 1408 sq. del. Monk : inter diversos animi adfectus haesitat iuvenis 1409 *τά τ' ἀναγκαῖα γε* L P[2] : *τάδ' ἀναγκαῖα γε* P : corr. Reiske 1410 *σῶν* *l p*, ut vid. : *μοι σῶν* L P 1411 *τὴν*] *σὴν* Scaliger 1415 *ἄθροισον* P 1416 sic L[2] P[2] (nisi *οὐδὲν οὐδὲν* L[2]) : *λέγω τάδε* cum nota *λείπει* L P 1417 *ἀρκεῖ* Hardion : *ἄρχει* L P (sed *ει* in ras. *p*) *μάχης* L[2] 1424 *γὰρ* Hermann : *γε* L P 1425 dittographiam v. 1424 del. Hermann 1426 *ἐλθὼν τάδ'* L P[2] : *ἐλθόντα δ'* P 1428–1432 del. post Hermannum Dindorf : sed personae et loco convenit iteratio

Ιφ. μῆτερ, τί σιγῇ δακρύοις τέγγεις κόρας;
Κλ. ἔχω τάλαινα πρόφασιν ὥστ' ἀλγεῖν φρένα.
Ιφ. παῦσαι· 'μὲ μὴ κάκιζε· τάδε δέ μοι πιθοῦ.
Κλ. λέγ'· ὡς παρ' ἡμῶν οὐδὲν ἀδικήσῃ, τέκνον.
Ιφ. μήτ' οὖν γε τὸν σὸν πλόκαμον ἐκτέμῃς τριχός,
μήτ' ἀμφὶ σῶμα μέλανας ἀμπίσχῃ πέπλους.
Κλ. τί δὴ τόδ' εἶπας, τέκνον; ἀπολέσασά σε;
Ιφ. οὐ σύ γε· σέσῳσμαι, κατ' ἐμὲ δ' εὐκλεὴς ἔσῃ.
Κλ. πῶς εἶπας; οὐ πενθεῖν με σὴν ψυχὴν χρεών;
Ιφ. ἥκιστ', ἐπεί μοι τύμβος οὐ χωσθήσεται.
Κλ. τί δαί; τὸ θνῄσκειν, οὐ τάφος, νομίζεται.
Ιφ. βωμὸς θεᾶς μοι μνῆμα τῆς Διὸς κόρης.
Κλ. ἀλλ', ὦ τέκνον, σοὶ πείσομαι· λέγεις γὰρ εὖ.
Ιφ. ὡς εὐτυχοῦσά γ' Ἑλλάδος τ' εὐεργέτις.
Κλ. τί δὴ κασιγνήταισιν ἀγγελῶ σέθεν;
Ιφ. μηδ' ἀμφὶ κείναις μέλανας ἐξάψῃ πέπλους.
Κλ. εἴπω δὲ παρὰ σοῦ φίλον ἔπος τι παρθένοις;
Ιφ. χαίρειν γε. Ὀρέστην τ' ἔκτρεφ' ἄνδρα τόνδε μοι.
Κλ. προσέλκυσαί νιν ὕστατον θεωμένη.
Ιφ. ὦ φίλτατ', ἐπεκούρησας ὅσον εἶχες φίλοις.
Κλ. ἔσθ' ὅ τι κατ' Ἄργος δρῶσά σοι χάριν φέρω;
Ιφ. πατέρα τὸν ἀμὸν μὴ στύγει, πόσιν γε σόν.
Κλ. δεινοὺς ἀγῶνας διὰ σὲ δεῖ κεῖνον δραμεῖν.
Ιφ. ἄκων μ' ὑπὲρ γῆς Ἑλλάδος διώλεσεν.
Κλ. δόλῳ δ', ἀγεννῶς Ἀτρέως τ' οὐκ ἀξίως.

1435–1437 paragraphi pro notis in L P 1435 παῦσαί με et δ' ἐμοὶ L P 1437 *μήτ' οὖν σὺ* Elmsley 1439 *δὴ τόδ'* Barnes : *δῆτα τόδ'* L P *τέκνον* Markland : *ὦ τέκνον* L P 1440 *σέσωσμαι* L P 1441–1466 paragraphi pro notis in L, 1441–1451 in P 1443 *δαί* L[2] : *δέ* L P : *δή* Gaisford sensus est : *Quid tum? Mors ipsa, non sepultura, rite lugetur*' *οὐ* L P : lectio dubia *τυθεῖσιν οὐ τάφος νομίζεται*; Vitelli 1445 *ἀλλ'*] *ἆρ'* *p* 1447 *δὴ* Gaisford et fortasse L : *δαὶ* L[2] : *δὲ* P et fortasse L *ἀγγείλω* Weil 1448 *ἐξάψῃς* Reiske 1449 *τί* P 1450 *τόνδ' ἐμοί* L P : corr. P[2] 1454 *τὸν ἀμὸν* Scaliger : *τὸν ἐμὸν* L P : *γε τὸν ἐμὸν* L[2] *γε* Elmsley : *τε* L P : *δὲ* Hartung 1455 *δεῖ κεῖνον* Porson : *κεῖνον δεῖ* L P

Ιφ. τίς μ' εἶσιν ἄξων πρὶν σπαράσσεσθαι κόμης;
Κλ. ἐγώ, μετά γε σοῦ... Ιφ. μὴ σύ γ'· οὐ καλῶς λέγεις.
Κλ. πέπλων ἐχομένη σῶν. Ιφ. ἐμοί, μῆτερ, πιθοῦ·
μέν'· ὡς ἐμοί τε σοί τε κάλλιον τόδε.
πατρὸς δ' ὀπαδῶν τῶνδέ τίς με πεμπέτω
'Αρτέμιδος ἐς λειμῶν', ὅπου σφαγήσομαι.
Κλ. ὦ τέκνον, οἴχῃ; Ιφ. καὶ πάλιν γ' οὐ μὴ μόλω.
Κλ. λιποῦσα μητέρα; Ιφ. ὡς ὁρᾷς γ', οὐκ ἀξίως.
Κλ. σχές, μή με προλίπῃς. Ιφ. οὐκ ἐῶ στάζειν δάκρυ.
ὑμεῖς δ' ἐπευφημήσατ', ὦ νεάνιδες,
παιᾶνα τἠμῇ συμφορᾷ Διὸς κόρην
Ἄρτεμιν· ἴτω δὲ Δαναΐδαις εὐφημία.
κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω δὲ πῦρ
προχύταις καθαρσίοισι, καὶ πατὴρ ἐμὸς
ἐνδεξιούσθω βωμόν· ὡς σωτηρίαν
Ἕλλησι δώσουσ' ἔρχομαι νικηφόρον.

ἄγετέ με τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν.
στέφεα περίβολα δίδοτε, φέρετε
—πλόκαμος ὅδε καταστέφειν—
χερνίβων τε παγάς.
ἑλίσσετ' ἀμφὶ ναὸν
ἀμφὶ βωμὸν Ἄρτεμιν,
τὰν ἄνασσαν Ἄρτεμιν,
τὰν μάκαιραν· ὡς ἐμοῖσιν, εἰ χρεών,
αἵμασι θύμασί [τε]

1458 *σπαράσσεσθαι* Elmsley : *σπαράξεσθαι* L P *κόμας* *p* vel P² 1459 *ἔγωγε μετὰ σοῦ* Markland 1461 Κλ. nota praefixa et continuo deleta in P 1465 *μητέρα* L P *εὐ κἀξίως* Hermann : *εὐκαρδίως* F. Gu. Schmidt 1467 *ἐπεφημήσατ'* P : corr. *p* 1475 Ιφ. notam praef. L² *ἡλίου* primitus L 1479 *παγάς* Reiske : *παγαῖσιν* L² : *παγαῖσι* P : *παγᾶ* vel *παγαὶ* ut vid. L 1480 *ναὸν* L P² : *λαὸν* P *ἀμφὶ ναὸν* del. Monk : fortasse *ἑλίσσετ' ἀμφιβώμιοι τὰν ἄνασσαν Ἄρτεμιν* ceteris deletis 1485 *τε* del. Hermann : fortasse *ὡς ἐμοῖς, εἰ χρεών, αἵμασιν θύμασιν* metro cretico

θέσφατ' ἐξαλείψω.
ὦ πότνια πότνια μᾶτερ, οὐ δάκρυά γε σοι
δώσομεν ἁμέτερα·
παρ' ἱεροῖς γὰρ οὐ πρέπει.
ἰὼ ἰὼ νεάνιδες,
συνεπαείδετ' Ἄρτεμιν
Χαλκίδος ἀντίπορον,
ἵνα τε δόρατα μέμονε δάϊ'
ὄνομα δι' ἐμὸν [τᾶσδ'] Αὐλίδος
στενοπόροις ἐν ὅρμοις.
ἰὼ γᾶ μᾶτερ ὦ Πελασγία,
Μυκηναῖαί τ' ἐμαὶ θεράπναι . . .

Χο. καλεῖς πόλισμα Περσέως,
Κυκλωπίων πόνον χερῶν;

Ιφ. ἐθρέψαθ' Ἑλλάδι με φάος·
θανοῦσα δ' οὐκ ἀναίνομαι.

Χο. κλέος γὰρ οὔ σε μὴ λίπῃ.

Ιφ. ἰὼ ἰώ.
λαμπαδοῦχος ἁμέρα
Διός τε φέγγος, ἕτερον ἕτερον
αἰῶνα καὶ μοῖραν οἰκήσομεν.
χαῖρέ μοι, φίλον φάος.

Χο. ἰὼ ἰώ.
ἴδεσθε τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν

1487 chori et 1491 Iphigeniae notas praef. L P: del. Seidler 1487 μ̃ερ L P 1488 οὐ England : ὡς L P 1490 ἱερεῖς P : corr. *p* 1491 ἰὼ ἰὼ Hermann : ὦ L² P : om. L 1495 δώραι α primitus L P μέμηνε *p* 1495 sq. δάι' ὄνομα δι' ἐμὸν scripsi : δάϊα δι' ἐμὸν ὄνομα L P τᾶσδ' del. Matthiae post Αὐλίδος add. manus recentissima καί, vix perspicuum 1497 στενοπόροις ἐν Burges : στενοπόροισιν L P 1498 μῆτερ L P 1499 θεράπναι L : θεράπαιναι L² P 1502 ἔθρεψας (suprascr. ἐμὲ L) ἑλλάδι μέγα φάος L P : corr. Elmsley 1507 sq. ἕτερον ἕτερον P et ut vid. L, unum in fine v. 1507 alterum init. v. 1508 scriptum : ἕτερον L², qui primum illud erasit, tum hoc erasit, illud rescripsit 1509 φίλος primitus L 1510-1531 interpolatori trib. Kirchhoff

στείχουσαν, ἐπὶ κάρα στέφη
βαλουμέναν χερνίβων τε παγάς,
βωμόν γε δαίμονος θεᾶς
ῥανίσιν αἱματορρύτοις
χρανοῦσαν εὐφυῆ τε σώματος δέρην
[σφαγεῖσαν.] εὔδροσοι παγαὶ
πατρῷαι μένουσί χέρνιβές τέ σε
στρατός τ' Ἀχαιῶν θέλων
Ἰλίου πόλιν μολεῖν.
ἀλλὰ τὰν Διὸς κόραν
κλῄσωμεν Ἄρτεμιν,
θεῶν ἄνασσαν, ὡς ἐπ' εὐτυχεῖ πότμῳ
ὦ πότνια, πότνια, θύμασιν βροτησίοις
χαρεῖσα, πέμψον ἐς Φρυγῶν
γαῖαν Ἑλλάνων στρατὸν
†καὶ δολόεντα Τροίας ἕδη,
Ἀγαμέμνονά τε λόγχαις
Ἑλλάδι κλεινότατον στέφανον
δὸς ἀμφὶ κάρα ἑὸν†
κλέος ἀείμνηστον ἀμφιθεῖναι.

ΑΓΓΕΛΟΣ

ὦ Τυνδαρεία παῖ, Κλυταιμήστρα, δόμων
ἔξω πέρασον, ὡς κλύῃς ἐμῶν λόγων.

Κλ. φθογγῆς κλύουσα δεῦρο σῆς ἀφικόμην,
ταρβοῦσα τλήμων κἀκπεπληγμένη φόβῳ·
μή μοί τιν' ἄλλην ξυμφορὰν ἥκεις φέρων
πρὸς τῇ παρούσῃ; Αγ. σῆς μὲν οὖν παιδὸς πέρι

1513 *βαλουμέναν* Hartung: *βαλλομέναν* L P *παγάς* L^2: *παγαῖς* L P 1514 *βωμὸν διαίμονος* Markland: *βωμόν γ' αἵμονος* Bothe 1516 *χρανοῦσαν* Monk: *θανοῦσαν* L P: *ῥανοῦσαν* Markland 1517 *σφαγεῖσαν* seclusit Dindorf: fortasse *χρανοῦσαν, εὐφυῆ δὲ σώματος δέρην σφαγεῖσαν εὔδροσοι κτλ.* 1518 *πατῷαι* P *σε χέρνιβές τε* L P: trai. Seidler 1522 *ἄτεμιν* P *θεῶν*] *θεὰν* Hennig 1524 *πότνια πότνια* Hermann: *πότνια* L P: *πότνα* L^2 *θύμασι* L P 1527 sqq. locus non sanus 1530 *κάρα δ'* Wecklein 1533 *κλύῃς* L^2: *κλύεις* L P: *κλύοις* *p* 1536 *ἥκῃς* Portus

θαυμαστά σοι καὶ δεινὰ σημῆναι θέλω.
Κλ. μὴ μέλλε τοίνυν, ἀλλὰ φράζ' ὅσον τάχος.
Αγ. ἀλλ', ὦ φίλη δέσποινα, πᾶν πεύσῃ σαφῶς.
λέξω δ' ἀπ' ἀρχῆς, ἤν τι μὴ σφαλεῖσά μου
γνώμη ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης
'Αρτέμιδος ἄλσος λείμακάς τ' ἀνθεσφόρους,
ἵν' ἦν 'Αχαιῶν σύλλογος στρατεύματος,
σὴν παῖδ' ἄγοντες, εὐθὺς 'Αργείων ὄχλος
ἠθροίζεθ'. ὡς δ' ἐσεῖδεν 'Αγαμέμνων ἄναξ
ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
ἀνεστέναξε, κἄμπαλιν στρέψας κάρα
δάκρυε, πρόσθεν ὀμμάτων πέπλον προθείς.
ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον
ἔλεξε τοιάδ'· Ὦ πάτερ, πάρειμί σοι·
τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας
καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ
θῦσαι δίδωμ' ἑκοῦσα πρὸς βωμὸν θεᾶς
ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
καὶ τοὐπ' ἔμ' εὐτυχεῖτε· καὶ νικηφόρου
δώρου τύχοιτε πατρίδα τ' ἐξίκοισθε γῆν.
πρὸς ταῦτα μὴ ψαύσῃ τις 'Αργείων ἐμοῦ·
σιγῇ παρέξω γὰρ δέρην εὐκαρδίως.
τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐθάμβησεν κλύων
εὐψυχίαν τε κἀρετὴν τῆς παρθένου.
στὰς δ' ἐν μέσῳ Ταλθύβιος, ᾧ τόδ' ἦν μέλον,
εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ·
Κάλχας δ' ὁ μάντις ἐς κανοῦν χρυσήλατον
ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας
κολεῶν ἔσωθεν, κρᾶτά τ' ἔστεψεν κόρης.

1538 δεινὰ] κεδνὰ Weil : malim κλεινὰ 1541 μου] που Markland 1544 ἀνθηφόρους L² P² 1547 ἐσεῖδεν hic L P 1549 ἀνεστέναζε P 1550 δάκρυε, πρόσθεν Semitelos : δάκρυα προῆγεν L P : δάκρυα προῆκεν Dindorf 1557 εὐτυχοῖτε Musurus 1558 δώρου] δορὸς Pierson 1560 σιγῇ] σφαγῇ Jacobs 1561 ἐθάμβησε L P 1567 κολεῶν L² P² : κουλεῶν L P : ὀλῶν Musgrave κόρος primitus P

ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς
λαβὼν κανοῦν ἔβρεξε χέρνιβάς θ' ὁμοῦ,

ἔλεξε δ'· Ὦ παῖ Ζηνός, ὦ θηροκτόνε,
τὸ λαμπρὸν εἱλίσσουσ' ἐν εὐφρόνῃ φάος,
δέξαι τὸ θῦμα τόδ' ὅ γέ σοι δωρούμεθα
στρατός τ' Ἀχαιῶν †Ἀγαμέμνων ἄναξ θ' ὁμοῦ,†
ἄχραντον αἷμα καλλιπαρθένου δέρης,
καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα
Τροίας τε πέργαμ' ἐξελεῖν ἡμᾶς δορί.
ἐς γῆν δ' Ἀτρεῖδαι πᾶς στρατός τ' ἔστη βλέπων.

[ἱερεὺς δὲ φάσγανον λαβὼν ἐπεύξατο,
λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν·
ἐμοὶ δέ τ' ἄλγος οὐ μικρὸν εἰσῄει φρενί,
κἄστην νενευκώς· θαῦμα δ' ἦν αἴφνης ὁρᾶν.
πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
τὴν παρθένον δ' οὐκ εἶδεν οὗ γῆς εἰσέδυ.
βοᾷ δ' ἱερεύς, ἅπας δ' ἐπήχησε στρατός,
ἄελπτον εἰσιδόντες ἔκ θεῶν τινος
φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν·

1568–1578 fere hic videtur iam antea male habitus et vix legibilis archetypus desiisse: ante 1570 *λείπ. στιχ.* scripsit L (sive L², vid. praefat.), nunc erasum: tum 1570–1572 *ἔλεξε . . . τὸ θῦμα* in spatio quod vacuum reliquerat L suppl. alia manus antiqua: ipse L pergit usque ad 1577 *βλέπων*; tum desinit: reliqua add. alia manus. P usque ad 1569 *θ' ὁμοῦ* scripsit, duobus vv. vacuis in fine paginae relictis: tum alia manus hos duos vv. explevit, et in novo folio postmodum inserto finem fabulae addidit, denique cum novi folii magna pars vacua superesset spuriae Danaae vv. 1–35 exaravit. 1568 *πηλέος* L 1569 *ἔβρεξε* Weil: *ἔθρεξε* L P 1570 *Ζηνός, ὦ* Nauck: *Ζηνὸς ἄρτεμις* L P: *ἔλεξε δ' ὦ διὸς ἄρτεμις θηροκτόνε* L²: *ἔλεξε δ' ὦ θηροκτόν' ἄρτεμι παῖ διός* P² 1573 *ὁμοῦ στρατός τ' Ἀχαιὸς Ἀγαμέμνων τ' ἄναξ* Bothe 1577 vix sanus: inde ab h. v. rem cum interpolatoribus recentissimis habemus: coniecturas tamen vv. doctorum satius duxi adferre 1578 *ἱρεὺς* P *λαβὼν δέ γ' ἱερεὺς φάσγανον κατηύξατο* Bothe 1579 *ἵν' εὖ πλήξειέ νιν* Hermann 1580 *ἐμοὶ δ' ἐσῄει τ' ἄλγος οὐ μικρὸν φρένα* Hermann *ἄλγος*] *ἄργος* primitus P 1582 *πληγῆς σαφῶς γὰρ πᾶς τις ᾔσθετο κτύπον* Weil 1583 *οἶδεν* L P *οἶ* primitus P 1584 *ἐβόησε δ' ἱερεύς, πᾶς δ'* Bothe 1586 *φάσμ', οὗ γε πίστις μηδ'* (melius *οὐδ'*) *ὁρωμένου παρῆν* Porson

ἔλαφος γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ
ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
ἧς αἵματι βωμὸς ἐραίνετ' ἄρδην τῆς θεοῦ.
κἀν τῷδε Κάλχας πῶς δοκεῖς χαίρων ἔφη·
Ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
προύθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
ὡς μὴ μιάνῃ βωμὸν εὐγενεῖ φόνῳ.
ἡδέως τε τοῦτ' ἐδέξατο, καὶ πλοῦν οὔριον
δίδωσιν ἡμῖν Ἰλίου τ' ἐπιδρομάς.
πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
χώρει τε πρὸς ναῦν· ὡς ἡμέρᾳ τῇδε δεῖ
λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς
Αἴγαιον οἶδμα διαπερᾶν.
ἐπεὶ δ' ἅπαν
κατηνθρακώθη θῦμ' ἐν Ἡφαίστου φλογί,
τὰ πρόσφορ' ηὔξαθ', ὡς τύχοι νόστου στρατός.
πέμπει δ' Ἀγαμέμνων μ' ὥστε σοι φράσαι τάδε,
λέγειν θ' ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ
καὶ δόξαν ἔσχεν ἄφθιτον καθ' Ἑλλάδα.
ἐγὼ παρὼν δὲ καὶ τὸ πρᾶγμ' ὁρῶν λέγω·
ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο.
λύπης δ' ἀφαίρει καὶ πόσει πάρες χόλον·
ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν,

1588 sq. διαπρεπής θ', ἧς αἵματι | ἐρραίνετ' ἄρδην βωμὸς ⟨ἀγραίας⟩ θεοῦ Herwerden 1589 ἐραίνετ' primitus P : ἐρραίνετ' L P² 1592 ῥυσίαν Semitelos ἡ] ὁ primitus L 1593 possis προὔθηκεν ἔλαφον βωμίαν ὀρειδρόμον βωμίαν L : βωμία P 1594 possis ταύτην μάλ' εἰκὼ μάλιστα τῆς κόρης ἀλλάσσεται Weil 1595 μιάνῃ apogr. Paris. : μιάνοι L P 1596 οὔριόν τε πλοῦν Firnhaber 1598 ταρσὸν αἶρε Wecklein αἶρ καὶ ναυάτης primitus P 1599 ὡς δέον τῇδ' ἡμέρᾳ Markland : δεῖ δὲ τῇδ' ἐν ἡμέρᾳ Wecklein 1604 δ' Ἀγαμέμνων] δὲ βασιλεὺς Weil 1605 λέγειν] κόρη Weil 1607 δὲ L² : τε L P 1608 ἀπέπτετο Vitelli 1609 λύπης δ' ἀφίει Weil : λύπας δ' ἀφαιροῦ Bothe 1610 δὲ] δή, τοι, γὰρ vv. docti βροτοῖσι L P

σώζουσί θ' οὓς φιλοῦσιν. ἦμαρ γὰρ τόδε
θανοῦσαν εἶδε καὶ βλέπουσαν παῖδα σήν.
Χο. ὡς ἥδομαί τοι ταῦτ' ἀκούσασ' ἀγγέλου·
ζῶν δ' ἐν θεοῖσι σὸν μένειν φράζει τέκος.
Κλ. ὦ παῖ, θεῶν τοῦ κλέμμα γέγονας;
πῶς σε προσείπω; πῶς δ' οὐ φῶ
παραμυθεῖσθαι τούσδε μάτην μύθους,
ὥς σου πένθους λυγροῦ παυσαίμαν;
Χο. καὶ μὴν Ἀγαμέμνων ἄναξ στείχει,
τούσδ' αὐτοὺς ἔχων σοι φράζειν μύθους.
Αγ. γύναι, θυγατρὸς ἕνεκ' ὄλβιοι γενοίμεθ' ἄν·
ἔχει γὰρ ὄντως ἐν θεοῖς ὁμιλίαν.
χρὴ δέ σε λαβοῦσαν τόνδε μόσχον νεαγενῆ
στείχειν πρὸς οἴκους· ὡς στρατὸς πρὸς πλοῦν ὁρᾷ.
καὶ χαῖρε· χρόνια γε τἀμά σοι προσφθέγματα
Τροίηθεν ἔσται. καὶ γένοιτό σοι καλῶς.
Χο. χαίρων, Ἀτρείδη, γῆν ἱκοῦ Φρυγίαν,
χαίρων δ' ἐπάνηκε,
κάλλιστά μοι σκῦλ' ἀπὸ Τροίας ἑλών.]

1611 sq. παῖδ' ὡς εἶδε σὴν | θανοῦσαν ἦμαρ καὶ βλέπουσαν αὖ τόδε Weil 1613 ὡς ταῦτ' ἀκούσασ' ἥδομαι τὸν ἄγγελον Bothe 1615 τοῦ L: του P 1615 sqq. ὦ παῖ, τοῦ κλέμμα θεῶν γέγονα; | πῶς σε προσείπω; πῶς δ' οὔ; μύθους | παραμυθεῖσθαι φῶ τούσδε μάτην | ὡς παυσαίμαν πένθους λυγροῦ; Bothe 1616 δ' οὐ L P: δὲ *l* 1618 παυσαίμην primitus L 1619 sq. καὶ μὴν ⟨ὅδ'⟩ ἄναξ τούσδ' αὐτὸς ἔχων | στείχει σοι φράζειν μύθους Weil 1621 οὕνεκ' corr. in ἕνεκ' in L P οὕνεκ' ὀλβιζοίμεθ' ἂν Hermann 1623 μόσχον εὐγενῆ Porson 1625 γε ex γὰρ factum in P: delevit Barnes 1627 sqq. χαίρων ⟨μὲν⟩ ἱκοῦ γαῖαν Ἀτρείδη | Φρυγίαν, χαίρων ἐπάνηκε δ', ἑλὼν | σκῦλα τὰ κάλλιστ' ἀπὸ Τροίας ex Hermanno et Bothio conflatum Subscriptio in L nulla: in P τέλος ἰφιγενείας τῆς ἐν αὐλίδι

1. Fragmentum veri exitus Euripidei servavit Aelianus H. A. vii. 39 ὁ δὲ Εὐριπίδης ἐν τῇ Ἰφιγενείᾳ·

ἔλαφον δ' Ἀχαιῶν χερσὶν ἐνθήσω φίλαις
κεροῦσσαν, ἣν σφάζοντες αὐχήσουσι σὴν
σφάζειν θυγατέρα.

Dianae haec verba esse ἀπὸ μηχανῆς Clytaemnestram consolantis vidit Porson.

2. Schol. Ar. Ran. 1310: vid. I. T. 1090.

3. Hesych. ἄθραυστα· ἀπρόσκοπα. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. sed vid. ad v. 57.

ΡΗΣΟΣ

ΥΠΟΘΕΣΙΣ ΡΗΣΟΥ

Ἕκτωρ τοῖς Ἕλλησιν ἐπικοιτῶν ἀκούσας αὐτοὺς πυρὰ καίειν, εὐλαβήθη μὴ φύγωσιν. ἐξοπλίζειν δὲ διεγνωκὼς τὰς δυνάμεις μετενόησεν Αἰνείου συμβουλεύσαντος ἡσυχάζειν, κατάσκοπον δὲ πέμψαντα δι' ἐκείνου τὴν ἀλήθειαν ἱστορῆσαι. Δόλωνα δὲ πρὸς τὴν χρείαν ὑπακούσαντα ἐκπέμπεσθαι . . . τόπον εἰς τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφανέντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα, Δόλωνα μὲν ἀνῃρηκότες, ἐπὶ δὲ τὴν Ἕκτορος κατηντηκότες σκηνὴν πάλιν ὑπέστρεφον οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ κατέσχεν ἐπιφανεῖσα καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐπέταξε· τὸν γὰρ ἐκ τούτου κίνδυνον ἔσεσθαι μείζονα τοῖς Ἕλλησιν, ἐὰν βιώσῃ. τούτοις δὲ ἐπιφανεὶς Ἀλέξανδρος ἐπίστασθαί ⟨φησι⟩ πολεμίων παρουσίαν. ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς, ὡς δῆθεν ὑπὸ Ἀφροδίτης, ἄπρακτος ὑπέστρεψεν· οἱ δὲ περὶ Διομήδην φονεύσαντες Ῥῆσον ἐχωρίσθησαν. καὶ ἡ συμφορὰ τῶν ἀνῃρημένων καθ' ὅλον ἦλθε τὸ στράτευμα. παραγενομένου δὲ Ἕκτορος, ἵνα αὐτὸς περιγίνηται τῶν πεπραγμένων, τετρωμένος ὁ τοῦ Ῥήσου ἐπιμελητὴς δι' αὐτοῦ φησιν Ἕκτορος τὸν φόνον γεγενῆσθαι. τοῦ δὲ Ἕκτορος ἀπολογουμένου τὴν ἀλήθειαν αὐτοῖς ἐμήνυσεν ἡ τοῦ Ῥήσου μήτηρ ἡ . . . . . Μοῦσα νεκρὸν κομίζουσα τὸ σῶμα. κατοδυρομένη δὲ καὶ τὸν ἐπιπλακέντα αὐτῇ Στρυμόνα διὰ τὸ τοῦ παιδὸς πένθος καὶ τὸν ἐξ ἐκείνου γεγενημένον

Argumentum om. O; vv. 1–26 om. LP 1 πυρὰ] πῦρ V: δι ελλης πυρὰν Harl.: δι' ὅλης δείλης πυρὰ Wecklein: δείλης πυρὰ Nauck 5 post ἐκπέμπεσθαι lacunam statuit Morstadt τόπον om. Harl. 7 κατηντηκότες σκηνὴν Harl.: κοίτην cum spatio vacuo fere novem litterarum V ὑπέστρεφον Haun.: ἀπέστρεφον V Harl. 8 ἐπιφανεῖσα κατέσχεν V, hiatum faciens 10 post τούτου spat. vac. trium litterarum in V μείζονα ἔσεσθαι V τούτοις Harl.: τούτων V 11 ἐπίστασθαι Harl.: ἐπι cum spat. vac. sex litterarum V: ἐπίστασθαί φησι Wilamowitz: ἐπήγγελλε Wecklein πολέμου V Harl.: corr. Kirchhoff 13 ἐχωρίσθησαν] ἀνεχώρησαν Nauck 15 περιγίνηται V: περιγένηται Harl.: πυνθάνηται Schwartz 16 φησιν Kirchhoff: φασιν Harl.: spatium vacuum V τὸν Harl.: om. V 18 inter ἡ et Μοῦσα spatium vacuum fere quinque litterarum V: Τερψιχόρη supplet Schwartz: cf. Aristophanis Arg. 19 κομίζειν V κἀποδυρομένη V 20 fortasse καὶ τὸ ἐξ ἐκείνου γεγενῆσθαι

Ῥῆσον, οὐδ' Ἀχιλλεῖ φησιν ἀδάκρυτον ἔσεσθαι τὴν στρατείαν, τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ τὴν ἰδίαν παραμυθουμένη λύπην. V Harl.

Τοῦτο τὸ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν ὡς οὐκ ὂν Εὐριπίδου· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνει χαρακτῆρα. ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ. πρόλογοι δὲ διττοὶ φέρονται. ὁ γοῦν Δικαίαρχος ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως·

νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος

καὶ τ. ἑ.· ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλάς, παρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορός,
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι.
ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
καὶ σῆς, Ἀθηνᾶ, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βίᾳ πρόρριζον ἐκτετριμμένην.

V L P Harl.

1 τὴν στρατείαν om. V 2 ἐπιφανῶν Harl.: ἐπι spatium vacuum V 3 praeponitur Aristophanis arg. cum personarum indice in L P ὡς οὐκ ὂν Εὐριπίδου L P Harl.: Εὐριπίδου δὲ μὴ εἶναι V τὸ γὰρ P 4 μᾶλλον] spat. vacuum λον V ὑποφαίνειν Valckenaer: ὑπεμφαίνειν Dindorf 5 μετα***σια V 6 δὲ] δὲ ἐν αὐτῷ V 7 Δικαίαρχος Nauck: δικαίαν V L P: om. Harl. ἐκτιθεὶς V: ἐπιτιθεὶς L P Harl. 10 καὶ τ. ἑ. Wilamowitz: καὶ codd. φέρεται L P Harl.: φαίνεται V 11 ἄν τινες τῶν ὑποκριτῶν L P: ἂν τῶν ὑποκριτῶν cum spat. trium litt. vacuo V: ἀντὶ τῶν ὑποκριτῶν Harl. 13 τέκος om. V 14 παρῶμεν] τί δρῶμεν; Morstadt 15 στράτευμα V 16 μάχῃ Valckenaer: μακῆ L P: μακρῷ V Harl. sed in μακρῇ corr. ambo 17 βιαίως Hermann: βιαίας L P Harl.: βιαία V 18 γὰρ οὐκ ἔνεστι V ἄλγιον βάρος L P: ἀλγίβαρος Harl.: βάρβαρος V: ἀλγέων ἄκος Kirchhoff 19 ἐξ οὗ γ' L P: ἐξ ὧτ' Harl.: ἐξ ὅτ' V ἔκρινα L P Ἀλέξανδρος e V referebatur: Ἀλεξάνδρου L P Harl.: ἀλέξαι V 20 προήκειν Valckenaer: προσήκειν codd. 21 Ἀθάνα Valckenaer φιλτάτης Valckenaer: φίλτατ' (φίλατ' V) codd. 23 βίᾳ om. V

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΥΠΟΘΕΣΙΣ

Ῥῆσος παῖς μὲν ἦν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρᾳκῶν δὲ ἡγούμενος εἰς Ἴλιον παραγίνεται νυκτός, στρατ⟨οπεδ⟩ευομένων τῶν Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης κατάσκοποι ὄντες ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης· μέγαν γὰρ ἔσεσθαι τοῖς Ἕλλησι κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα τὸ τοῦ παιδὸς σῶμα ἀνείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.

ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωικῶν, οἳ καὶ προλογίζουσι. περιέχει δὲ τὴν Νυκτεγερσίαν.

V L P Harl.

Ἀριστοφάνους ὑπόθεσις V : *ὑπώθεσις ῥήσου* Harl. : om. L P 1 *παῖς* non post *Ῥῆσος* sed post *μιᾶς* collocat V *καὶ* om. Harl. 3 *στρατευομένων* codd.: corr. Wecklein *τῶν* ante *Τρώων* om. V Harl. 5 *αὐτοῖς* om. L P *μέγας γὰρ ἔμελλεν ἔσεσθαι τοῖς ἕλλησι κίνδυνος* L P: *μέγαν δὲ ἔσεσθαι τοῖς ἕλλησιν κίνδυνον* Harl. : *μέγαν γὰρ ἔσεσθαι κίνδυνον* V 6 sq. *ὡς ... Δόλωνος* habent L P : om. V Harl.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΧΟΡΟΣ ΦΥΛΑΚΩΝ	ΟΔΥΣΣΕΥΣ
ΕΚΤΩΡ	ΔΙΟΜΗΔΗΣ
ΑΙΝΕΙΑΣ	ΑΘΗΝΑ
ΔΟΛΩΝ	ΠΑΡΙΣ
ΑΓΓΕΛΟΣ ΠΟΙΜΗΝ	ΡΗΣΟΥ ΗΝΙΟΧΟΣ
ΡΗΣΟΣ	ΜΟΥΣΑ

Sic L P: item O nisi *πάρις*. *Ῥήσου ἡνίοχος* ante *Ῥῆσος* traiecisset: confusum ordinem *χορὸς φυλάκων. ὀδυσσεύς. ἕκτωρ. ἄγγελος ποιμήν. αἰνείας. δόλων. διομήδης. ῥῆσος. ἀθηνᾶ. ῥήσου ἡνίοχος. πάρις. μοῦσα* V
ὁ Χορὸς προλογίζει add. O   *Πάρις*] melius scribi *Ἀλέξανδρος* monet Wecklein, cl. 627, 642

Codices V L P: ex V perierunt foliis evolsis vv. 112–151, 551–630, 898–996, sed vv. 899–940 resuscitavit H. Rabe Mus. Rhen. 63, 419: ubi V deficit adhibui apographum eius Palatinum inter Vaticanos 98 et Hauniensem, quorum consensus signo (V) notatur: accedunt O (vv. 1–714 continens), fragmenta Ambrosiana (vv. 856–884), fragmentum codicis Panopolitani saec. IV vel V, vv. 48–96 continens, ed. a Wilcken in Sitzungsber. d. Preuss. Acad. d. Wiss. 1887, p. 813 sqq.: raro citantur Haun. et praesertim in argumento Harl.

Accedunt Σ, quae tamen, cum (praeter perpauca quae L habet) in V solo servata sint, minus auctoritatis habent.

ΡΗΣΟΣ

ΧΟΡΟΣ

— Βᾶθι πρὸς εὐνὰς τὰς Ἑκτορέους.
τίς ὑπασπιστῶν ἄγρυπνος βασιλέως,
ἢ τευχοφόρων;
— δέξαιτο νέων κληδόνα μύθων,
οἳ τετράμοιρον νυκτὸς φυλακὴν
πάσης στρατιᾶς προκάθηνται.
— ὄρθου κεφαλὴν πῆχυν ἐρείσας,
λῦσον βλεφάρων γοργωπὸν ἕδραν,
λεῖπε χαμεύνας φυλλοστρώτους,
    Ἕκτορ· καιρὸς γὰρ ἀκοῦσαι.

ΕΚΤΩΡ

τίς ὅδ'; ἢ φίλιος φθόγγος· τίς ἀνήρ;
τί τὸ σῆμα; θρόει·
τίνες ἐκ νυκτῶν τὰς ἡμετέρας
    κοίτας πλάθουσ'; ἐνέπειν χρή.

Χο. φύλακες στρατιᾶς. Εκ. τί φέρῃ θορύβῳ;
Χο. θάρσει. Εκ. θαρσῶ.
μῶν τις λόχος ἐκ νυκτῶν; [Χο. οὐκ ἔστι.
    Εκ.] τί σὺ γὰρ

ὑπόθεσις ῥήσου minio suprascr. ipsi fabulae V: *εὐριπίδου ῥῆσος* L Haun. 2 *τίς* codd. 3 *ἢ*] *εἰ* Hervagiana secunda 4 fortasse *δέξαι τε* v. post 9 traiecto 5 *φυλακὴν* V O Σ: *φρουρὰν* L P 6 post *πάσης στρατιᾶς* add. *πόλεως τροίας* L P: sc. duas lectiones conflaverunt 7 om. L P: habent V O et Chr. Pat. 1304: et in margine *γρ. ὤρθου κεφαλὴν πῆχυν ἐρείσας* L 9 *φυλοστρώτους* V O 10 *ἕκτορα* L 11 sic V O (nisi *ἢ* V: *ἡ* O: corr. Barnes): *τίς ἀνὴρ ὦ φίλος φθέγγ' ὅστις ἀνὴρ* L P: *τίς ὅδ' ὦ φίλος εἶ φθέγγ' ὅστις ἀνήρ* *l* 12 *θροεῖ* L P O 14 *ἐννέπειν* codd.: corr. *l* 16 *θαρσῶ* delet Paley, v. 17 *οὐκ ἔστι. Ἑκ. τί γὰρ* scribens 17 ante *μῶν* praef. *χόρ.* P, paragraphum L *λόχος* V: *δόλος* O L^2 P^2: *δοῦλος* L P *οὐκ ἔστι* L P: *οὐκέτι* V O Haun.: videtur ea negatio quasi *παρεπιγραφὴ* histrionum monendorum causa adscripta fuisse ante *τί* notam *εκ.* om. V Haun., add. L P O

φυλακὰς προλιπὼν κινεῖς στρατιάν,
εἰ μή τιν' ἔχων νυκτηγορίαν;
οὐκ οἶσθα δορὸς πέλας Ἀργείου
νυχίαν ἡμᾶς
κοίταν πανόπλους κατέχοντας;

Χο. — ὁπλίζου χέρα· συμμάχων, [στρ.
Ἕκτορ, βᾶθι πρὸς εὐνάς,
ὄτρυνον ἔγχος αἴρειν, ἀφύπνισον.
— πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον,
ἁρμόσατε ψαλίοις ἵππους.
— τίς εἶσ' ἐπὶ Πανθοΐδαν,
ἢ τὸν Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
— ποῦ σφαγίων ἔφοροι;
— ποῦ δὲ γυμνήτων μόναρχοι
τοξοφόροι τε Φρυγῶν;
— ζεύγνυτε κερόδετα τόξα νευραῖς.

Εκ. τὰ μὲν ἀγγέλλεις δείματ' ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς.
ἀλλ' ἦ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβῇ; [φυλακὰς δὲ λιπὼν
κινεῖς στρατιάν.] τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν
οὐδὲν τρανῶς ἀπέδειξας.

Χο. — πύρ' αἴθει στρατὸς Ἀργόλας, [ἀντ.
Ἕκτορ, πᾶσαν ἀν' ὄρφναν,

22 *κοίτην* Dindorf 23 Χο. om. codd. : add. *l* *σύμμαχον* codd. : corr. Hermann 24 *ἕκτωρ* L P 25 *ὄτρυνον* V : *ὄτρυν'* L P (*ὄτρυν' ἔγχος* bis O) *ἀείρειν* codd. : cf. antistropham *ἀμφύπνισον* P 27 *ψαλίους* O 28 *Πανθοίδαν* codd. 29 *εὐρώτας* V : corr. *v* (*εὐρώπας* Σ) 31 *μόραρχοι* Musgrave 32 *τε*] *δὲ* O punctum post *Φρυγῶν* addidi 33 *τόξα γε* L^2 P 36 *ἢ* codd. 37 verba *φυλακὰς . . . στρατιάν* del. Dobree : cf. 18 39 *νέον** L, littera δ ut videtur deleta 41 *πύρ' αἴθει* Hartung : *πῦρ' αἴθει* O : *πυραίθει* rell. et Σ : *τὸ χ ὅτι συνθέτως ἀναγινώσκεται· καὶ* (leg. *ἢ*) *ὅτι οὐκ ἔστιν Εὐριπίδου ὁ στίχος* *ἀργόλας* O : *ἀργέλας* L P : *ἀργόλαος* V

διειπετῆ δὲ ναῶν πυρσοῖς σταθμά.
πᾶς δ' Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνάν,
νέαν τιν' ἐφιέμενοι
βάξιν. οὐ γάρ πω πάρος ὧδ' ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ', ὑποπτεύων τὸ μέλλον,
ἤλυθον ἄγγελος, ὡς
μήποτ' ἐς ἐμέ τινα μέμψιν εἴπῃς.

Εκ. ἐς καιρὸν ἥκεις, καίπερ ἀγγέλλων φόβον·
ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ
λαθόντες ὄμμα τοὐμὸν ἀρεῖσθαι φυγὴν
μέλλουσι· σαίνει μ' ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ' εὐτυχοῦντ' ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ' ἀναλῶσαι δορί.
εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὔτἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦ πρόθυμος ἰέναι δόρυ
ἐν νυκτὶ χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·
ἀλλ' οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος

43 διιπετῆ codd. νηῶν primitus L : νεῶν O πυρσοῖς V O Σ : πυρσοῖ L P 44 ἀγαμεμνονείαν L P προσέβα L P O : προσέβη V 49 σὺ δ' L P (σοὶ γὰρ in ras. *l*) 51 μήποτέ τινα μέμψιν (μέψιν P) εἰς ἔμ' εἴπῃς codd. et Pan. : corr. Bothe (μήποτέ τιν' ἐς ἐμὲ Lindemann) 52 ἥκεις Pan. et Chr. Pat. 1870, 2299, 2390 : ἦλθες V L P O Haun. ἀγγέλων L 53 ἄνδρες codd. 54 ἀρεῖσθαι Wecklein : αιρεισθαι Pan. : αἵρεσθαι vel αἴρεσθαι codd. φυγὴν Stephanus : φυγῇ codd. 57 ἀργεῖον P O 58 σύρσην V Haun. 59 εἰ] οἱ P : corr. *p* συνέσχον L P : 'corruptum aberrante librarii oculo ad ἔσχον v. sequentis' Kirchhoff : ἐξέλειπον Wecklein 60 ουταν Pan. : οὐκ ἂν V O L P 61 πωρωσαι corr. in πυρωσαι Pan. 63 ἦ Pan. : ἦν codd. 65 με Pan. L P : μοι V O suprascr. L ἰδόντες V 66 ἔπεισαν Pan. L P : ἔφησαν V O εἶναι L P

κἄπειτ' Ἀχαιῶν μηδέν' ἐν χέρσῳ λιπεῖν.
οἳ δ' οὐ μένουσι τῶν ἐμῶν θυοσκόων
βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
ἀλλ' ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ
τεύχη πρόχειρα λαμβάνειν λῆξαί θ' ὕπνου,
ὡς ἄν τις αὐτῶν καὶ νεὼς θρῴσκων ἔπι
νῶτον χαραχθεὶς κλίμακας ῥάνῃ φόνῳ,
οἳ δ' ἐν βρόχοισι δέσμιοι λελημμένοι
Φρυγῶν ἀρούρας ἐκμάθωσι γαπονεῖν.

Χο. Ἕκτορ, ταχύνεις πρὶν μαθεῖν τὸ δρώμενον·
ἄνδρες γὰρ εἰ φεύγουσιν οὐκ ἴσμεν τορῶς.
Εκ. τίς γὰρ πύρ' αἴθειν πρόφασις Ἀργείων στρατόν;
Χο. οὐκ οἶδ'· ὕποπτον δ' ἐστὶ κάρτ' ἐμῇ φρενί.
Εκ. πάντ' ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.
Χο. οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.
Εκ. οὐδ' ὧδέ γ' αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.
Χο. σὺ ταῦτ' ἔπραξας· καὶ τὰ λοιπὰ νῦν σκόπει.
Εκ. ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος ὁπλίζειν χέρα.
Χο. καὶ μὴν ὅδ' Αἰνέας καὶ μάλα σπουδῇ ποδὸς
στείχει, νέον τι πρᾶγμ' ἔχων φίλοις φράσαι.

ΑΙΝΕΙΑΣ

Ἕκτορ, τί χρῆμα νύκτεροι κατὰ στρατὸν
τὰς σὰς πρὸς εὐνὰς φύλακες ἐλθόντες φόβῳ
νυκτηγοροῦσι καὶ κεκίνηται στρατός;

67 μηδὲν V O 68 θυοσκόπων L P: τῶν ἐκ τῶν θυμάτων τὸ μέλλον σκοπούντων Σ, quem tamen θυοσκόπον legisse cave credas 69 ὄρφνει V 72 νεὼς Pan. L P: νεῶν V O ἔπι] εστι Pan. 73 νότω P: νῶτον p 74 δεσμίοις O λελημμένοι O: λελημένοι Pan.: λελημένος vel λελημμένος Chr. Pat. 2351: λελησμένοι V L P 75 γαπονεῖν Pan. O: γηπονεῖν L P et γε habet in margine Pan.: γᾶ πονεῖν V Haun. 76 πορωμενον in το δρωμενον correxit Pan.[2] 77 ἄνδρες codd. φευγωσιν et τωρως Pan., φευγουσιν Pan.[2] 78 πυρ·αιθειν Pan.: πυραίθειν L P O, sed suprascr. in L πυρὰ αἴθειν: πῦρ αἴθειν V στρατῷ Morstadt 82 ὧδέ γ'] ὧδ' V 84 μῦθος] μύθοις Pan.: θυμὸς Basil. de leg. libr. gent. τῇ τραγῳδίᾳ οὐ πιστευτέον, ἁπλοῦς, λεγούσῃ, ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χέρα χέρα V O, cf. Chr. Pat. 2373 et Basil.: χέρας L P 85 ὅδ'] οὐδ' V αἰνείας L P σποδῇ P 86 ἔχον L P: corr. p ἔχων φίλοις] ἴσως ἔχων Chr. Pat. 1135: ἔχων ἴσως idem 99 89 ⟨νυκτ⟩ηγορευουσι Pan. sed litteris ου expunctis

Εκ. Αἰνέα, πύκαζε τεύχεσιν δέμας σέθεν.
Αι. τί δ' ἔστι; μῶν τις πολεμίων ἀγγέλλεται
δόλος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;
Εκ. φεύγουσιν ἄνδρες κἀπιβαίνουσιν νεῶν.
Αι. τί τοῦδ' ἂν εἴποις ἀσφαλὲς τεκμήριον;
Εκ. αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
ἀλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν
φυγῇ πρὸς οἴκους τῆσδ' ἀφορμήσειν χθονός.
Αι. σὺ δ' ὡς τί δράσων πρὸς τάδ' ὁπλίζῃ χέρας;
Εκ. φεύγοντας αὐτοὺς κἀπιθρῴσκοντας νεῶν
λόγχῃ καθέξω κἀπικείσομαι βαρύς·
αἰσχρὸν γὰρ ἡμῖν, καὶ πρὸς αἰσχύνῃ κακόν,
θεοῦ διδόντος πολεμίους ἄνευ μάχης
φεύγειν ἐᾶσαι πολλὰ δράσαντας κακά.
Αι. εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος ὡς δρᾶσαι χερί.
ἀλλ' οὐ γὰρ αὑτὸς πάντ' ἐπίστασθαι βροτῶν
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,
σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς·
ὅστις πυρὸς λαμπτῆρας ἐξήρθης κλύων
φλέγειν 'Αχαιούς, καὶ στρατὸν μέλλεις ἄγειν
τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.
καίτοι περάσας κοῖλον αὐλώνων βάθος,

90 *πύκαζε* L P Pan. et Chr. Pat. 91: *πυκάζου* V O *σέθεν* V O Pan.: *τὸ σὸν* L P 92 *δόλος*] *λόχος* suprascr. *p* et Chr. Pat. 94 93 *ἄνδρες* codd. 94 sq. personas om. sed puncta habet V 94 *τοῦδ'* L P: *τῶνδ'* V O: utrumque codd. Chr. Pat. 2193, *τοῦδ'* id. 2345 *τί τ' ἄρ'* (vel *γὰρ*) *ἐναργὲς τοῦδ'* (vel *τῶνδ'*) *ἐρεῖς τεκμήριον* Chr. Pat. 95 *παν**ς νυκτ*ς* Pan. 96 *κἀμοὶ* O *μένειν* codd. *ἐπαύριον* P: corr. *p* 97 *ἐκκαίαντες* V et *έ* in rasura scr. *l* *πύρσ'*] *πῦρ* V 99 sq. personas om. V 99 *ὁπλίζεις* L P, *s* del. *l* 101 *κἀπικήσομαι* V 105 *εἴσθ' ἦσθ'* P *δράσαι χερί* codd. et Chr. Pat. 2367 (ubi *πρόβουλος*): *δραστήριος* F. Gu. Schmidt 106 *αὐτὸς* L[2] P O: *ὡυτὸς* L *p*: *ὠΰτὸς* V 108 *σὲ . . . τοὺς δὲ* codd. et Stob. fl. 54. 9: *σοὶ . . . τοῖς δὲ* Chr. Pat. 2370 110 *φλέγειν* Musgrave: *φεύγειν* codd. et Σ 112–151 deficit V: citantur eius apogr. et Haun., quorum consensus (V) notatur

εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
νικώμενος μὲν οὔτι μὴ μόλῃς πάλιν·
πῶς γὰρ περάσει σκόλοπας ἐν τροπῇ στρατός;
πῶς δ' αὖ γεφύρας διαβαλοῦσ' ἱππηλάται,
ἢν ἆρα μὴ θραύσαντες ἀντύγων χνόας;
νικῶν δ' ἔφεδρον παῖδ' ἔχεις τὸν Πηλέως,
ὅς σ' οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
οὐδ' ὧδ' Ἀχαιούς, ὡς δοκεῖς, ἀναρπάσαι.
αἴθων γὰρ ἁνὴρ καὶ πεπύργωται χερί.
ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ' ἀσπίδας
εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,
πέμπειν δοκεῖ μοι· κἂν μὲν αἴρωνται φυγήν,
στείχοντες ἐμπέσωμεν Ἀργείων στρατῷ·
εἰ δ' ἐς δόλον τιν' ἥδ' ἄγει φρυκτωρία,
μαθόντες ἐχθρῶν μηχανὰς κατασκόπου
βουλευσόμεσθα· τήνδ' ἔχω γνώμην, ἄναξ.

Χο. τάδε δοκεῖ, τάδε μεταθέμενος νόει. [στρ.
σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.
τί γὰρ ἄμεινον ἢ
ταχυβάταν νεῶν κατόπταν μολεῖν
πέλας ὅ τί ποτ' ἄρα δαΐοις

115 *οὔτι μὴ μόλῃς πάλιν* Cobet : *τήνδ' οὐ μὴ μόλῃς πόλιν* L P : *τήνδε μὴ* (*τήνδ' ἐμὴ* O) *μόλῃς πόλιν* (V) O 116 *περάσει . . . στρατός* O (V) : *περάσεις . . . δορός* L : *περάσει . . . δορός* P : *περάσεις* minio suprascr. apogr. : *περάσῃ* O[2] 118 *ἄρα* codd. : *εἰ μὴ ἄρα συνθραύσαντες* Paley *ἀντύγων*] *ἀξόνων* Blaydes v. suspectus 120 *σ'* om. P 121 *διαρπάσαι* (sed *αν* suprascr. alia m.) apogr. 122 *ἀνὴρ* codd. *πεπύρωται* O *χερί* L A (V) : *θράσει* O, ex Or. 1568 124 *κόπων* L P apogr. : *πόνων* O Haun. *ἀρειφάντων* P 126 *φυγήν* Stephanus : *φυγῇ* codd. 128 *εἰ δ' εἰς* (V) *p* et, puto, O : *εἰ δ' ὡς* L P 129 *κατασκόπους* O (V) 130 *γνώμην ἄναξ*] *προθυμίαν* O : *γνώμην ἐγώ* Chr. Pat. 1916 131 *μεταθέμενος* Haun. : *μετατιθέμενος* O L P apogr. 134 *κατόπταν* O : *κατόπτην* rell. 135 *ὅθι* O (V) *ἄρα*] *ἆρ* L et ut videtur P : *ἂν* *p*

πυρὰ κατ' ἀντίπρῳρα ναυστάθμων δαίεται;
Εκ. νικᾶτ', ἐπειδὴ πᾶσιν ἁνδάνει τάδε.
στείχων δὲ κοίμα συμμάχους· τάχ' ἂν στρατὸς
κινοῖτ' ἀκούσας νυκτέρους ἐκκλησίας.
ἐγὼ δὲ πέμψω πολεμίων κατάσκοπον.
κἂν μέν τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,
σὺ πάντ' ἀκούσῃ καὶ παρὼν εἴσῃ λόγον·
ἐὰν δ' ἀπαίρωσ' ἐς φυγὴν ὁρμώμενοι,
σάλπιγγος αὐδὴν προσδοκῶν καραδόκει,
ὡς οὐ μενοῦντά μ'· ἀλλὰ προσμείξω νεῶν
ὁλκοῖσι νυκτὸς τῆσδ' ἐπ' Ἀργείων στρατῷ.
Αι. πέμφ' ὡς τάχιστα· νῦν γὰρ ἀσφαλῶς φρονεῖς.
σὺν σοὶ δ' ἔμ' ὄψῃ καρτεροῦνθ', ὅταν δέῃ.
Εκ. τίς δῆτα Τρώων οἳ πάρεισιν ἐν λόγῳ
θέλει κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν;
τίς ἂν γένοιτο τῆσδε γῆς εὐεργέτης;
τίς φησιν; οὔτοι πάντ' ἐγὼ δυνήσομαι
πόλει πατρῴᾳ συμμάχοις θ' ὑπηρετεῖν.

ΔΟΛΩΝ

ἐγὼ πρὸ γαίας τόνδε κίνδυνον θέλω
ῥίψας κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν,
καὶ πάντ' Ἀχαιῶν ἐκμαθὼν βουλεύματα
ἥξω· ἐπὶ τούτοις τόνδ' ὑφίσταμαι πόνον.
Εκ. ἐπώνυμος μὲν κάρτα καὶ φιλόπτολις
Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
νῦν δὶς τόσως ἔθηκας εὐκλεέστερον.
Δο. οὐκοῦν πονεῖν μὲν χρή, πονοῦντα δ' ἄξιον

136 ἀντίπρῳρα (V) O *l*: ἀντίπρωνα L P 138 κοίμα Pierson, cl. 662: κόσμει O L P: σκόπει (V) 139 νυκτέρας O 142 λόγον L P: λόγους O (V) 146 στρατόν L P, fortasse recte 147 πέμ* L P: nunc πέμφ' *p*: πέμπ' *l* 148 δ' ἔμ' Bothe: δέ μ' codd. 149 λόγῳ O (V): λόχῳ L P 150 θέλει] et θέλει et τολμᾷ codd. Chr. Pat. 1934 152 τίς] τί primitus P οὔτι L P Haun. 159 δούλων primitus P 160 τόσῳ σ' ἔθηκας O: τόσῳ τέθεικας Elmsley (τέθηκας Nauck) 161 μὲν V: με L P O et Chr. Pat. 1964

μισθὸν φέρεσθαι. παντὶ γὰρ προσκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.
Εκ. ναί, καὶ δίκαια ταῦτα κοὐκ ἄλλως λέγω.
τάξαι δὲ μισθόν, πλὴν ἐμῆς τυραννίδος.
Δο. οὐ σῆς ἐρῶμεν πολιόχου τυραννίδος.
Εκ. σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενοῦ.
Δο. οὐδ' ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.
Εκ. χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσεις γέρας.
Δο. ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.
Εκ. τί δῆτα χρῄζεις ὧν κέκευθεν Ἴλιος;
Δο. ἑλὼν Ἀχαιοὺς δῶρά μοι ξυναίνεσον.
Εκ. δώσω· σὺ δ' αἴτει πλὴν στρατηλάτας νεῶν.
Δο. κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρα.
Εκ. οὐ μὴν τὸν Ἰλέως παῖδά μ' ἐξαιτῇ λαβεῖν;
Δο. κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.
Εκ. τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;
Δο. καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.
Εκ. καὶ μὴν λαφύρων γ' αὐτὸς αἱρήσῃ παρών.
Δο. θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμοις.
Εκ. τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσεις γέρας;
Δο. ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.
Εκ. καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·

162 μισθὸν προσαθρεῖν . . . προκείμενον ἆθλον πρὸς ἔργῳ Chr. Pat. 1965 sq. 164 Εκ. notam om. P 166 πολιόχου O: πολιούχου V: πολυόχου L P: πολυόχλου Reiske: cf. 381 168 οὐδ' V: οὐκ L P O 169 πάρεστιν V: γάρ ἐστιν L P O αἰτήσῃ V 170 σπανίζομεν βίου O 171 Ἴλιον O 174 χέρας L P 175 Ἰλέως V: ὀιλέως L P ἐξαιτεῖς L P O (τὸν ἰλεόν γε παῖδ' ἐξαιτεῖς O) 177 ζῶντ' ἀποινᾶσθαι Σ (etiam in L): ζῶντ' ἀποίνασθαι O: ζῶντα ποινᾶσθαι V L P 179 γ' O: om. rell. παρών] λαβών O 180 δόμοις Harl. et suprascr. L: δόμους L rell. 181 τόνδε P: corr. *p* αἰτήσεις L P, cf. Chr. Pat. 1972: αἰτήσῃ V O (αἰτήσει V) 182 μολεῖν O 183 διαίμονος V 184 γ' V O: τ' L P

δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι,
κάλλιστον οἴκοις κτῆμ', Ἀχιλλέως ὄχον.
Δο. αἰνῶ· λαβὼν δ' ἂν φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἔστιν ἄλλα σοι,
ἐφ' οἷσι τέρψῃ τῆσδ' ἀριστεύων χθονός.

Χο. μέγας ἀγών, μεγάλα δ' ἐπινοεῖς ἑλεῖν· [ἀντ.
μακάριός γε μὴν κυρήσας ἔσῃ.
πόνος ὅδ' εὐκλεής·
μέγα δὲ κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.

Δο. στείχοιμ' ἄν· ἐλθὼν ⟨δ'⟩ ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.
Χο. ἐπεὶ τίν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν;
Δο. πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασι.
Χο. σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον, τίς ἔσται τοῦδε σώματος σαγή;
Δο. λύκειον ἀμφὶ νῶτ' ἐνάψομαι δορὰν
καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
καὶ κῶλα κώλοις, τετράπουν μιμήσομαι

187 αὐτοὺς L P O : αὐτὰς V : αὐτὸς Dobree 191 δ' ἂν Verrall : δέ codd. 192 εὐσπλαχνίας V L P 195 μέγας μὲν ἀγὼν L P 197 ὅδ' Nauck : δ' codd. : syllabica hic videtur esse responsio, cf. 131–136 198 μέγα V O : μεγάλα L P 199 τὰ Seidler : τὰ δὲ codd. 200 ἀνέρων Wecklein τέλεα V O 201 δ' suppl. Musurus 203 κἀκεῖθεν ἥσω V O : κεῖθεν δ' ἐφήσω L P 204 ἐπεὶ τίν' V O : εἶπ' ἢ τίν' L P 205 κλωπικοῖς O : κλοπτικοῖς V : κλεπτικοῖς L P 207 ἐστι V σαγή V L P et Σ V : σάγη O 208 νῶτ' ἐνάψομαι Cobet : νῶτον ἅψομαι V O : νῶτα θήσομαι (cf. v. sequentem) L P 209 χάσμα V O : σχῆμα L P

λύκου κέλευθον πολεμίοις δυσεύρετον,
τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδί,
δίβαμος εἶμι· τῇδε σύγκειται δόλος.
Χο. ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὔργον· εὐτυχεῖν μόνον σε δεῖ.
Δο. σωθήσομαί γε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι—σύμβολον δ' ἔχων σαφὲς
φήσεις Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν—
ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους πρὶν φάος μολεῖν χθόνα.

Χο. Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας [στρ.
ναὸν ἐμβατεύων
Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξή-
ρης, ἱκοῦ ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατές, ὦ Τροΐας
τείχη παλαιὰ δείμας.

μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς [ἀντ.
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας οἴ-
κων πατρὸς Ἰλιάδας.
Φθιάδων δ' ἵππων ποτ' ἐπ' ἄντυγα βαίη,

215 εἰμὶ codd. : corr. *l* (et Haun.) 217 φιλητῶν V O 218 σε χρή V 219 γε Wilamowitz : τε codd. 227 ἵκου codd. : ἵκου δ' *l* post ἐννύχιος duae litterae, ut videtur ἡγ, erasae in L 229, 230 καὶ γενοῦ . . . ἁγεμὼν Dindorf: ἁγεμὼν (ἡγεμὼν P) . . . καὶ γενοῦ codd. 231 τροίας codd. 234 Ἑλλάδος διόπτας om. V O : add. in margine ut scholion V 235 κάμψοι L P (εν suprascr. *l*) πατρὸς V O : πάτρας L P ἰλιάδας O : ἰλιάδος V L P 236 ἵππων] οἴκων O ποτ' V : τότ' O : om. L P, sed ἐπ' ante ἄντυγα eraso, post ἵππων rescripto, spatium vacuum reliquit *l* : inde ἐπὶ δ' ἄντυγα Musurus ἄντυγα L P O : ἄντυγι V

δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
τὰς πόντιος Αἰακίδᾳ
Πηλεῖ δίδωσι δαίμων.

ἐπεὶ πρό τ' οἴκων πρό τε γᾶς ἔτλα μόνος [στρ.
ναύσταθμα βὰς κατιδεῖν· ἄγαμαι
λήματος· ἦ σπανία ⟨τις⟩
τῶν ἀγαθῶν, ὅταν ᾖ
δυσάλιος ἐν πελάγει
καὶ σαλεύῃ
πόλις. ἔστι Φρυγῶν τις ἔστιν ἄλκιμος·
ἔνι δὲ θράσος ἐν αἰχ-
μᾷ· πόθι Μυσῶν ὃς ἐμὰν
συμμαχίαν ἀτίζει;

τίν' ἄνδρ' Ἀχαιῶν ὁ πεδοστιβὴς σφαγεὺς [ἀντ.
οὐτάσει ἐν κλισίαις, τετράπουν
μῖμον ἔχων ἐπιγαίου
θηρός; ἕλοι Μενέλαν,
κτανὼν δ' Ἀγαμεμνόνιον
κρᾶτ' ἐνέγκοι
Ἑλένᾳ κακόγαμβρον ἐς χέρας γόον,
ὃς ἐπὶ πόλιν, ὃς ἐπὶ
γᾶν Τροΐαν χιλιόναυν
ἤλυθ' ἔχων στρατείαν.

237 *πέρσας τὸν* Canter: sed sensus est '*cum Hector vicerit*' *Ἀχαιὸν* V O Σ: *ἀχαιῶν* L P 240 *ποντίας* V 241 *δόμων* V 245 *ἦ*] *ἢ* V *σπανία τις* scripsi, cf. 256: *σπανία* O Σ: *πανία* V: *σπάνις* L P: *σπάνις ἀεὶ* Wilamowitz 247 *δυσάλιος* L P: *δυσάλιον* V O Σ: *δυσάνιος* Musgrave 248 *σαλεύει* L P O 250 *τίς* V O 251 *θράσος* V O L P: *θάρσος* *l*: utrumque Σ *ἐν αἰχμαῖς* L P et ut videtur primitus O 252 *πόθι* Hoffmann: *ποτὶ* codd. et Σ *ὃς* V O L Σ: *ὡς* P 256 *ἐπιγαίου* scripsi: *ἐπὶ γαίας* L P: *ἐπὶ γαίᾳ* O: *ἐπὶ γαῖαν* V: v. antistrophico respondeat forma *ἐπιγέω* 258 *ἀγαμεμνόνειον* L P O 260 *ἐς* hic codd. *χεῖρας* V O 261 *πόλιν* O *p*: *πτόλιν* V: *πῶλον* L P: *μῶλον* Scaliger *ἐπὶ γᾶν* V O P: *ἐπὶ τὰν* L: *ἐς γᾶν* Dindorf 262 *τροίαν* V O L: om. P 263 *στρατείαν* Heath: *στρατιάν* codd.

ΑΓΓΕΛΟΣ ΠΟΙΜΗΝ

ἄναξ, τοιούτων δεσπόταισιν ἄγγελος
εἴην τὸ λοιπὸν οἷά σοι φέρω μαθεῖν.
Εκ. ἦ πόλλ' ἀγρώταις σκαιὰ πρόσκειται φρενί·
καὶ γὰρ σὺ ποίμνας δεσπόταις τευχεσφόροις
ἥκειν ἔοικας ἀγγελῶν ἵν' οὐ πρέπει.
οὐκ οἶσθα δῶμα τοὐμὸν ἢ θρόνους πατρός,
οἷ χρῆν γεγωνεῖν σ' εὐτυχοῦντα ποίμνια;
Αγ. σκαιοὶ βοτῆρές ἐσμεν· οὐκ ἄλλως λέγω.
ἀλλ' οὐδὲν ἧσσον σοι φέρω κεδνοὺς λόγους.
Εκ. παῦσαι λέγων μοι τὰς προσαυλείους τύχας·
μάχας πρὸ χειρῶν καὶ δόρη βαστάζομεν.
Αγ. τοιαῦτα κἀγὼ σημανῶν ἐλήλυθα·
ἀνὴρ γὰρ ἀλκῆς μυρίας στρατηλατῶν
στείχει φίλος σοὶ σύμμαχός τε τῇδε γῇ.
Εκ. ποίας πατρῴας γῆς ἐρημώσας πέδον;
Αγ. Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
Εκ. Ῥῆσον τιθέντ' ἔλεξας ἐν Τροίᾳ πόδα;
Αγ. ἔγνως· λόγου δὲ δὶς τόσου μ' ἐκούφισας.
Εκ. καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
πλαγχθεὶς πλατείας πεδιάδος θ' ἁμαξιτοῦ;
Αγ. οὐκ οἶδ' ἀκριβῶς· εἰκάσαι γε μὴν πάρα.
νυκτὸς γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατόν,
κλύοντα πλήρη πεδία πολεμίας χερός.
φόβον δ' ἀγρώσταις, οἳ κατ' Ἰδαῖον λέπας
οἰκοῦμεν αὐτόρριζον ἑστίαν χθονός,
παρέσχε δρυμὸν νυκτὸς ἔνθηρον μολών.

264 Ἄγγελος Ποιμήν scripsi: cf. Dram. Person.: hic et 271 ποιμήν O: ἄγγελος rell. ('praestat illud: cf. Ποιμένας Sophocleam': Wilamowitz) 265 εἴην V O *p*: οἴην L P 266 ἀγρώταις V L: ἀγρώσταις O P: cf. 287, Her. 377, Bac. 564 268 ἥκεις V 270 οἷ χρῆν V O (χρὴν V): οἷς χρὴ L P ποιμνίων O 271 notam Αγ. hic omisit v. sequenti praef. P, corr. *p* λέγω O: λέγεις V L P 276 ἀλκῆς L P: ἀρχῆς V O: αἰχμῆς Rauchenstein 277 σοὶ V L P: σοι O 282 post 283 collocat O 283 πλατείαις L P: πατρῴας O τ' ἀμαξιτοῦ codd. 285 νυκτὸς] μορφῇ γὰρ οὔτι φαῦλον ἐσβαλεῖν τινα Chr. Pat. 2096, cf. 2452: unde ὄρφνῃ Vater 287 cf. ad 266

πολλῇ γὰρ ἠχῇ Θρῄκιος ῥέων στρατὸς
ἔστειχε· θάμβει δ' ἐκπλαγέντες ἵεμεν
ποίμνας πρὸς ἄκρας, μή τις Ἀργείων μόλῃ
λεηλατήσων καὶ σὰ πορθήσων σταθμά,
πρὶν δὴ δι' ὤτων γῆρυν οὐχ Ἑλληνικὴν
ἐδεξάμεσθα καὶ μετέστημεν φόβου.
στείχων δ' ἄνακτος προυξερευνητὰς ὁδοῦ
ἀνιστόρησα Θρῃκίοις προσφθέγμασι,
Τίς ὁ στρατηγὸς καὶ τίνος κεκλημένος
στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος.
  καὶ πάντ' ἀκούσας ὧν ἐφιέμην μαθεῖν,
ἔστην· ὁρῶ δὲ Ῥῆσον ὥστε δαίμονα
ἑστῶτ' ἐν ἵπποις Θρῃκίοις τ' ὀχήμασι.
χρυσῆ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
πώλων ἔκληε χιόνος ἐξαυγεστέρων.
πέλτη δ' ἐπ' ὤμων χρυσοκολλήτοις τύποις
ἔλαμπε· Γοργὼν δ' ὡς ἐπ' αἰγίδος θεᾶς
χαλκῆ μετώποις ἱππικοῖσι πρόσδετος
πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
στρατοῦ δὲ πλῆθος οὐδ' ἂν ἐν ψήφου λόγῳ
θέσθαι δυναίμην, ὡς ἄπλατον ἦν ἰδεῖν,
πολλοὶ μὲν ἱππῆς, πολλὰ πελταστῶν τέλη,
πολλοὶ δ' ἀτράκτων τοξόται, πολὺς δ' ὄχλος
γυμνὴς ὁμαρτῇ, Θρῃκίαν ἔχων στολήν.
  τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ' ἀνήρ,
ὃν οὔτε φεύγων οὔθ' ὑποσταθεὶς δορὶ

290 ἠχὴ V: ἠχοῖ P^2 vel *p* 292 πρὸς V O: ἐς L P 296 δ' ἀν' αὐτοὺς Wecklein ὁδοῦ V: στρατοῦ L P O 302 ἵπποις θρηκίοις τ' ὀχήμασι L P: cf. Λ 198: ἱππείοισι Θρῃκίοις ὄχοις V O 303 χρυσῇ δὲ πλάστιγγι O ζυγηφόρον V O: ζυγηφόρων L P 305 πέλτης ἐπ' ὦμον V τύποις] δίφροις V, ex Phoen. 2 πέλτης δ' . . . χρυσοκόλλητος τύπος Nauck 306 ἐπ' V L P: ἀπ' O θεᾶς L P O: θοᾶς V 309 ψήφῳ λόγου O 310 δυναίμην L P: δύναι' ἂν V O ἄπληστον Hermann (ἄπλαστον *p*) 311 ἱππεῖς codd. 312 δ' (ante ἀτράκτων) L P: τ' V O 313 ὁμαρτῇ V O: ὁμαρτεῖ L P O^2: formam ὁμάρτη probat Aristarchus ap. Hdn. ii. 209 315 sq. φεύγων ἐκφυγεῖν δυνήσεται . . . οὔθ' ὑποστῆναι δορί Herwerden

ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.
Χο. ὅταν πολίταις εὐσταθῶσι δαίμονες,
ἕρπει κατάντης ξυμφορὰ πρὸς τἀγαθά.
Εκ. πολλούς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ
καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
ἀλλ' οὐδὲν αὐτῶν δεόμεθ', οἵτινες πάλαι
μὴ ξυμπονοῦσιν, ἡνίκ' ἐξώστης Ἄρης
ἔθραυε λαίφη τῆσδε γῆς μέγας πνέων.
Ῥῆσος δ' ἔδειξεν οἷος ἦν Τροίᾳ φίλος·
ἥκει γὰρ ἐς δαῖτ', οὐ παρὼν κυνηγέταις
αἱροῦσι λείαν οὐδὲ συγκαμὼν δορί.
Χο. ὀρθῶς ἀτίζεις κἀπίμομφος εἶ φίλοις·
δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.
Εκ. ἀρκοῦμεν οἱ σῴζοντες Ἴλιον πάλαι.
Χο. πέποιθας ἤδη πολεμίους ᾑρηκέναι;
Εκ. πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.
Χο. ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός.
Εκ. μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.
ὃ δ' οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
ξένος δὲ πρὸς τράπεζαν ἡκέτω ξένων·
χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο.
Χο. ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον.
Αγ. φόβος γένοιτ' ἂν πολεμίοις ὀφθεὶς μόνον.
Εκ. σύ τ' εὖ παραινεῖς καὶ σὺ καιρίως σκοπεῖς.
ὁ χρυσοτευχὴς δ' οὕνεκ' ἀγγέλου λόγων
Ῥῆσος παρέστω τῇδε σύμμαχος χθονί.

318 *συμφορὰ* P O *τἀγαθόν* L P 322 *ξυμπονῶσιν* V O fortasse recte 323 *ἔθραυε* V: *ἔθραυσε* O: *ἔφαυσε* L P *μέγα* O 324 *δ'* om. V *τροίας* L P 326 *αἴρουσι* et *δουρί* V 327 *ἀτίζεις*] *ἔλεξας* O *κἀπίμορφος* V 329 *πάλαι* V O: *πόλιν* L P 330 *εἰρηκέναι* V 331 *δείξοι* V 334 sq. post 338 transposuit correcta personarum dispositione Nauck; 334–338 nuntio, 339–341 choro tribuunt V O: 334–338 choro, 339–341 Hectori L P (paragraphis praefixis L) 335 *ὀφθεὶς*] *ἐλθὼν* O 336 *ὅδ'* codd. 337 *ἱκέτω* L P: corr. *p* 338 *ἀπώλετο* L P 339 *κυρίως* O 340 *δ' οὕνεκ'* L P O: *οὖν ἐκ* V 341 *παρέσται* V O Σ (*λοιπὸν ἥξει*)

Χο. Ἀδράστεια μὲν ἁ Διὸς [στρ.
παῖς εἴργοι στομάτων φθόνον·
φράσω γὰρ δὴ ὅσον μοι ψυχᾷ
προσφιλές ἐστιν εἰπεῖν.
ἥκεις, ὦ ποταμοῦ παῖ,
ἥκεις, ἐπλάθης Φιλίου πρὸς αὐλὰν
ἀσπαστός, ἐπεί σε χρόνῳ
Πιερὶς μάτηρ ὅ τε καλλιγέφυ-
ρος ποταμὸς πορεύει

Στρυμών, ὅς ποτε τᾶς μελῳ- [ἀντ.
δοῦ Μούσας δι' ἀκηράτων
δινηθεὶς ὑδροειδὴς κόλπων
σὰν ἐφύτευσεν ἥβαν.
σύ μοι Ζεὺς ὁ φαναῖος
ἥκεις διφρεύων βαλιαῖσι πώλοις.
νῦν, ὦ πατρὶς ὦ Φρυγία,
ξὺν θεῷ νῦν σοι τὸν ἐλευθέριον
Ζῆνα πάρεστιν εἰπεῖν.

ἆρά ποτ' αὖθις ἁ παλαιὰ Τροΐα [στρ.
τοὺς προπότας παναμερεύ-
σει θιάσους ἐρώτων
ψαλμοῖσι καὶ κυλίκων οἰνοπλανή-
τοις ὑποδεξίαις ἁμίλ-
λαις κατὰ πόντον Ἀτρειδᾶν
Σπάρταν οἰχομένων
Ἰλιάδος παρ' ἀκτᾶς;

342 Χο. notam om. V Ἀδράστεια O *l*: ἀδράστια vel ἀδραστία V L P 343 εἴργοι O: εἴργει V: εἴργοις L P 344 γὰρ παρ' ὅσον Hermann 345 ἔστ' P 347 ἐπλάσθης P φιλίου L P: φρυγίαν V O 348 ἀσπαστός γ' P 352 δι' ἀκράτων V 354 σὰν ἐφύτευσεν L: σὰν ἐφύτευσ' P: ἀνεφύτευσεν O: ἀνεφύτευσαν V 356 διφρεύσων L P 358 ἐλεύθερον V 359 εἰπεῖν L P O: ἰδεῖν V 363 ψάλμασι codd.: corr. Canter 364 ὑποδεξίαις codd. et Σ: ἐπιδεξίοις L. Dindorf: malim ὑποδεξιᾶν

ὦ φίλος, εἴθε μοι
σᾷ χερὶ καὶ σῷ δορὶ πρά-
ξας τάδ᾽ ἐς οἶκον ἔλθοις.

ἐλθέ, φάνηθι, τὰν ζάχρυσον προβαλοῦ [ἀντ.
Πηλεΐδα κατ᾽ ὄμμα πέλ-
ταν δοχμίαν πεδαίρων
σχιστὰν παρ᾽ ἄντυγα, πώλους ἐρεθί-
ζων δίβολόν τ᾽ ἄκοντα πάλ-
λων. σὲ γὰρ οὔτις ὑποστὰς
᾽Αργείας ποτ᾽ ἐν Ἥ-
ρας δαπέδοις χορεύσει·
ἀλλά νιν ἅδε γᾶ
καπφθίμενον Θρῃκὶ μόρῳ
φίλτατον ἄχθος οἴσει.

— ἰὼ ἰώ, μέγας ὦ βασιλεῦ.
καλόν, ὦ Θρῄκη,
σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
ἴδε χρυσόδετον σώματος ἀλκήν,
κλύε καὶ κόμπους κωδωνοκρότους
παρὰ πορπάκων κελαδοῦντας.
θεός, ὦ Τροία, θεός, αὐτὸς Ἄρης
ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ΡΗΣΟΣ

χαῖρ᾽, ἐσθλὸς ἐσθλοῦ παῖς, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ᾽ ἡμέρᾳ προσεννέπω.
χαίρω δέ σ᾽ εὐτυχοῦντα καὶ προσήμενον

368 *δόρατι* V 369 *εἰς* ut solent codd. 371 *προλαβοῦ* V *πηλεΐδα προβαλοῦ* Musurus : cf. 361 373 *πώλους ἐρεθίζων* Reiske : *κώλοις ἐρεθίζων* L P : om. V O 378 *καταφθίμενον* codd. : corr. Musgrave *θρῃκὶ* O : *θρηκίῳ* L P : *θρηκίων* V 380 *θρΐκη* V 381 *πολίαρχον* V O : *πολύαρχον* L P : cf. 166 386 *στρυμόνειος* V 387 *καταπλεῖ* Verrall 388 *ἐσθλὸς ἐσθλοῦ παῖς* L P : cf. Hermann ad Andr. 1 : *ἐσθλοῦ παῖ* V : *ἐσθλοῦ πατρὸς παῖ* O

πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ' ἐγὼ
τείχη πάρειμι καὶ νεῶν πρήσων σκάφη.

Εκ. παῖ τῆς μελῳδοῦ μητέρος Μουσῶν μιᾶς
Θρῃκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν
τἀληθὲς αἰεὶ κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
πάλαι πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ
ἐλθόντα, καὶ μὴ τοὐπὶ σ' Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίῳ πεσεῖν δορί.
οὐ γάρ τι λέξεις ὡς ἄκλητος ὢν φίλοις
οὐκ ἦλθες οὐδ' ἤμυνας οὐδ' ἐπεστράφης.
τίς γάρ σε κῆρυξ ἢ γερουσία Φρυγῶν
ἐλθοῦσ' ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
ποῖον δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
σὺ δ' ἐγγενὴς ὢν βάρβαρός τε βαρβάρους
Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος.
καίτοι σε μικρᾶς ἐκ τυραννίδος μέγαν
Θρῃκῶν ἄνακτα τῇδ' ἔθηκ' ἐγὼ χερί,
ὅτ' ἀμφὶ Πάγγαιόν τε Παιόνων τε γῆν
Θρῃκῶν ἀρίστοις ἐμπεσὼν κατὰ στόμα
ἔρρηξα πέλτην, σοὶ δὲ δουλώσας λεὼν
παρέσχον· ὧν σὺ λακτίσας πολλὴν χάριν,
φίλων νοσούντων ὕστερος βοηδρομεῖς.
οἱ δ' οὐδὲν ἡμῖν ἐν γένει πεφυκότες,
πάλαι παρόντες, οἱ μὲν ἐν χωστοῖς τάφοις
κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει,
οἱ δ' ἔν θ' ὅπλοισι καὶ παρ' ἱππείοις ὄχοις
ψυχρὰν ἄησιν δίψιόν τε πῦρ θεοῦ

392 πρήσσων L P : corr. *p* 393 παῖς L P : corr. L[2] 394 Θρῃκός] παῖς L : corr. L[2] 395 ἀεὶ codd. 396 συγκάμειν V 398 πολεμίων codd. : corr. Bothe 399 φίλοις L P O : φίλος V 400 om. O 403 ποῖον L P : ποίων V O 404 εὐγενὴς O βαρβάρους L P : βαρβάρου V O : cf. 833 409 ἀρίστους V O 412 ὕστερος O *p* : ὕστερον V L P βοηδρομεῖν V, cf. 333 413 ἐν γένει Valckenaer : ἐγγενεῖς V L P : εὐγενεῖς O 416 ἔν θ' ὅπλοισι V : ἐν ὅπλοισι O : ἐνθάδ' ὅπλοις L P 417 τε] τες primitus V

μένουσι καρτεροῦντες, οὐκ ἐν δεμνίοις
πυκνὴν ἄμυστιν ὡς σὺ δεξιούμενοι.
ταῦθ', ὡς ἂν εἰδῇς Ἕκτορ' ὄντ' ἐλεύθερον,
καὶ μέμφομαί σοι καὶ λέγω κατ' ὄμμα σόν.
Ρη. τοιοῦτός εἰμι καὐτός, εὐθεῖαν λόγων
τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
ἐγὼ δὲ μεῖζον ἢ σὺ τῆσδ' ἀπὼν χθονὸς
λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην·
ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεώς,
μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
πόντου πρὸς ἀκτάς, Θρῇκα πορθμεύσων στρατόν.
ἔνθ' αἱματηρὸς πέλανος ἐς γαῖαν Σκύθης
ἠντλεῖτο λόγχῃ Θρῄξ τε συμμιγὴς φόνος.
τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἱκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα
τάξας ⟨τ'⟩ ἔτειον δασμὸν ἐς δόμους φέρειν,
ἥκω περάσας ναυσὶ πόντιον στόμα,
τὰ δ' ἄλλα πεζὸς γῆς περῶν ὁρίσματα—
οὐχ ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
οὐδ' ἐν ζαχρύσοις δώμασιν κοιμώμενος,
ἀλλ' οἷα πόντον Θρῄκιον φυσήματα
κρυσταλλόπηκτα Παιόνας τ' ἐπεζάρει,
ξὺν τοῖσδ' ἄυπνος οἶδα τλὰς πορπάμασιν.
ἀλλ' ὕστερος μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος

424 μεῖζον V O: μείζον' L P 428 ἀξένου Cobet 429 πορθμεύσων L P: πορθμεύσας V O 430 ἐς hic V O 431 φόνος O: φόνῳ V L P (θρῃκὶ συμμιγὴς φόνῳ Matthiae) 432 τοῖα δέ V ἀπεῖργε L P O: ἀπῆγε V 434 τῶνδ'] γῆν Wecklein 435 τ' add. Lenting 440 πόντιον V 441 κρυσταλλόπηγα vel κρυσταλλόπηκτον Kirchhoff παιόνας paroxytone ut videtur codd. ἐπεζάτει codd.: corr. Canter 442 σὺν V O ἄυπνος οἶδα V O: ἀόπλοις οἷα L P πορπάμασιν Porson: πορπήμασιν L P: πορπάσμασιν V O 443 ὕστερος Cobet: ὕστερον codd. εἰς καιρὸν Chr. Pat. 1728

κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
πίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρη·
ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει
πέρσαντι πύργους ναυστάθμοις ἐπεσπεσεῖν
κτεῖναί τ' Ἀχαιούς· θατέρᾳ δ' ἀπ' Ἰλίου
πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.
ὑμῶν δὲ μή τις ἀσπίδ' ἄρηται χερί·
ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
πέρσας Ἀχαιούς, καίπερ ὕστερος μολών.

Χο. ἰὼ ἰώ. [στρ.
φίλα θροεῖς, φίλος Διόθεν εἶ· μόνον
φθόνον ἄμαχον ὕπατος
Ζεὺς θέλοι ἀμφὶ σοῖς λόγοισιν εἴργειν.
τὸ δὲ νάιον Ἀργόθεν δόρυ
οὔτε πρίν τιν' οὔτε νῦν
ἀνδρῶν ἐπόρευσε σέθεν κρείσσω. πῶς μοι
Ἀχιλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
πῶς δ' Αἴας ὑπομεῖναι;
εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ εἰσίδοιμ', ἄναξ,
ὅτῳ πολυφόνου
χειρὸς †ἀποινάσαιο† λόγχᾳ.

Ρη. τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας
πρᾶξαι παρέξω—σὺν δ' Ἀδραστείᾳ λέγω—
ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν

446 ῥίπτεις Sallier: τρίβεις Wecklein ἄρη O: ἄρην V L P 448 πέρσαντι ι in rasura P² ναυστάθμοις L P: ναυστάθμους V O 449 θ' ἡτέρᾳ codd. δ' V O: τ' L P 451 ἄρηται L. Dindorf: αἴρηται V: αἱρεῖται O: αἱρέτω L P 452 ἐγὼ παρέξω Wecklein μεγαλαυχοῦντας V 453 ὕστερος V: ὕστερον L P O 454–466 cf. 820–832 synaphea in hoc carmine mire neglecta, 456, 459, 461 cf. 528: ideo 456 Ζεὺς ante φθόνον et 462 Ἀχιλλεὺς (sic) post ἔγχος trai. Wilamowitz 455 μόνος L P 457 ἐθέλοι V O 460 οὔτε πρὶν οὔτε νῦν τιν' codd.: corr. Nauck 461 μοι] μὰν Badham 462 Ἀχιλεὺς V P: ἀχιλλεὺς O L 464 cf. 830 τόδε γ' Hermann: τοδ' ἔτ' Dindorf 465 ὅτῳ Musgrave: ὅπως codd. fortasse χειρὸς ἄποινα σᾷ ⟨θάνοι⟩ λόγχᾳ (σᾷ φέροις Hartung): possis etiam πολυφόνους χεῖρας ἀποινάσαιο σᾷ, cf. 177 467 μέν] malim μήν 469 ἐπει δ' ἂν δ' V

θῶμεν θεοῖσί τ' ἀκροθίνι' ἐξέλῃς,
ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω
καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί,
ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.
Εκ. εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ
πόλιν νεμοίμην ὡς τὸ πρίν ποτ' ἀσφαλῆ,
ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος
οὐχ ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.
Ρη. οὐ τούσδ' ἀριστέας φασὶν Ἑλλήνων μολεῖν;
Εκ. κοὐ μεμφόμεσθά γ', ἀλλ' ἅδην ἐλαύνομεν.
Ρη. οὐκ οὖν κτανόντες τούσδε πᾶν εἰργάσμεθα;
Εκ. μή νυν τὰ πόρρω τἀγγύθεν μεθεὶς σκόπει.
Ρη. ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή.
Εκ. πολλῆς γὰρ ἄρχω κἀνθάδ' ὢν τυραννίδος.
ἀλλ' εἴτε λαιὸν εἴτε δεξιὸν κέρας
εἴτ' ἐν μέσοισι συμμάχοις πάρεστί σοι
πέλτην ἐρεῖσαι καὶ καταστῆσαι στρατόν.
Ρη. μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
εἰ δ' αἰσχρὸν ἡγῇ μὴ συνεμπρῆσαι νεῶν
πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.
Εκ. οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἐντάξαι δόρυ.
Ρη. καὶ μὴν λόγος γ' ἦν ὡς ἔπλευσ' ἐπ' Ἴλιον.
Εκ. ἔπλευσε καὶ πάρεστιν· ἀλλὰ μηνίων
στρατηλάταισιν οὐ συναίρεται δόρυ.
Ρη. τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;

471 σὺν V O ἀργείαν L P 476 πολλὴν V O: πολλοῖς L P 479 τούς γ' L et sine dubio P: τούσδ' P² ἀρίστους Cobet et sic reddit Σ 480 ἀλλὰ δὴν L P ἐλαύνομαι Hartung: sed vid. ε 290 cum Schol. B P Q: ἐλαύνομεν etiam Σ 481 πάντ' εἰργάσμεθ' ἂν L P: πάντα διαπεπραξόμεθα reddit Σ 482 μὴ νῦν codd. πόρσω Dindorf 488 Ρη. notam om. L 491 ἀχιλέως V 492 ἀνταῖραι Reiske 494 μηνίων penultima correpta etiam Σ: cf. Suppl. 1101 496 τίς δὲ V

Εκ. Αἴας ἐμοὶ μὲν οὐδὲν ἡσσᾶσθαι δοκεῖ
χὠ Τυδέως παῖς· ἔστι δ᾽ αἱμυλώτατον
κρότημ᾽ Ὀδυσσεύς, λῆμά τ᾽ ἀρκούντως θρασὺς
καὶ πλεῖστα χώραν τήνδ᾽ ἀνὴρ καθυβρίσας·
ὃς εἰς Ἀθάνας σηκὸν ἔννυχος μολὼν
κλέψας ἄγαλμα ναῦς ἐπ᾽ Ἀργείων φέρει.
ἤδη δ᾽ ἀγύρτης πτωχικὴν ἔχων στολὴν
ἐσῆλθε πύργους, πολλὰ δ᾽ Ἀργείοις κακὰ
ἠρᾶτο, πεμφθεὶς Ἰλίου κατάσκοπος·
κτανὼν δὲ φρουροὺς καὶ παραστάτας πυλῶν
ἐξῆλθεν· αἰεὶ δ᾽ ἐν λόχοις εὑρίσκεται
Θυμβραῖον ἀμφὶ βωμὸν ἄστεως πέλας
θάσσων· κακῷ δὲ μερμέρῳ παλαίομεν.
Ρη. οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρᾳ
κτεῖναι τὸν ἐχθρόν, ἀλλ᾽ ἰὼν κατὰ στόμα.
τοῦτον δ᾽ ὃν ἵζειν φῂς σὺ κλωπικὰς ἕδρας
καὶ μηχανᾶσθαι, ζῶντα συλλαβὼν ἐγὼ
πυλῶν ἐπ᾽ ἐξόδοισιν ἀμπείρας ῥάχιν
στήσω πετεινοῖς γυψὶ θοινατήριον.
λῃστὴν γὰρ ὄντα καὶ θεῶν ἀνάκτορα
συλῶντα δεῖ νιν τῷδε κατθανεῖν μόρῳ.
Εκ. νῦν μὲν καταυλίσθητε· καὶ γὰρ εὐφρόνη.
δείξω δ᾽ ἐγώ σοι χῶρον, ἔνθα χρὴ στρατὸν
τὸν σὸν νυχεῦσαι τοῦ τεταγμένου δίχα.
ξύνθημα δ᾽ ἡμῖν Φοῖβος, ἤν τι καὶ δέῃ·
μέμνησ᾽ ἀκούσας, Θρῃκί τ᾽ ἄγγειλον στρατῷ.

497 ἡττᾶσθαι codd. 499 ὀδυσεύς et θρασύν V (θρασὺ Haun.) 500 καὶ] εἷς Hermann τήνδ᾽] εἷς Boissonade 501 ἀθηνᾶς L 504 ἀργείους L P 505 Ἰλίου O: ἴλιον V L P 506 πυλῶν O L P et Chr. Pat. 1737: φρυγῶν V 507 ἀεὶ V O 508 ἄστεως L P: ἄστεος rell.: videtur ἢ ἄστεος conicere Σ 510 non hic sed ante 512 notam praefigunt L P (Ρη. P, paragraphum L) 512 δ᾽ om. V σὺ] οὐ V κλωπικαῖς ἕδραις L P 514 ἀμπείρας V O: ἐμπείρας L P 515 θήσω O θοιναστήριον O 517 μόρῳ L P O: πότμῳ V 518 Εκ. in rasura praef. P: nota erasa in L καταυλίσθητι Kirchhoff 522 τ᾽ L P O: δ᾽ V

ὑμᾶς δὲ βάντας χρὴ προταινὶ τάξεων
φρουρεῖν ἐγερτὶ καὶ νεῶν κατάσκοπον
δέχθαι Δόλωνα· καὶ γάρ, εἴπερ ἐστὶ σῶς,
ἤδη πελάζει στρατοπέδοισι Τρωικοῖς.

Χο. — τίνος ἁ φυλακά; τίς ἀμείβει [στρ.
τὰν ἐμάν; πρῶτα
δύεται σημεῖα καὶ ἑπτάποροι
Πλειάδες αἰθέριαι· μέσα δ' αἰετὸς οὐρανοῦ ποτᾶται.
— ἔγρεσθε, τί μέλλετε; κοιτᾶν
ἔγρεσθε πρὸς φυλακάν.
οὐ λεύσσετε μηνάδος αἴγλαν;
— ἀὼς δὴ πέλας, ἀὼς
γίγνεται, καί τις προδρόμων
ὅδε γ' ἐστὶν ἀστήρ.

— τίς ἐκηρύχθη πρώτην φυλακήν;
— Μυγδόνος υἱόν φασι Κόροιβον.
— τίς γὰρ ἐπ' αὐτῷ; — Κίλικας Παίων
στρατὸς ἤγειρεν, Μυσοὶ δ' ἡμᾶς.

— οὐκ οὖν Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
καιρὸς κλήρου κατὰ μοῖραν;

523 *προταινὶ* etiam Σ 525 *δέχθαι* Musurus: *δέχεσθαι* codd. (*δέχεσθε* O) 527 Χο. hic et 546 praef. codd.: 538, 539, 540 (bis), 542, item 557, 559, 560, 562 *ἡμιχ.* notam praef. codd. nisi aliud notatum est 528 *τὰν ἐμὰν πρώτα*; Lachmann: synaphea neglecta videtur, cf. ad 454 sq. 530 *Πληϊάδες* V 531 *μέσα* V *l*: *μέσας* O: *μέσον* L P *οὐράνιός γε* P: *οὐρανοῦ* cum rasura super *οῦ* L 532, 535 paragraphos addidi 533 *ἔγρεσθε* v. antistrophico 552 non respondet: *ἔξιτε* Hartung, cl. Chr. Pat. 1855 (*ἔγρεσθ' ἔγρεσθε· τί, γυναῖκες, μέλλετε; ἔξιτε*) 535 *ἀὼς δὲ πέλας ἀὼς δὴ* O 536 *πίλναται* Wecklein *προδρόμων* Musgrave: *προδόμων* V O: *πρὸ δόμων* L P 537 *ὅδε γ'* O: *οὐδέ γ'* V: *ὅδε γὰρ* L P *ἀστήρ*] *ἀνὴρ* *l* et primitus O 538 *ἐκληρώθη* Dobree *φυλακάν* O post 538 versum excidisse putat Hermann responsione usque ad 545 continuata 539 Ἡμιχ. notam om. O *Μυγδόνος ὅν φασι Κόροιβος* post Hermannum L. Dindorf *κόροιβον* V: *κόρυβον* L P O 540 ante *κίλικας* notam om. O *παιών* O 541 ante *Μυσοὶ* *ἡμιχ.* notam indicant V L, om. P O 544 *μάντας ἐγείρει* V

Χο. — καὶ μὴν ἀΐω· Σιμόεντος [ἀντ.
ἡμένα κοίτας
φοινίας ὑμνεῖ πολυχορδοτάτᾳ
γήρυϊ παιδολέτωρ μελοποιὸν ἀηδονὶς μέριμναν.
— ἤδη δὲ νέμουσι κατ᾽ Ἴδαν
ποίμνια· νυκτιβρόμου
σύριγγος ἰὰν κατακούω.
— θέλγει δ᾽ ὄμματος ἕδραν
ὕπνος· ἅδιστος γὰρ ἔβα
βλεφάροις πρὸς ἀοῦς.

— τί ποτ᾽ οὐ πλάθει σκοπός, ὃν ναῶν
Ἕκτωρ ὤτρυνε κατόπταν;
— ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.
— ἀλλ᾽ ἦ κρυπτὸν λόχον ἐσπαίσας
διόλωλε; — τάχ᾽ ἄν. φοβερόν μοι.

— αὐδῶ Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
ἡμᾶς κλήρου κατὰ μοῖραν.

ΟΔΥΣΣΕΥΣ

Διόμηδες, οὐκ ἤκουσας—ἢ κενὸς ψόφος
στάζει δι᾽ ὤτων;—τευχέων τινὰ κτύπον;

547 ἀΐω etiam Σ ἡμέρα O 548 φοινίας O: φονίας V L P (φρονίας *p*) ὑμνεῖ] γρ. θρηνεῖ Σ πολυχορδοτάταν ut videtur primitus O 549 παιδολέτωρ O *l*: ἁ παιδολέτωρ V L P 550 μελοποιὸν . . . μέριμναν Ettig: μελοποιὸς . . . μέριμνα (μερίμνα V) codd. 551, 554 paragraphos addidi 551–630 exciderunt folia duo e V: vid. ad 112 552 νυκτιβρόμου Pierson: νυκτιδρόμου codd. 553 ἴαν apogr.: οἶαν Haun. 555 Χο. notam praef. O 556 βλεφάροισι codd. ἀῶ Blaydes 557–9 om. L: add. L² 557 πλάθει Nauck, cf. 538: πελάθει (V) O: πελάθη L P ὃν ναῶν om. (V) 559, 560, 562 Ημιχ. notam om. (V); 559, 560 etiam O 559 ἄπεστιν ἐμπεσών O, cf. 560 560 εἰσπαίσας O: εἰσπεσὼν L P (V) 561 διόλωλε] διώλεσεν O: ὄλωλε vel ὤλωλεν (V) τάχ᾽] τύχ᾽ (V) τάχ᾽ (τύχ᾽ V) ἂν εἴη codd.: εἴη del. Headlam, ut τάχ᾽ ἂν pro τάχ᾽ ἂν εἴη sit dictum: cf. Plat. Soph. 255 C, Rep. 369 A 565 οὐκ om. (V) ἢ κενὸς L P O: ὡς ἧκε (V)

ΔΙΟΜΗΔΗΣ

οὔκ, ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.
Οδ. ὅρα κατ' ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.
Δι. φυλάξομαί τοι κἂν σκότῳ τιθεὶς πόδα.
Οδ. ἢν δ' οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;
Δι. Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.

Οδ. ἔα·
εὐνὰς ἐρήμους τάσδε πολεμίων ὁρῶ.
Δι. καὶ μὴν Δόλων γε τάσδ' ἔφραζεν Ἕκτορος
κοίτας, ἐφ' ᾧπερ ἔγχος εἵλκυσται τόδε.
Οδ. τί δῆτ' ἂν εἴη; μῶν λόχος βέβηκέ ποι;
Δι. ἴσως ἐφ' ἡμῖν μηχανὴν στήσων τινά.
Οδ. θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.
Δι. τί δῆτ', Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ ηὕρομεν
τὸν ἄνδρ' ἐν εὐναῖς, ἐλπίδων δ' ἡμάρτομεν.
Οδ. στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
σῴζει γὰρ αὐτὸν ὅστις εὐτυχῆ θεῶν
τίθησιν· ἡμῖν δ' οὐ βιαστέον τύχην.
Δι. οὐκ οὖν ἐπ' Αἰνέαν ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε χρὴ καρατομεῖν ξίφει;
Οδ. πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
ζητῶν δυνήσῃ τούσδ' ἀκινδύνως κτανεῖν;
Δι. αἰσχρόν γε μέντοι ναῦς ἐπ' Ἀργείων μολεῖν
δράσαντε μηδὲν πολεμίους νεώτερον.
Οδ. πῶς δ' οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
κατάσκοπον Δόλωνα σῴζομεν τάδε

569 ἀραγμῶν (V) 570 ὄρφναν L P 572, 573 personae notas om. O 573 σύμβουλον primitus P 574 Οδ.] paragraphum L 577 λόχον Wecklein 579 νῦν δ' Θ 582 ναυστάθμων O (V): ναυστάθμου L P 583 ὅστις O (V) : ὅσπερ L P²: ὥς περ P 585 αἰνέαν O : αἰνείαν L P 586 μολόντε Canter : μολόντες L P O Haun. χρὴ Haun., et ut videtur O : χρῆν L P 590 πολεμίοις O 591 πῶς οὐ apogr δέδορκας primitus O ναυστάθμω (V)

σκυλεύματ'; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
Δι. πείθεις, πάλιν στείχωμεν· εὖ δ' εἴη τυχεῖν.

ΑΘΗΝΑ

ποῖ δὴ λιπόντες Τρωικῶν ἐκ τάξεων
χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,
εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ' ἢ Πάριν θεὸς
δίδωσιν; ἄνδρα δ' οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ.
ὃς εἰ διοίσει νύκτα τήνδ' ἐς αὔριον,
οὔτε σφ' Ἀχιλλεὺς οὔτ' ἂν Αἴαντος δόρυ
μὴ πάντα πέρσαι ναύσταθμ' Ἀργείων σχέθοι,
τείχη κατασκάψαντα καὶ πυλῶν ἔσω
λόγχῃ πλατεῖαν ἐσδρομὴν ποιούμενον.
τοῦτον κατακτὰς πάντ' ἔχεις. τὰς δ' Ἕκτορος
εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.
Οδ. δέσποιν' Ἀθάνα, φθέγματος γὰρ ᾐσθόμην
τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
παροῦσ' ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε·
τὸν ἄνδρα δ' ἡμῖν, ποῦ κατηύνασται, φράσον·
πόθεν τέτακται βαρβάρου στρατεύματος;
Αθ. ὅδ' ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
ἀλλ' ἐκτὸς αὐτὸν τάξεων κατηύνασεν
Ἕκτωρ, ἕως ἂν νὺξ ἀμείψηται φάος.
πέλας δὲ πῶλοι Θρῃκίων ἐξ ἁρμάτων
λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
στίλβουσι δ' ὥστε ποταμίου κύκνου πτερόν.

594 Δι. notam om. L, fortasse recte: vide proxima πείθεις Wilamowitz: πείθου codd., quod si verum, Ulixes loquitur τυχεῖν L P et Chr. Pat. 2009, 2038: τύχη (V) 595 λιπόντες L P (V): λιπόντε O: βλέποντε Wecklein 596 δεδηγμένον (V) 600 τήνδ' Reiske: τὴν codd. ἐπαύριον (V) 601 οὔτε L P: οὔτ' ἂν O (V) ἀχιλλεὺς (V): ἀχιλλέως O L P 602 μὴ οὐ Nauck 607 ἔσται L P O: ἥκει (V) 608 personae notam om., in margine ὀδυσσεὺς καὶ διομήδης addit O 609 συνήθη L P: συνήθους O (V) 614 τάξεως O 618 στίλβουσιν ὥσπερ (V)

ταύτας, κτανόντες δεσπότην, κομίζετε,
κάλλιστον οἴκοις σκῦλον· οὐ γὰρ ἔσθ' ὅπου
τοιόνδ' ὄχημα χθὼν κέκευθε πωλικόν.

Οδ. Διόμηδες, ἢ σὺ κτεῖνε Θρῄκιον λεών,
ἢ 'μοὶ πάρες γε, σοὶ δὲ χρὴ πώλους μέλειν.

Δι. ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ·
τρίβων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
χρὴ δ' ἄνδρα τάσσειν οὗ μάλιστ' ἂν ὠφελοῖ.

Αθ. καὶ μὴν καθ' ἡμᾶς τόνδ' Ἀλέξανδρον βλέπω
στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
δόξας ἀσήμους πολεμίων μεμβλωκότων.

Δι. πότερα σὺν ἄλλοις ἢ μόνος πορεύεται;

Αθ. μόνος· πρὸς εὐνὰς δ', ὡς ἔοικεν, Ἕκτορος
χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.

Δι. οὐκ οὖν ὑπάρχειν τόνδε κατθανόντα χρή;

Αθ. οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
τοῦτον δὲ πρὸς σῆς χειρὸς οὐ θέμις θανεῖν.
ἀλλ' ᾧπερ ἥκεις μορσίμους φέρων σφαγάς,
τάχυν'· ἐγὼ δέ, τῷδε σύμμαχος Κύπρις
δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
οὐκ οἶδεν οὐδ' ἤκουσεν ἐγγὺς ὢν λόγου.

ΑΛΕΞΑΝΔΡΟΣ

σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σε χρῆν;
ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,

619 κτανόντες L P (V) : κτανόντε O 621 τρωικόν O 623 πάρες γε L P O : πάρεχε (V) : παράσχες Reiske πώλους O (V) : πώλων L P 624 πωλοδάμνησον Naber 630 σὺν O (V) *p* in rasura : πρὸς L 631 δ' V O : om. L P 635 χειρὸς οὐ θέμις V O : οὐ θέμις χερὸς L P θανεῖν (sed θανεῖν θέμις ob accentum, ut solet) O et in marg. L manus recentissima : κτανεῖν V L P 636 ᾧπερ *p* : ὥσπερ codd. 640 ταῦτ' V O *p* : τοῦτ' L P 642 'Αλέξανδρος V O : πάρις L P, hic et 663 643 ἕκτωρ P : corr. *p* σ' ἐχρῆν O : σ' ἐχρή V : σε χρή L P

ἢ κλῶπες ἄνδρες ἢ κατάσκοποί τινες.
Αθ. θάρσει· φυλάσσει σ' ἥδε πρευμενὴς Κύπρις.
μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωικῷ στρατῷ
ἥκω πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
τῆς ὑμνοποιοῦ παῖδα Θρῄκιον θεᾶς
Μούσης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
Αλ. αἰεί ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει
κἀμοί, μέγιστον δ' ἐν βίῳ κειμήλιον
κρίνας σέ φημι τῇδε προσθέσθαι πόλει.
ἥκω δ' ἀκούσας οὐ τορῶς—φήμη δέ τις
φύλαξιν ἐμπέπτωκεν—ὡς κατάσκοποι
ἥκουσ' Ἀχαιῶν. χὠ μὲν οὐκ ἰδὼν λέγει,
ὃ δ' εἰσιδὼν μολόντας οὐκ ἔχει φράσαι·
ὧν οὕνεκ' εὐνὰς ἤλυθον πρὸς Ἕκτορος.
Αθ. μηδὲν φοβηθῇς· οὐδὲν ἐν στρατῷ νέον·
Ἕκτωρ δὲ φροῦδος Θρῇκα κοιμήσων στρατόν.
Αλ. σύ τοί με πείθεις, σοῖς δὲ πιστεύων λόγοις
τάξιν φυλάξων εἶμ' ἐλεύθερος φόβου.
Αθ. χώρει· μέλειν γὰρ πάντ' ἐμοὶ δόκει τὰ σά,
ὥστ' εὐτυχοῦντας συμμάχους ἐμοὺς ὁρᾶν.
γνώσῃ δὲ καὶ σὺ τὴν ἐμὴν προθυμίαν.

ὑμᾶς δ' ἀυτῶ τοὺς ἄγαν ἐρρωμένους,
Λαερτίου παῖ, θηκτὰ κοιμίσαι ξίφη.
κεῖται γὰρ ἡμῖν Θρῄκιος στρατηλάτης,
ἵπποι τ' ἔχονται, πολέμιοι δ' ᾐσθημένοι
χωροῦσ' ἐφ' ὑμᾶς· ἀλλ' ὅσον τάχιστα χρὴ

646 *φυλάσσω* Naber 652 cf. 279 654 δ' O : om. V L P 655 *σέ*] *δέ* O 658 *ἰδὼν* Chr. Pat. 1876 : *εἰδὼς* codd. 659 *ὅδ' ὡς ἰδὼν* V 662 *κοιμήσων* V O : *κοσμήσων* L P 663, 664 *σοῖς τε πιστεύω* L P : *σοῖς τε πιστεύω λόγοις τάξιν τε τηρῶν εἶμ'* Chr. Pat. 1806 sq. 665 *δοκεῖ* V O 666 *ὡς* L P 668 *ὑμᾶς μὲν αὐδῶ* O : *ὑμᾶς ἀΰτῶ* deleto δ' Wecklein 669 *κοιμίσαι* V *p* : *κοιμῆσαι* O : *κομίσαι* L P 670 om. O 672 *τάχιστ' ἐχρῆν* L P

φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων. τί μέλλετε
σκηπτοῦ 'πιόντος πολεμίων σῴσαι βίον;

Χο. — ἔα ἔα·
— βάλε βάλε βάλε βάλε.
— θένε θένε.
— τίς ἀνήρ; λεύσσετε· τοῦτον αὐδῶ.
— κλῶπες οἵτινες κατ' ὄρφνην τόνδε κινοῦσι στρατόν.
— δεῦρο δεῦρο πᾶς.
— τούσδ' ἔχω, τούσδ' ἔμαρψα.
— τίς ὁ λόχος; πόθεν ἔβας; ποδαπὸς εἶ;

Οδ. οὔ σε χρὴ εἰδέναι· θανῇ γὰρ σήμερον δράσας κακῶς.
Χο. οὐκ ἐρεῖς ξύνθημα, λόγχην πρὶν διὰ στέρνων μολεῖν;
Οδ. ἴστω. θάρσει. Χο. πέλας ἴθι. παῖε πᾶς.
Οδ. ἦ σὺ δὴ Ῥῆσον κατέκτας; Χο. ἀλλὰ τὸν κτενοῦντα σέ . . .
Οδ. ἴσχε πᾶς τις. Χο. οὐ μὲν οὖν. Οδ. ἆ· φίλιον ἄνδρα μὴ θένῃς.
Χο. καὶ τί δὴ τὸ σῆμα; Οδ. Φοῖβος. Χο. ἔμαθον· ἴσχε πᾶς δόρυ.

674 σῴζειν Elmsley, cl. Phoen. 783 675 χορὸς Λυκίων O: χορὸς Λύκων V scholia scribens 675 hemichoriis distribuit Bothe: nos confusas singulorum voces paragraphis conati sumus indicare 675 ἔαae V (et Haun.): om. O primum βάλε in rasura scr. *l*: om. P βάλλε βάλλε βάλλε primitus L 676 θένε θένε θένε O 677 ἀνήρ] ἀνὴρ codd.: τίς ὅδ' ἀνήρ; Musgrave: cf. Ar. Ach. 281 ἀϋτῶ O: αἰδῶ P 678 ὄρφν* L: ὄρφναν L² P κινοῦσι L P O: κτενοῦσι V 680 δεῦρο δεῦρο πᾶς ἴτω. Οδ. θάρσει. Χο. πέλας ἴθι, παῖε πᾶς Wilamowitz, v. 685 huc traiecto 682 sic V O: τίς ὁ λόγος; πόθεν σὸν φέρεις πόδα; πῶς εἶ; L² P (σὸν φέρεις πόδα in rasura L²) 683 οὔ σε χρὴ (ν suprascr. V²) εἰδέναι V: οὐκ ἐχρῆν σ' εἰδέναι O: οὐ χρὴ εἰδέναι σε L P σήμερον om. V 684 Χο. praef. O P: punctum V: ἡμιχ. *l*: notam om. L σύνθημα L P 685 ἴστω codd.: corr. Portus: ἴτω Wilamowitz, vide ad 680 Χο. V O L: ἡμιχ. P πέλας τις ἴθι L² P παῖε παῖε πᾶς O 686 Οδ.] ἡμιχ. initio praef. V L P: om. O: Χο. notam medio v. addidi (*'Rhesum occidisti?' 'Immo te, qui illum occisurus eras . . .'*) ἦ] ἢ codd. κτανοῦντα O 687 Οδ. V L P²: Χο. O: ἡμιχ. primitus P ἴσχε] ἴαχε V τις om. V O Χο. L P²: ἡμιχ. V O P μενοῦν O (μὲν οὖν Reiske): μενῶ V L P Οδ. Heath: ἡμιχ. codd. ἆ Musgrave: ἆ ἆ vel ἀ ἀ codd. φίλιον] φίλον V *l* 688 initio Χο. L: ἡμιχ. V O P ante ἔμαθον Χο. O: ἡμιχ. V L P ἴσχε] ἴαχε V

— οἶσθ' ὅποι βεβᾶσιν ἄνδρες; Οδ. τῇδέ πῃ κατείδομεν.
ἕρπε πᾶς κατ' ἴχνος αὐτῶν. — ἦ βοὴν ἐγερτέον;
— ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐκ νυκτῶν φόβῳ.

Χο. — τίς ἀνδρῶν ὁ βάς; [στρ.
τίς ὁ μέγα θρασὺς ἐπεύξεται
χέρα φυγὼν ἐμάν;
πόθεν νιν κυρήσω;
τίνι προσεικάσω,
ὅστις δι' ὄρφνης ἦλθ' ἀδειμάντῳ ποδὶ
διά τε τάξεων καὶ φυλάκων ἕδρας;
Θεσσαλὸς ἢ
παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
ἢ νησιώτην σποράδα κέκτηται βίον;
τίς ἦν; πόθεν; ποίας πάτρας;
ποῖον δ' εὔχεται τὸν ὕπατον θεῶν;

— ἆρ' ἔστ' Ὀδυσσέως τοὔργον ἢ τίνος τόδε;
εἰ τοῖς πάροιθε χρὴ τεκμαίρεσθαι· τί μήν;
— δοκεῖς γάρ; — τί μὴν οὔ;
— θρασὺς γοῦν ἐς ἡμᾶς.
— τίν' ἀλκήν; τίν' αἰνεῖς; — Ὀδυσσῆ.
— μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.

Χο. — ἔβα καὶ πάρος [ἀντ.

689 paragraphum praef. L : ἡμιχ. rell. ὅποι] ὅπη codd. : η ex ο correctum in P βεβήκασιν ἄνδρες O : βεβᾶσιν ἄνδρες rell. Οδ. V : perforatus hic O : ἡμιχ. L P 690 initio ἡμιχ. praef. P : Χο. O : om. rell. αὐτοῦ O ante ἦ Χο. V P : ἡμιχ. O : om. L 691 punctum praef. V : Χο. P : om. L : non legibilis O φόβῳ om. L : add. L² 692 paragraphum praef. L : om. V P : non legibilis O 693 ὁ μέγας V θρασὺς Madvig : θράσος codd. 694 χεῖρα codd. 696 om. O 697 ὄρφνας L² P 700 παρ' ἁλίαν (primitus παρὰ λίαν) O 702 πόθεν; Hermann : πόθεν ἢ O : ἢ πόθεν ἐστὶν ἢ V : γὰρ ἢ πόθεν ἐστὶν ἢ L P ποίας] τίνος O 703 ποῖον δ' Porson : ποῖον V O : ὁποῖον L P θεῶν] ων in rasura P 704 Χο. praef. L : ἡμιχ. rell. 705 Χο. praef. O : ἡμιχ. l : om. rell. πάροιθεν V τιμὴν L P : τί μήν om. V 706–727 punctis V, paragraphis L personarum vices notavit 706 δοκεῖ O 707 εἰς V O 708 τίς ἀλκήν; L P Ὀδυσσῆ L : ὀδυσῆ V O L² P 709 αἱμύλου V

κατὰ πόλιν, ὕπαφρον ὄμμ' ἔχων,
ῥακοδύτῳ στολᾷ
πυκασθείς, ξιφήρης
κρύφιος ἐν πέπλοις.
βίον δ' ἐπαιτῶν εἷρπ' ἀγύρτης τις λάτρις,
ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων·
πολλὰ δὲ τὰν
βασιλίδ' ἑστίαν 'Ατρειδᾶν κακῶς
ἔβαζε δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
ὄλοιτ' ὄλοιτο πανδίκως,
πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.

— εἴτ' οὖν 'Οδυσσέως εἴτε μή, φόβος μ' ἔχει·
Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμψεται.
— τί λάσκων; — δυσοίζων.
— τί δρᾶσαι; τί ταρβεῖς;
— καθ' ἡμᾶς περᾶσαι . . . — τίν' ἀνδρῶν;
— οἳ τῆσδε νυκτὸς ἦλθον ἐς Φρυγῶν στρατόν.

ΗΝΙΟΧΟΣ

ἰώ, ἰώ, δαίμονος τύχα βαρεῖα. φεῦ φεῦ.

Χο. ἔα, ἔα·
σῖγα πᾶς ὕφιζ'· ἴσως γὰρ ἐς βόλον τις ἔρχεται.

711 πτόλιν L P 712 ἐν ῥακοδύτῳ P et sine dubio ante rasuram L στολῇ L P 714 κρυφαῖος codd. : corr. Morstadt post hunc v. deficit O 715 ἀγύρτις λάτρις V : τις add. V² 716 κάρα L P : κράτα V πουλυπινές *l* : πολυπινῆ V L P 717 τὰν V : τὴν L P 718 ἀτρειδῶν L P 720 ἡμιχ. praef. V P : rasuram L 721 γᾶν L P : γᾶ V 722 Χο. praef. L P 723 punctum praef. V : notam om. L P μέμφεται V 725 δρᾶσαι L. Dindorf : δρᾷς δὴ P L² vel *l* (δὴ in rasura) : δρᾷς V L : δράσας Wilamowitz 728 'Ηνίοχος audit haec persona iam 747 in V, 756 in V P, postea in omnibus : hic ἡμιχ. P et sine dubio L : οἰκέτης 'Ρήσου in rasura *l* : om. V : 731 et 733 ἡμιχ. L P : punctum V : 738 ἡμ. V P, οἰκέτης in ras. *l* : 747 οἰκέτης 'Ρήσου P, οἰκέτης in ras. *l* : 756 ἡμ. L 728 ἰὼ ἰώ Harl. : ἰώ V L P τύχη Kirchhoff 729 Χο. praef. *l* : ἡμιχ. P : punctum V : notam om. L ἔα ἔα V : ἔα L P 730 σίγα V : σιγᾶ L P post πᾶς Χο. codd. : del. L. Dindorf ὕφιζ' ἴσως Reiske : ὕφιζος εἰς V : ὕβριζ' ἴσως L P γὰρ εἰσβολή (εἰς βόλον *l*) τις L P : βόλον γὰρ ἴσως τις V

Ην. ἰὼ ἰώ,
συμφορὰ βαρεῖα Θρῃκῶν. Χο. συμμάχων τις ὁ στένων.
Ην. ἰὼ ἰώ,
δύστηνος ἐγώ· σύ τ', ἄναξ Θρῃκῶν,
ὦ στυγνοτάτην Τροίαν ἐσιδών,
οἷόν σε βίου τέλος εἷλεν.
Χο. τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
ἀμβλῶπες αὐγαὶ κοὔ σε γιγνώσκω τορῶς.
Ην. ποῦ τιν' ἀνάκτων Τρωικῶν εὕρω;
ποῦ δῆθ' Ἕκτωρ
τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
τίνι σημήνω διόπων στρατιᾶς
οἷα πεπόνθαμεν, οἷά τις ἡμᾶς
δράσας ἀφανῆ φροῦδος, φανερὸν
Θρῄξὶν πένθος τολυπεύσας;
Χο. κακὸν κυρεῖν τι Θρῃκίῳ στρατεύματι
ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.
Ην. ἔρρει στρατιά, πέπτωκεν ἄναξ
δολίῳ πληγῇ.
ἆ ἆ ἆ ἆ,
οἵα μ' ὀδύνη τείρει φονίου
τραύματος εἴσω. πῶς ἂν ὀλοίμην;
χρῆν γάρ μ' ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ' ἐπίκουρον;
Χο. τάδ' οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.
Ην. κακῶς πέπρακται κἀπὶ τοῖς κακοῖσι πρὸς

731 ἰὼ ἰώ V: ἰώ L: ὦ P L² θρῃκῶν συμμάχων HM. (punctum V) τίς codd.: corr. Hermann et L. Dindorf 733 ἰὼ ἰώ V: ἰώ *l*: ὦ L P θρῃκῶν in ras. *l* 734 ὦ V *l*: ἰὼ L P ἐσιδών *l*: εἰσιδών L P: ἰδών V 738 Τρῴων Hermann 741 σημήνω V *l*: σημανῶ L P διοπῶν *l*: δι' ὀπῶν V: διοπτῶν L P: accentum corr. Barnes 743 ἀφανὴς Dobree 749 ἆ quater L P: ἆ ter V 751 πῶς δ' ἂν ὀλοίμαν L P 753 κέλσαντες V 754 σημαίνεις primitus P 755 αὐδᾶς V

αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
θανεῖν γὰρ εὐκλεῶς μέν, εἰ θανεῖν χρεών,
λυπρὸν μὲν οἶμαι τῷ θανόντι—πῶς γὰρ οὔ;—
τοῖς ζῶσι δ' ὄγκος καὶ δόμων εὐδοξία.
ἡμεῖς δ' ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
  ἐπεὶ γὰρ ἡμᾶς ηὔνασ' Ἑκτόρεια χείρ,
ξύνθημα λέξας, ηὕδομεν πεδοστιβεῖ
κόπῳ δαμέντες, οὐδ' ἐφρουρεῖτο στρατὸς
φυλακαῖσι νυκτέροισιν, οὐδ' ἐν τάξεσιν
ἔκειτο τεύχη, πλῆκτρά τ' οὐκ ἐπὶ ζυγοῖς
ἵππων καθήρμοσθ', ὡς ἄναξ ἐπεύθετο
κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
πρύμναισι· φαύλως δ' ηὕδομεν πεπτωκότες.
κἀγὼ μελούσῃ καρδίᾳ λήξας ὕπνου
πώλοισι χόρτον, προσδοκῶν ἑωθινὴν
ζεύξειν ἐς ἀλκήν, ἀφθόνῳ μετρῶ χερί.
λεύσσω δὲ φῶτε περιπολοῦνθ' ἡμῶν στρατὸν
πυκνῆς δι' ὄρφνης· ὡς δ' ἐκινήθην ἐγώ,
ἐπτηξάτην τε κἀνεχωρείτην πάλιν·
ἤπυσα δ' αὐτοῖς μὴ πελάζεσθαι στρατῷ,
κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
οἳ δ' οὐδέν· οὐ μὴν οὐδ' ἐγὼ τὰ πλείονα.
ηὗδον δ' ἀπελθὼν αὖθις ἐς κοίτην πάλιν.
  καί μοι καθ' ὕπνον δόξα τις παρίσταται·
ἵππους γὰρ ἃς ἔθρεψα κἀδιφρηλάτουν

757 *αἰσχίστας* primitus P 762 *εὔνασ' ἑκτορεία χείρ* Harl. et suprascr. L[1]: idem sed *ἑκτορία* L P: *ἑκτορέα χεὶρ εὔνασε* V: corr. Dindorf 763 *σύνθημα* V *πεδοστιβεῖς* codd.: corr. Morstadt 764 *κόμπῳ* L P: corr. *p* 765 *τάξαισιν* V 766 *πλῆκτρα*] *κλῆθρα* Musgrave 767 *ἐπύθετο* V 768 *ἡμᾶς* fortasse primitus P *νηῶν* V 769 *πρύμνησι* V 770 *λήξας*] *ζήλας* primitus V 771 *ἑωθινοὺς* Kirchhoff 772 *ἐς* V: *πρὸς* L P *μέτρῶ* (sic) L: *μέτρω* V P 773 *στρατῶ* V 775–782 numeris (α–η) in margine appositis hoc ordine esse legendos: 76, 75, 80, 81, 77, 78, 79, 82 monet V[2]: et sic dispositos habet Haun. nisi quod 779 ante 780 ibi stat: utique falso 775 *κἀνεχωρήτην* V 776 *ἄπυσα δ' αὐτοὺς μὴ πλάθειν στρατῷ* V 778 *οὐδ'* V: *οἶδ'* L P 779 *ἐς* hic V 781 vacuum relictum dein explevit ut videtur V[2] *ἃς* L P: *οὓς* V *καὶ διφρηλάτουν* L P

Ῥήσῳ παρεστώς, εἶδον, ὡς ὄναρ δοκῶν,
λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν·
θείνοντε δ' οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα
ἤλαυνον, αἳ δ' ἔρρεγκον ἐξ ἀντηρίδων
θυμὸν πνέουσαι κἀνεχαίτιζον φόβῳ.
ἐγὼ δ' ἀμύνων θῆρας ἐξεγείρομαι
πώλοισιν· ἔννυχος γὰρ ἐξώρμα φόβος.
κλύω δ' ἐπάρας κρᾶτα μυχθισμὸν νεκρῶν.
θερμὸς δὲ κρουνὸς δεσπότου πάρα σφαγαῖς
βάλλει με δυσθνῄσκοντος αἵματος νέου.
ὀρθὸς δ' ἀνᾴσσω χειρὶ σὺν κενῇ δορός.
καί μ' ἔγχος αὐγάζοντα καὶ θηρώμενον
παίει παραστὰς νεῖραν ἐς πλευρὰν ξίφει
ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
πίπτω δὲ πρηνής· οἳ δ' ὄχημα πωλικὸν
λαβόντες ἵππων ἵεσαν φυγῇ πόδα.
ἆ ἆ.
ὀδύνη με τείρει, κοὐκέτ' ὀρθοῦμαι τάλας.
καὶ ξυμφορὰν μὲν οἶδ' ὁρῶν, τρόπῳ δ' ὅτῳ
τεθνᾶσιν οἱ θανόντες οὐκ ἔχω φράσαι,
οὐδ' ἐξ ὁποίας χειρός. εἰκάσαι δέ μοι
πάρεστι λυπρὰ πρὸς φίλων πεπονθέναι.

Χο. ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,
μηδὲν δυσοίζου· πολέμιοι ῎δρασαν τάδε.
῞Εκτωρ δὲ καὐτὸς συμφορᾶς πεπυσμένος

783 ῥάχιν L P: ῥοήν V 784 θείνοντε δ' L P: θείνοντες δ' V τρίχα om. V 785 ἔρεγκον codd. ἐξ ἀρτηριῶν Musgrave, cf. Soph. Trach. 1054 786 πνείουσαι V φόβην Reiske 787 ἀμύνειν P 789 μυχθισμῶν L^2 P^2 ut videtur (μυχθισμὸν Σ V Σ L) 790 πάρα Hermann: παρὰ codd. σφαγῆς Musgrave (παρὰ σφαγαῖς Σ) 791 δυσθνητοῦντος Nauck, cf. El. 843 792–835 om. V, sed 812–835 habet post v. 855 in folio verso 792 ὀρθὸς Haun.: ὀρθῶς L P et apogr. V 794 νεῖραν Bothe: νείαιραν (V) L: νείεραν P πλευρὰν (V): πλευροῦ L P νύσσει παραστὰς νειάτην πλευρὰν Chr. Pat. 1213 805 πολεμίους δρᾶσαι codd.: correxi: δύσοιζ' οὐ πολεμίους δρᾶσαι Musgrave

χωρεῖ· συναλγεῖ δ', ὡς ἔοικε, σοῖς κακοῖς.

Εκ. πῶς, ὦ μέγιστα πήματ' ἐξειργασμένοι,
μολόντες ὑμᾶς πολεμίων κατάσκοποι
λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατός,
κοὔτ' εἰσιόντας στρατόπεδ' ἐξαπώσατε
οὔτ' ἐξιόντας; τῶνδε τίς τείσει δίκην
πλὴν σοῦ; σὲ γὰρ δὴ φύλακά φημ' εἶναι στρατοῦ.
φροῦδοι δ' ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ
πόλλ' ἐγγελῶντες τῷ στρατηλάτῃ τ' ἐμοί.
εὖ νυν τόδ' ἴστε—Ζεὺς ὀμώμοται πατήρ—
ἤτοι μάραγνά γ' ἢ καρανιστὴς μόρος
μένει σε δρῶντα τοιάδ', ἢ τὸν Ἕκτορα
τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.

Χο. ἰὼ ἰώ, [ἀντ.
μετὰ σέ, ναί, μετὰ σέ, ὦ πολίοχον κράτος,
τότ' ἄρ' ἔμολον, ὅτε σοι
ἄγγελος ἦλθον ἀμφὶ ναῦς πύρ' αἴθειν·
ἐπεὶ ἄγρυπνον ὄμμ' ἐν εὐφρόνῃ
οὔτ' ἐκοίμισ' οὔτ' ἔβριξ',
οὐ τὰς Σιμοεντιάδας πηγάς· μή μοι
κότον, ὦ ἄνα, θῇς· ἀναίτιος γὰρ
. . . ἔγωγε πάντων.
εἰ δὲ χρόνῳ παράκαιρον ἔργον ἢ λόγον

811 ἐξηπύσατε Naber 811–813 fortasse post 815 traiciendi 812 τίσει L P (τι in ras. L) : δώσει V : utrumque codd. Chr. Pat. 2309 816 νῦν V P ὁμώμοσται vel ὀμώμοσται codd.: corr. Matthiae 817 ἢ L : ἤτοι *l* μαράγνα V P et citato Herodiano L 818 μενεῖ L P 820–832 cf. 454–466 821 μέγας ἐμοὶ (μοι P: *μοι L) μέγας V L P: post Verrallium (μετὰ σὲ, μή) correxi: μέγα σύ μοι, μέγ', ὤ, πολίοχον κράτος· Wilamowitz πολίοχον Vater: πολιοῦχον codd. 822 ἔμολον V *l*: ἔμολ' L P 824 ἀμφὶ V: περὶ P L²: L non legibilis ναῦς πύρ' αἴθειν Kirchhoff et Badham: ναυσὶ πυραίθειν 'Αργείων στρατόν codd. (στρατόν deletum in L om. P) 826 ἔβριξα L P : ἔβρισ' V 827 οὐ μὰ τὰς σιμοεντίδας codd. : corr. Hermann 828 ὦ ἄνα V : ὦ ἄναξ L P : ὦναξ L² 829 ἔγωγε V : ἐγὼ L P deest aliquid, cf. v. 463 : πάντων πάντῃ ἔγωγε Nauck 830 εἰ] ἦν Matthiae παρὰ καιρὸν codd. : πάρωρον Headlam ἔργον V : ἐργ' L P

πύθῃ, κατά με γᾶς
ζῶντα πόρευσον· οὐ παραιτοῦμαι.

Ην. τί τοῖσδ' ἀπειλεῖς βάρβαρός τε βαρβάρου
γνώμην ὑφαιρῇ τὴν ἐμήν, πλέκων λόγους;
σὺ ταῦτ' ἔδρασας· οὐδέν' ἂν δεξαίμεθα
οὔθ' οἱ θανόντες οὔτ' ἂν οἱ τετρωμένοι
ἄλλον· μακροῦ γε δεῖ σε καὶ σοφοῦ λόγου,
ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν,
ἵππων ἐρασθείς, ὧν ἕκατι συμμάχους
τοὺς σοὺς φονεύεις, πόλλ' ἐπισκήπτων μολεῖν.
ἦλθον, τεθνᾶσιν· εὐπρεπέστερον Πάρις
ξενίαν κατῄσχυν' ἢ σὺ συμμάχους κτανών.
μὴ γάρ τι λέξῃς ὥς τις Ἀργείων μολὼν
διώλεσ' ἡμᾶς· τίς δ' ὑπερβαλὼν λόχους
Τρώων ἐφ' ἡμᾶς ἦλθεν, ὥστε καὶ λαθεῖν;
σὺ πρόσθεν ἡμῶν ἦσο καὶ Φρυγῶν στρατός.
τίς οὖν τέτρωται, τίς τέθνηκε συμμάχων
τῶν σῶν, μολόντων ὧν σὺ πολεμίων λέγεις;
ἡμεῖς δ' ἑκὰς τετρώμεθ', οἱ δὲ μειζόνως
παθόντες οὐχ ὁρῶσιν ἡλίου φάος.
ἁπλῶς δ' Ἀχαιῶν οὐδέν' αἰτιώμεθα.
τίς δ' ἂν χαμεύνας πολεμίων κατ' εὐφρόνην
Ῥήσου μολὼν ἐξηῦρεν, εἰ μή τις θεῶν
ἔφραζε τοῖς κτανοῦσιν; οὐδ' ἀφιγμένον
τὸ πάμπαν ᾖσαν· ἀλλὰ μηχανᾷ τάδε.

Εκ. χρόνον μὲν ἤδη συμμάχοισι χρώμεθα
ὅσονπερ ἐν γῇ τῇδ' Ἀχαιικὸς λεώς,

831 κατά με γᾶ V : κατὰ γᾶς με L P (γᾶς με in ras. L) 832 οὐ V L : οὐ γὰρ L² P 834 ἀφαιρῇ Chr. Pat. 2324 835 οὐδέν' L : οὐδὲν V P 836 θανόντες V : μαθόντες L P 837 γε V L : δὲ P σφοδροῦ Chr. Pat. 2325 842 σὺ om. P : suppl. *p* 843 λέξεις V 844 δ'] ἂν Nauck 846 ἡμᾶς P : corr. *p* 847–8 malim ἐν λόχῳ τῷ σῷ vel συγγενῶν τῶν σῶν 848 ὧν Bothe : ὡς codd. 849 δ' ἑκὰς scripsi : δὲ καὶ codd. μείζονα Elmsley 851 Ἀχαιῶν οὐδέν' L : Ἀχαιῶν οὐδὲν P : Ἀχαιοὺς οὐδὲν V 852 ἂν Σ : αὖ codd. et lemma scholii 855 ῖσαν L : ἴσαν P μηχαναὶ Musgrave 857 ἀχαϊκὸς V

κοὐδὲν πρὸς αὐτῶν οἶδα πλημμελὲς κλύων·
ἐν σοὶ δ' ἂν ἀρχοίμεσθα. μή μ' ἔρως ἕλοι
τοιοῦτος ἵππων ὥστ' ἀποκτείνειν φίλους.
καὶ ταῦτ' Ὀδυσσεύς· τίς γὰρ ἄλλος ἄν ποτε
ἔδρασεν ἢ 'βούλευσεν Ἀργείων ἀνήρ;
δέδοικα δ' αὐτὸν καί τί μου θράσσει φρένας,
μὴ καὶ Δόλωνα συντυχὼν κατακτάνῃ·
χρόνον γὰρ ἤδη φροῦδος ὢν οὐ φαίνεται.
Ην. οὐκ οἶδα τοὺς σοὺς οὓς λέγεις Ὀδυσσέας·
ἡμεῖς δ' ὑπ' ἐχθρῶν οὐδενὸς πεπλήγμεθα.
Εκ. σὺ δ' οὖν νόμιζε ταῦτ', ἐπείπερ σοι δοκεῖ.
Ην. ὦ γαῖα πατρίς, πῶς ἂν ἐνθάνοιμί σοι;
Εκ. μὴ θνῇσχ'· ἅλις γὰρ τῶν τεθνηκότων ὄχλος.
Ην. ποῖ δὴ τράπωμαι δεσποτῶν μονούμενος;
Εκ. οἶκός σε κεύθων οὑμὸς ἐξιάσεται.
Ην. καὶ πῶς με κηδεύσουσιν αὐθεντῶν χέρες;
Εκ. ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.
Ην. ὄλοιθ' ὁ δράσας. οὐ γὰρ ἐς σὲ τείνεται
γλῶσσ', ὡς σὺ κομπεῖς· ἡ Δίκη δ' ἐπίσταται.
Εκ. λάζυσθ'· ἄγοντες ⟨δ'⟩ αὐτὸν ἐς δόμους ἐμούς,
οὕτως ὅπως ἂν μὴ 'γκαλῇ πορσύνετε·
ὑμᾶς δ' ἰόντας τοῖσιν ἐν τείχει χρεὼν
Πριάμῳ τε καὶ γέρουσι σημῆναι νεκροὺς
θάπτειν κελεύθου λεωφόρου πρὸς ἐκτροπάς.

Χο. τί ποτ' εὐτυχίας ἐκ τῆς μεγάλης
Τροίαν ἀνάγει πάλιν ἐς πένθη

858 *αὐτῆς* P *πλημμελὲς οἶδα* L P 859 *δ' ἂν*] *δ' ἄρ'* Ambr. *ἀρχοίμεθα* V 862 v. del. Verrall 863 *αὐτῶν* V 864 *κατέκτανεν* Matthiae 868 *δ' οὖν* L P : *δὲ* V 871 *δὴ* Porson : *δὲ* codd. *τράπομαι* L P : corr. *p* 872 *οἶκος*] *ὁ μαῖκος* Ambr., fortasse e *δόμος* et *οἶκος* conflatum 873 *κηδεύσωσιν* V 875 *εἰς σὲ* L P : *εἰσέτι* V 875 sq. cf. Chr. Pat. 276 *ὄλοιθ' ὁ δράσας· ἡ δίκη δ' ἐπίσταται*, ceteris omissis 877 *δ'* om. codd.: add. Morstadt 878 *μὴ καλῇ* V *πορσύνεται* P 881 *κελεύθου* Dobree : *κελεύειν* codd. *λεωφόρου* Vater : *λαοφόρου* L P : *λαοφόρους* V 883 *ἀνάγει* Ambr. : *ἄγει* V L P *πένθη* V L P : *πένθος* Ambr.

δαίμων ἄλλος, τί φυτεύων;
ἔα ἔα. [ὢ ὤ.]
τίς ὑπὲρ κεφαλῆς θεός, ὦ βασιλεῦ,
τὸν νεόκμητον νεκρὸν ἐν χειροῖν
φοράδην πέμπει;
ταρβῶ, λεύσσων τόδε, πῆμα.

ΜΟΥΣΑ

ὁρᾶν πάρεστι, Τρῶες· ἡ γὰρ ἐν σοφοῖς
τιμὰς ἔχουσα Μοῦσα συγγόνων μία
πάρειμι, παῖδα τόνδ' ὁρῶσ' οἰκτρῶς φίλον
θανόνθ' ὑπ' ἐχθρῶν· ὅν ποθ' ὁ κτείνας χρόνῳ
δόλιος Ὀδυσσεὺς ἀξίαν τείσει δίκην.

ἰαλέμῳ αὐθιγενεῖ, [στρ.
τέκνον, σ' ὀλοφύρομαι, ὦ
ματρὸς ἄλγος, οἵαν
ἔκελσας ὁδὸν ποτὶ Τροίαν·
ἦ δυσδαίμονα καὶ μελέαν,
ἀπομεμφομένας ἐμοῦ πορευθείς,
ἀπὸ δ' ἀντομένου πατρὸς βιαίως.
ὤμοι ἐγὼ σέθεν, ὦ φιλία
φιλία κεφαλά, τέκνον, ὤμοι.

Χο. ὅσον προσήκει μὴ γένους κοινωνίαν
ἔχοντι λύπῃ τὸν σὸν οἰκτίρω γόνον.

Μο. ὄλοιτο μὲν Οἰνεΐδας, [ἀντ.
ὄλοιτο δὲ Λαρτιάδας,

884 ἄλλος, τί Tyrwhitt: ἄλλό τι L P: ἄλλοτε V 885 om. L P: in marg. add. *l*: ὢ ὢ del. Dindorf 887 νεόκμητον L P: νεόχμητον V: νεόδμητον Chr. Pat. 1456 et Haun. χεροῖν codd. aut χειροῖν aut χερσὶν legendum 889 om. L P: versum distinxit Verrall 900 ἀπομεμφομένας V: ἀπομεμψαμένας L: ἀποπεμψαμένας L² P: ἀπὸ μὲν φαμένας Dindorf 904 ὅσον codd. et Chr. Pat. 1159 905 λύπῃ L P: λύπην V: λύπης Kirchhoff: quod κἀγὼ habet Chr. Pat. 1160. 1283 nullius momenti est 907 Λαρτιάδης V: Λαρτίδας L P: corr. Heath

ὅς μ' ἄπαιδα γέννας
ἔθηκεν ἀριστοτόκοιο·
ἅ θ' Ἕλλανα λιποῦσα δόμον
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ'
†ὑπ' Ἰλίῳ† ὤλεσε μὲν σ' ἕκατι Τροίας,
φίλτατε, μυριάδας τε πόλεις
ἀνδρῶν ἀγαθῶν ἐκένωσεν.

ἢ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς Ἅιδου μολών,
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
ὕβρις γάρ, ἥ σ' ἔσφηλε, καὶ Μουσῶν ἔρις
τεκεῖν μ' ἔθηκε τόνδε δύστηνον γόνον.
περῶσα γὰρ δὴ ποταμίους διὰ ῥοὰς
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ' ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι μεγίστην εἰς ἔριν μελῳδίας
κείνῳ σοφιστῇ Θρῃκί, κἀκτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.
κἀπεὶ σὲ τίκτω, συγγόνους αἰδουμένη
καὶ παρθενείαν, ἧκ' ἐς εὐύδρου πατρὸς
δίνας· τρέφειν δέ σ' οὐ βρότειον ἐς χέρα
Στρυμὼν δίδωσιν, ἀλλὰ πηγαίαις κόραις.
ἔνθ' ἐκτραφεὶς κάλλιστα Παρθένων ὕπο,
Θρῄκης ἀνάσσων πρῶτος ἦσθ' ἀνδρῶν, τέκνον.
καί σ' ἀμφὶ γῆν μὲν πατρίαν φιλαιμάτους
ἀλκὰς κορύσσοντ' οὐκ ἐδείμαινον θανεῖν·

909 ἔθηκεν V: ἔθηκ' L P ἀριστοτόκοιο Musurus: ἀριστοτόκου codd.: ἀριστοτόκειαν Cobet 910 Ἕλλανα Badham: Ἑλένα codd. προλιποῦσα *l* 912 ὅπου ὤλεσε Wilamowitz: ἀπὸ δ' ὤλεσε μὲν σὲ καὶ τὰ Τροίας Henning (πλαθεῖσα διώλεσε Heinisch) σ' ἕκατι Bruhn: σὲ κατὰ codd. τροίαν P 913 πόλεων Reiske, sed cf. Corinna, Berl. Kl. Text. V. 2. p. 28 919 διαρροὰς codd.: corr. Dindorf 920 ἐπλάσθην P φυλταμίοις V 922 ἐξησκημένοι L P: corr. *p* 924 κείνω codd.: κλεινῷ Dobree: δεινῷ Valckenaer κἀκτυφλώσαμεν V L P apogr.: κἀτυφλώσαμεν Haun. 927 παρθενείαν L *p*: παρθενίαν V P εὔδρου V 928 τρέφει P βροτείαν codd.: corr. Elmsley ἐς χέρα V: ἐσχάραν L P et Chr. Pat. 1348 932 φιλαρμάτους Badham

Τροίας δ' ἀπηύδων ἄστυ μὴ κέλσαι ποτέ,
εἰδυῖα τὸν σὸν πότμον· ἀλλά σ' Ἕκτορος
πρεσβεύμαθ' αἵ τε μυρίαι γερουσίαι
ἔπεισαν ἐλθεῖν κἀπικουρῆσαι φίλοις.
  καὶ τοῦδ', Ἀθάνα, παντὸς αἰτία μόρου,
—οὐδὲν δ' Ὀδυσσεὺς οὐδ' ὁ Τυδέως τόκος
ἔδρασε δράσας—μὴ δόκει λεληθέναι.
καίτοι πόλιν σὴν σύγγονοι πρεσβεύομεν
Μοῦσαι μάλιστα κἀπιχρώμεθα χθονί,
μυστηρίων γε τῶν ἀπορρήτων φανὰς
ἔδειξεν Ὀρφεύς, αὐτανέψιος νεκροῦ
τοῦδ' ὃν κατακτείνεις σύ· Μουσαῖόν τε, σὸν
σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ' ἕνα
ἐλθόντα, Φοῖβος σύγγονοί τ' ἠσκήσαμεν.
καὶ τῶνδε μισθὸν παῖδ' ἔχουσ' ἐν ἀγκάλαις
θρηνῶ· σοφιστὴν δ' ἄλλον οὐκ ἐπάξομαι.
Χο. μάτην ἄρ' ἡμᾶς Θρῄκιος τροχηλάτης
ἐδέννασ', Ἕκτορ, τῷδε βουλεῦσαι φόνον.
Εκ. ᾔδη τάδ'· οὐδὲν μάντεων ἔδει φράσαι
Ὀδυσσέως τέχναισι τόνδ' ὀλωλότα.
ἐγὼ δὲ γῆς ἔφεδρον Ἑλλήνων στρατὸν
λεύσσων, τί μὴν ἔμελλον οὐ πέμψειν φίλοις
κήρυκας, ἐλθεῖν κἀπικουρῆσαι χθονί;
ἔπεμψ'· ὀφείλων δ' ἦλθε συμπονεῖν ἐμοί.
  οὐ μὴν θανόντι γ' οὐδαμῶς συνήδομαι.
καὶ νῦν ἕτοιμος τῷδε καὶ τεῦξαι τάφον
καὶ ξυμπυρῶσαι μυρίων πέπλων χλιδήν·

937 *κἀπικυρῆσαι* V 938 *καὶ*] *σὺ* Kirchhoff 939 *οὐδὲ Τυδέως* V 940 desinit V: citantur apogr. et Haun. (V) in (V) post hunc v. spatium 19 vv. vacuum relictum 942 *κἀπιχρώμεθα* L P: *χρώμεθα* (V) 943 *φάνας* apogr. L P 945 *τοῦδ' οὖν κατακτείνασα* (V): *τοῦδ' οὕνεκα κτείνασα* L P: corr. Bothe 948 *καὶ τόνδε* P: corr. *p* 949 *δ'* del. Wecklein 950 *τροχηλάτης* Valckenaer: *στρατηλάτης* codd. 951 *ἕκτωρ* L P: corr. *p* *φόνων* primitus, ut videtur, L P 952 Εκ. notam om. (V) L *ᾔδη* (V): *ᾔδειν* L P *μάντεων* (V): *μάντεως* L P 955 *πέμψειν* (V): *πέμπειν* L P 960 *συμπυρῶσαι* L P: *ξυμπονῆσαι* Haun.

φίλος γὰρ ἐλθὼν δυστυχῶς ἀπέρχεται.
Μο. οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
τοσόνδε Νύμφην τὴν ἔνερθ' αἰτήσομαι,
τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
ψυχὴν ἀνεῖναι τοῦδ'· ὀφειλέτις δέ μοι
τοὺς Ὀρφέως τιμῶσα φαίνεσθαι φίλους.
κἀμοὶ μὲν ὡς θανών τε κοὐ λεύσσων φάος
ἔσται τὸ λοιπόν· οὐ γὰρ ἐς ταὐτόν ποτε
οὔτ' εἶσιν οὔτε μητρὸς ὄψεται δέμας·
κρυπτὸς δ' ἐν ἄντροις τῆς ὑπαργύρου χθονὸς
ἀνθρωποδαίμων κείσεται βλέπων φάος,
Βάκχου προφήτης ὥστε Παγγαίου πέτραν
ᾤκησε, σεμνὸς τοῖσιν εἰδόσιν θεός.
  ῥᾷον δὲ πένθος τῆς θαλασσίας θεοῦ
οἴσω· θανεῖν γὰρ καὶ τὸν ἐκ κείνης χρεών.
θρήνοις δ' ἀδελφαὶ πρῶτα μὲν σὲ ὑμνήσομεν,
ἔπειτ' Ἀχιλλέα Θέτιδος ἐν πένθει ποτέ.
οὐ ῥύσεταί νιν Παλλάς, ἥ σ' ἀπέκτανεν·
τοῖον φαρέτρα Λοξίου σῴζει βέλος.
  ὦ παιδοποιοὶ συμφοραί, πόνοι βροτῶν·
ὡς ὅστις ὑμᾶς μὴ κακῶς λογίζεται,
ἄπαις διοίσει κοὐ τεκὼν θάψει τέκνα.
Χο. οὗτος μὲν ἤδη μητρὶ κηδεύειν μέλει·
σὺ δ' εἴ τι πράσσειν τῶν προκειμένων θέλεις,
Ἕκτορ, πάρεστι· φῶς γὰρ ἡμέρας τόδε.
Εκ. χωρεῖτε, συμμάχους δ' ὁπλίζεσθαι τάχος
ἄνωχθε πληροῦν τ' αὐχένας ξυνωρίδων.

962 μελάγχιμον apogr.: μελαγχεῖμον L P 965 ὀφειλέτης primitus P 966 φαίνεται P: corr. p 968 ἐς hic codd. 969 ἔτ' εἶσιν οὐδὲ Kirchhoff: οὔτ' εἶμ' ἐγὼ οὔτε Wecklein 970 τῆς Musgrave: τῆσδ' codd. 972 Βάκχου προφήτης] scil. Orpheus ὅστε P² 973 σεπτὸς Chr. Pat. 1776, quod nihili est 974 ῥᾷον Valckenaer: βαιὸν codd. et Chr. Pat. 1777 θαλασσίας (V): θαλασσίου L P 975 τὸν ἐκείνης (V) 976 θρήνους L P σὲ] σ' codd. (om. L P) 983 οὕτως (V) 986 δ' (V): θ' L P 987 πληροῦν τ' (V): πληροῦ τ' L: πληροῦτ' P

πανοὺς δ' ἔχοντας χρὴ μένειν Τυρσηνικῆς
σάλπιγγος αὐδήν· ὡς ὑπερβαλὼν στρατὸν
τείχη τ' Ἀχαιῶν ναυσὶν αἶθον ἐμβαλεῖν
πέποιθα Τρωσί θ' ἡμέραν ἐλευθέραν
ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.

Χο. πείθου βασιλεῖ· στείχωμεν ὅπλοις
κοσμησάμενοι καὶ ξυμμαχίᾳ
τάδε φράζωμεν· τάχα δ' ἂν νίκην
δοίη δαίμων ὁ μεθ' ἡμῶν.

988 πανοὺς Reiske: πόνους codd. 989 ὑπερβάλλων codd.: corr. Lenting στρατὸν] τάφρον Jacobs 991 Τρωσὶν ἡμέραν P 993 στείχομεν L P: corr. *p* 994 καὶ συμμαχίᾳ L P: ξυμμαχίαν (V) 995 νίκαν codd. subscriptus versus ὧδὶ τὸ τέρμα τῆς ῥήσου τραγῳδίας in L P: τέλος apogr.: τέλος τοῦ εὐριπίδου ῥήσου Haun.

OXFORD CLASSICAL TEXTS

The prices given of copies on ordinary paper are for copies bound in limp cloth; uncut copies may be had in paper covers at 6d. less per volume (1s. less for those priced from 6s. in cloth).

All volumes are also on sale interleaved with writing-paper and bound in stout cloth; prices in square brackets.

February, 1913

OXFORD: AT THE CLARENDON PRESS
LONDON: HENRY FROWDE
OXFORD UNIVERSITY PRESS, AMEN CORNER, E.C.

Crown 8vo. Prices in cloth (A), interleaved (B), on India paper (C)
Uncut copies in paper covers at 6d. less (1s. for those priced at 6s. or above in cloth)

Greek

	A	B	C
Aeschylus. A. Sidgwick	3s. 6d.	7s. 6d.	4s. 6d.
Antoninus. J. H. Leopold	3s.	5s. 6d.	4s.
Apollonius Rhodius. R. C. Seaton	3s.	5s. 6d.	4s.
Aristophanes. F. W. Hall, W. M. Geldart			8s. 6d.
I. Ach., Eq., Nub., Vesp., Pax, Aves	3s. 6d.	7s. 6d.	4s. 6d.
II. Lys., Thesm., Ran., Eccl., Plut. fr.	3s. 6d.	7s. 6d.	4s. 6d.
Aristotle. I. Bywater. De Arte Poetica	2s.	4s. 6d.	
Ethica. (Quarto writing-paper, 10s. 6d.)	4s.	8s.	
Bucolici Graeci. U. v. Wilamowitz-Moellendorff	3s.	7s.	4s.
Demosthenes. S. H. Butcher			12s. 6d.
I. Orationes I–XIX	4s. 6d.	8s. 6d.	
II. i. Orationes XX–XXVI	3s. 6d.	7s. 6d.	
Euripides. G. G. A. Murray			12s. 6d.
I. Cyc., Alc., Med., Heracl., Hip., Andr., Hec.	3s. 6d.	7s. 6d.	9s. (I–II)
II. Suppl., Herc., Ion, Tro., El., I. T.	3s. 6d.	7s. 6d.	
III. Hel., Phoen., Or., Bacch., Iph. Aul., Rh.	3s. 6d.	7s. 6d.	4s. 6d.
Hellenica Oxyrhynchia cum Theopompi et Cratippi fragmentis. B. P. Grenfell, A. S. Hunt	4s. 6d.	8s. 6d.	
Herodotus. K. Hude. I (Books I–IV)	4s. 6d.	10s.	12s. 6d. (I–II)
II (Books V–IX)	4s. 6d.	10s.	
Homer. I–II. Iliad. D. B. Monro, T. W. Allen. I–XII	3s.	5s. 6d.	7s. (I–XXIV)
Books XIII–XXIV	3s.	5s. 6d.	
III–IV. Odyssey. T. W. Allen. Books I–XII	3s.	5s. 6d.	6s. (I–XXIV)
Books XIII–XXIV	3s.	5s. 6d.	
V. Hymns, etc. T. W. Allen	4s. 6d.	8s. 6d.	5s.
Hyperides. F. G. Kenyon	3s. 6d.	6s.	
Longinus. A. O. Prickard	2s. 6d.	5s.	
Lysias. K. Hude	3s. 6d.	7s.	4s. 6d.
Plato. J. Burnet. (India Paper I–III, 20s. IV–V, 18s.)			
I. Euth., Apol., Crit., Ph.; Crat., Tht., Soph., Polit.	6s.	12s.	7s.
II. Par., Phil., Symp., Phdr.; Alc. I, II, Hipp., Am.	6s.	12s.	7s.
III. Thg., Chrm., Lch., Lys.; Euthd., Prot., Gorg., Men.; Hp., Ma. et Min., Io, Mnx.	6s.	12s.	7s.
IV. Clit., Rep., Tim., Critias	7s.	14s.	8s. 6d.
Republic separately (4to with margin, 10s. 6d.)	6s.	12s.	
Clit., Tim., Crit., paper covers, 2s.			
V. Part i. Minos, Leges I–VIII; Part ii. Leges IX–XII, Ep., Epp., Def., Spuria	8s.	16s.	10s. 6d.
Separately: Tetr. i; Ap. and Men.; Tetr. v, paper covers, 2s. each. Tetr. vi	4s.		
Theophrasti Characteres. H. Diels	3s. 6d.	6s.	together (with Thucydides)
Thucydides. H. Stuart Jones. Bks. I–IV; V–VIII each	3s. 6d.	7s. 6d.	8s. 6d.
Tragicorum Fragmenta Papyracea. A. S. Hunt	3s.	5s. 6d.	
Xenophon. E. C. Marchant. I–III			12s. 6d.
I. Historia Graeca and III. Anabasis each	3s.	7s.	
II. Libri Socratici and IV. Institutio Cyri each	3s. 6d.	7s. 6d.	

	A	B	C
The Oxford Greek Testament. The Revisers' Text, with app. crit. by A. Souter (Quarto writing-paper, 8s. 6d. net). Not sold in paper covers	3s. net		4s. net

Latin

	A	B	C
Asconius. A. C. Clark	3s. 6d.	6s.	
Caesar, Commentarii. R. L. A. Du Pontet			7s.
Bellum Gallicum	2s. 6d.	6s.	
Bellum Civile	3s.	7s.	
Catullus. R. Ellis	2s. 6d.	5s.	
With Tibullus and Propertius			8s. 6d.
Cicero, Epistulae. L. C. Purser			21s.
I. ad Fam.	6s.	12s.	
II. ad Att., Pars i (1–8), Pars ii (9–16)	each 4s. 6d.	8s. 6d.	
III. ad Q. F., ad M. Brut., Fragm.	3s.	5s. 6d.	
Orationes.			
Rosc. Am., I. Pomp., Clu., Cat., Mur., Cael. A. C. Clark	3s.	7s.	
Pro Milone, Caesarianae, Philippicae. A. C. Clark	3s.	7s.	18s. 6d.
Verrinae. W. Peterson	4s.	8s.	
Quinct., Rosc. Com., Caec., Leg. Agr., Rab. Perduell., Flacc., Pis., Rab. Post. A. C. Clark	3s.	7s.	
Post Reditum, De Domo, Har. Resp., Sest., Vat., Prov. Cons., Balb. W. Peterson	3s.	7s.	16s.
Tull., Font., Sull., Arch., Planc., Scaur. A. C. Clark	2s. 6d.	5s.	
Rhetorica. A. S. Wilkins			7s. 6d.
I. De Oratore	3s.	7s.	
II. Brutus, etc	3s. 6d.	7s. 6d.	
Horace. E. C. Wickham. Ed. 2. H. W. Garrod	3s.	5s. 6d.	4s. 6d.
Isidori Etymologiae. W. M. Lindsay. Two vols.	20s.	32s.	25s.
Lucretius. C. Bailey	3s.	5s. 6d.	4s.
Martial. W. M. Lindsay	6s.	12s.	7s. 6d.
Nepos. E. O. Winstedt	2s.	4s. 6d.	
Persius and Juvenal. S. G. Owen	3s.	5s. 6d.	4s.
Plautus. W. M. Lindsay. I. Amph.—Merc.	6s.	13s. 6d.	16s.
II. Miles—fragm.	6s.	13s. 6d.	
Propertius. J. S. Phillimore. (I. P. with Catullus)	3s.	5s. 6d.	
Statius			10s. 6d.
Silvae. J. S. Phillimore	3s. 6d.	6s.	
Thebais and Achilleis. H. W. Garrod	6s.	12s.	
Tacitus			15s.
Annales. C. D. Fisher	6s.	12s.	7s.
Historiae. C. D. Fisher	4s.	7s. 6d.	5s. 6d.
Opera Minora. H. Furneaux	2s.	4s. 6d.	
Terence. R. Y. Tyrrell	3s. 6d.	7s. 6d.	5s.
Tibullus. J. P. Postgate. (India Paper, see Catullus)	2s.	4s. 6d.	
Vergil. Sir Arthur Hirtzel	3s. 6d.	8s. 6d.	4s. 6d.
Appendix Vergiliana. R. Ellis	4s.	7s.	

Nouum Testamentum Latine, secundum Editionem Sancti Hieronymi. Recensuit I. Wordsworth, Episcopus Sarisburiensis; in operis societatem adsumto H. I. White. Editio Minor. Edited by H. J. White. With select apparatus criticus and marginal references. 2s. net; on Oxford India paper, 3s. net.